ΠΛΑΤΩΝ

PLATONIS PHILOSOPHI
QUAE EXSTANT

GRAECE AD EDITIONEM HENRICI STEPHANI
ACCURATE EXPRESSA
CUM MARSILII FICINI INTERPRETATIONE
ACCEDIT VARIETAS LECTIONIS
STUDIIS SOCIETATIS BIPONTINAE

A.K.6.

VOLUMEN TERTIUM

BIPONTI
EX TYPOGRAPHIA SOCIETATIS
CIↃIↃCCLXXXII

BIBLIOTEKA ELBLĄSKA
4044
BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA
92-406
II

INDEX

AMICORUM PLATONIS

QUI NOVI ACCESSERUNT.

Bibliotheca Gymnasii *Grunstadiensis.*

A.

Frid. *Abegg*, Bockenhemio-Palatinus, LL. Stud. Grunstadii.

Reverendissimus ac illustriss. *Anselmus*, Abbas Ord. S. Benedicti ad S. Paulum, Carinthiae.

B.

———*Baltz*, Prorect. Gymn. Grunstadiensis.

———*Bellermann*, Candidatus Theol. Erphordiae.

Augustin. a *Berfuder*, ab actis supremi tribunalis Vindobonensis.

Io. Iac. *Berstecher*, LL. Stud. Argentorati.

Io. Georg. *Blümlin*, Philos. Studios. Ulmae.

———*Bodenburg*, literarum humanior. Studios. in schola Bergensi.

C.

Io. Henr. *Catoir*, Odernhem. Palat. LL. AA. Studios. Grunstadii.

D.

Reverend. ——— *Dufresne*, Ephorus illuſtriſſ. Comitum de Stackelberg, Argentorati.

G. F. *Dieglinger*, V. D. M. in Parrenſee prope Goettingam.

E.

——— *Ebel*, LL. Studioſ. Goettingae.

Franc. Ioſeph. de *Erdelyi*, Philoſ. & Med. Doctor, Viennae.

F.

Reverendiſſ. & Illuſtriſſ. Baro de *Fechenbach*, Canonicus Trevirenſis.

Illuſtriſſ. Baro de *Fechenbach*, Eminentiſſ. Princ. Elect. Mogunt. cubicularius nobilis.

———*Fiſcher*, in ſuprema curia Argent. cauſ. Patronus regius, Argentorati.

Io. G. *Fuckel*, Mulhemio-Liningenſis, LL. AA. Stud. Grunſtadii.

G.

B. *Gebhardi*, Paſtor primarius & Superintendens, Stralſundiae.

Illuſtriſſ. Tob. Phil. L. Baro de *Gebler*, in Cancellaria aulica Bohemica & Auſtriaca Cancellarii vicem gerens, Caeſar. Maieſtatis a conſiliis intimis, & Eques Ordinis S. Stephani.

Io. Adam. *Geiger*, Senatus interioris Vindobonenſis Aſſeſſor & Conſiliarius.

Io. *Geywitz*, Philoſ. Studioſ. Ulmae.

Godofr. *Gerlach*, Negotiator, Amſtelodami.

———*Gruber*, Theol. Doct. & legationi Auſtriacae a concionibus ſacris, Berol.

Simon Andreas *Guttenberger*, Palatinus, LL. AA. Studioſ. Grunſtadii.

H.

———*Haeckel*, Ephorus Ser. Principis fil. de Golitzin.

———*Hacker*, LL. Studioſ. Tubingae.

Franc. Xaver. *Heinrichmair*, Cronhemio-Eichſtadienſis, I. U. Candidatus, Caeſareo-Lutrae.

———*Herrich*, Secretarius legationis Seren. Elect. Saxon. Ratisbonae.

———*Herz*, Canonicus, Herbipoli.

Carol. Chriſt. *Heyler*, Philoſ. Doct. & Rector Gymnaſ. Grunſtad.

Io. Frid. *Heynatz*, Philoſ. D. & Rector Gymn. Francof. ad Viadr.

Mich. *Hißmann*, Profeſſor Goetting.

Frid. Dan. *Hoffmann*, disciplinae civilis ordini a secretis, Biponti. *6 Ex.*

Io. Georg. *Hutten*, Philos. D. & Rector Gymn. Spirens.

I.

Bernhard. a *Ienisch*, S. Caes. Maiest. a consiliis cancellariae aulicae, Vindobon.

K.

Christoph. Guilielm. de *Koch*, Professor Hist. & Bibliothecarius, Argentorati.

———*Koeberlin*, Memmingensis, Goettingae.

———*Koeler*, Lector Philos. Goettingae.

———*Koepper*, Collaborator Scholae Ilefeld.

Io. Henr. *Kramer*, Bibliopega, Tiguri.

———*Kraut*, Med. Doct. Luneburgi.

L.

———*Lademann*, Procurator Coenobii Bergensis.

Reverend. P. *Leopoldus*, Ord. septem Fundatorum, Viennae.

M.

———*Mahsko*, a Consiliis Sereniss. Landgrav. Hass. Cassell.

Georg. Henr. *Martini*, Phil. D. & Rector Scholae ad S. Nicol. Lipsi.

F. W. I. *Metternich*, Vidua, bibliop. Colon. *3 Ex.*

———*Moier*, Pastor Primarius Eccl. Equestr. Esthon. Revaliae.

Marc. Guilielm. *Müller*, Subrector Gymnas. Altenaviae.

N.

Aug. Herm. *Niemeyer*, Professor Halensis.

O.

———*Oberthür*, Theol. D. & Prof. Herbipoli.

———*Oberthür*, V. D. M. Ursspringae in Franconia.

R.

Illustriss. Baro de *Revieczky*, S. Caes. Maiest. ad Regem Borussorum ablegatus, Berolini.

S.

Ge. Frid. Casimir *Schad*, Noribergae.

Io. Adam. *Scheuer*, Odenhem. Palatinus, LL. AA. Stud. in Gymn. Grunstad.

Franc. *Schild*, Thesauro numismatico Caes. Vindob. praefectis adscriptus, Viennae.

Carol. Christ. *Seybel*, Palatinus, LL. AA. Stud. in Gymn. Grunstad.

* *

Hieron. Petr. *Schloſſer*, I. U. D. & Senator, Francof. ad Moen.

———*Schulz*, Cand. Theol. Halae.

Ern. Aug. *Schulze*, Doct. & Profeſſ. Theol. & Inſpector eccleſiarum Reform. Dioeceſeos Francof. Francofurti ad Viadr.

———*Sprüngli*, Stud. Theol. Bernae.

———*Starck*, Concionator aulicus, Darmſtadii.

———*Steffen*, Stud. Theol. Halae.

Franc. Nic. *Steinacher*, Theol. D. & Canonicus, Herbipoli.

Ignat. *Steininger*, Secretarius Collegii venatorii, Viennae.

———*Stenzel*, Ephorus, Serveſtae.

———*Stenzel*, Candidat. S. Miniſt. Serveſtae.

Maximilianus *Stoll*, Phil. & Medic. D. S. Caeſ. Maieſt. a conſiliis, Medicinae pract. Prof. ordinar. & Phyſicus ptochotrophii S. Trinitat. Viennae.

Rev. Paullus *Strattmann*, Viennae.

T.

———a *Türkheim*, Senator ex Ordine XXIvirorum, Argentorati.

V.

Io. Car. *Volborth*, Phil. Mag. Goettingae.

———*Unverzagt*, Superintendens & Paſtor Eccleſ. Eimbecenſ.

W.

———*Wagemann*, Superintendens generalis, & Paſtor Eccl. Goetting.

Illuſtriſſ. Baro de *Wald.*

———*Wallis*, LL. Studiof. Goettingae.

Reverend. D. *Wattran*, Scholarum latinarum Praefectus, Viennae.

———*Wehrmann*, Profeſſor Academ. Equeſtris Eſthoniae, & Ephorus Alumnorum nobilium, Revaliae.

———*Wehrmann*, Profeſſor Gymn. Imperialis, Revaliae.

Ignatius de *Wenger*, Director Schol. Caeſ. national. principal. Presburgi.

Frid. Aug. *Wolf*, Rect. Scholae Oſterrodanae prope Goettingam.

LECTORIBUS HUMANIS S.

HABETIS iam tertium (cui quartum brevi succedet) principis philosophi volumen, haud minori diligentia a sociis *EXTERO* & *EMBSERO* curatum, cum varietate lectionis a viro, ex *HEYNII* disciplina docto, quae singularis laus habetur, Chr. Guilielmo *MITSCHERLICH*, Collaboratore paedagogii illustris Ilefeldensis, collecta. Praeiverat quidem, quod ad collationem codicis Tubingensis, in varietate lectionis, alteri volumini adiecta, saepius laudati, attinet, vir antiquis literis egregie instructus, Ieremias David *REUSS*, bibliothecarius Academiae Tubingensis, quem in Georgiam Augustam ad munia Professoris extraordinarii et Custodis bibliothecae amplissimae evocatum, nuperrime didicimus; qui cum silvam lectionum diligentissime inde comparatam obtulisset Clar. *HEYNIO*, cumulus inde post delectum habitum ad augenda Platonis nostri bona accessit. Quare cum se socium laboris praebuerit vir honestissimus, eum quoque laudis consortem publice esse volumus: ipsius vero codicis descriptionem etiamnum desideramus.

Dum haec ſcribimus, laetior nobis affertur nuntius ab illuſtri R. F. P. *BRUNCKIO*, viro in literis Graecorum hodie tuendis primario, qui cum Codicem MS. Bibliothecae Regiae Pariſienſis ad uſus ſuos acceperit, in quo praeter alia etiam Platonis libri X de Republica, Sympoſium, Minos & Definitiones continentur, pro mira ſua humanitate, ſuoque bonas literas adiuvandi animo, nobis omnem Codicis conferendi facultatem ſe conceſſurum ſignificavit. Quemadmodum doctam hanc viri praeſtantiſſimi liberalitatem in bonum Platonis noſtri ceſſuram omnes nobiſcum agnoſcent: ita iucunde ſperamus, fore, ut ſtudium Platonis in dies magis proveniat. Et ſunt viri inter Germanos ab antiquis artibus inſtructi, qui in ſingularibus Platonis libellis accurandis & illuſtrandis elaborant, ut meliora tandem ſtudia revertant. Poſt virum enim doctrina praeſtantem, Io. Frid. *FISCHERUM*, qui primus noſtra aetate de Platone bene mereri coepit, iam & alii adſunt: I) Io. Fridericus *GEDIKE*, clariſſimus Gymnaſii Fridericowerdani apud Berolinenſes Director, qui cum iam ante hos tres annos animadverſiones in editionem IV dialogorum Bieſterianam contuliſſet, eoſdemque ſapientius, quam a pleriſque fit, Germanice loquentes induxiſſet (quod in notitia literaria vol. I praemiſſa p. XCIII & ſq. breviter monuimus) etiam in ſe recepit, ſe in pulcherrimo antiquitatis philoſophicae monumento *de Rep.* tractando non modo interpretem, ſed & textus Graeci curatorem eſſe acturum; II) Frid. Auguſt. *WOLF*,

Scholae Osterrodanae in Hercynia silva Rector, qui nuper *Symposium* singulari ratione, neque solum diligentius, quam factum est a Clar. *FISCHERO*, curatum, sed & egregia cum sapientia illustratum Lipsiae edidit, paremque curam ad alia Platonis transferre pollicetur, quo promisso ut stet vir humanitate praestans, etiam publice rogamus; III) Marcus Guilielmus *MUELLER*, Gymnasii Altonani Subrector, qui uti in *Ione* ad fidem Cod. Veneti (ab ipso celeb. Morellio, bibl. S. Marci praefecto, collati) veterumque edd. revocato & animadversionibus illustrato laudem nuper invenit, ita maxime velimus similem diligentiam in Parmenide, post Io. Frid. *Fischeri*, & quo is non usus est, Io. Guil. *Thompsoni*, Angli, (qui Parmenidem Platonis emendatiorem, ipso doctissimo *Muellero* nobis significante, edidit Londini an. CIↃIↃCCXXVIII) studia, accurando ponat.

Quum novas hasce libellorum Platonicorum editiones suo quamque loco curatius indicare, nostrum sit; nunc nihil nobis reliquum est, quam ut quaedam, quae *ad notitiam literariam volumini I praemissam generalem* augendam pertinent, huc conferamus.

Ad p. XCIII & XCIV *De versionibus.*

I Bembinae versionis titulum pleniorem doctissimus Frid. Aug. *Wolfius* in praef. *Symposii* sui p. XII sic edidit:

Opere di Platone, tradotte da Dardi Bembo, *Gentiluomo Venetiano, cogli argomenti, e Note del* Serano. *Venetia*, 1601. 3 voll. 12.

Recuſa eſt Bembina haec interpretatio Venetiis, 3 voll. in quarta forma, & quidem duo priora an. 1742, tertium 1743. Graecum quidem textum redolet, ſed & quandoque ab eo aberrat: tum paululum riget oratio; Atticamque elegantiam & ſubtilitatem non imitatur. Sic *Wolfius* exiſtimat.

II Qui omnes interpretes ſuperavit Floyerus *Sydenham*, Anglus, & Platonis familiariſſimus & ſermonis ſui ſcientior, ſimul ad dialogos a ſe redditos attulit animadverſiones bene multas, quibus partim varias lectiones diiudicat, partim res illuſtrat. Quos vero ille ſeorſim publicaverat libros primum de ſcriptis Platonis eorumque lectione, ſynopſin, tum dialogos a ſe verſos, hi dein communi titulo inſcripti & in *duo* volumina collecti prodiere: quorum *alterum* fere non venit in Germanorum notitiam. Ita vero literatiſſimus *Muellerus*, Subrector Altonanus, literis ad nos ſub finem anni prioris datis utrumque volumen deſcripſit:

Dialogues of Plato. Vol. I, Lond. 1767, in quarta forma, quod complectitur: 1) *A Synopſis, or a general view of the writings of Plato*, 1759. 2) *Io, concerning Poetry.* The ſecond Edition *corrected and amended.* 1768. 3) *The greater Hippias* -- 1771. 4) *The leſſer Hippias* -- 1761. 5) *The Banquet* -- 1761.

Dialogues of Plato. Vol. II, Lond. 1773, 4. quod habet 1) *The Rivals* -- 1769. 2) *Meno* -- 1769. 3) *The firſt Alcibiades* -- 1773.

CONTINUATIO
NOTITIAE LITERARIAE
Io. Alb. Fabricii
AUCTORIS
DE SINGULIS LIBRIS PLATONIS.

I. ΕΥΘΥΔΗΜΟΣ, ἢ Ἐριστικός *ſ. contentioſus*, ἀνατρεπτικός. In hoc dialogo Socrates Euthydemum & fratrem huius, aetate prouectiorem, Dionyſodorum, patria Chios, domicilio Thurios, pollicitos docere virtutem, tantummodo Sophiſticis interrogatiunculis auditores ſuos ludere ac ſuſpendere notat. Docet idem, bonum eſſe non diuitias, libertatem, eruditionem, honores, potentiam, quin immo ne immortalitatem quidem; ſed ſapientiam recte his utendi. hanc eſſe τέχνην βασιλικήν.

II. ΠΡΩΤΑΓΟΡΑΣ, ἢ Σοφισταὶ, ἐνδεικτικός. Laudatur Gellio V. c. 3. In hoc dialogo Paralus & Xanthippus, quibus Pericles pater fuit, cum Protagora differunt, ſecundo adventu Athenis morante Olymp. XC, 1. quos multo ante infamis illa peſtilentia Athenis abſumſerat, ut notatum Macrobio L. I Saturnalium c. 1, & Athenaeo L. XI, p. 505, ubi refert Protagoram lecto hoc dialogo dixiſſe, Platonem optime noviſſe ἰαμβίζειν, h. e. criminari. Aliis obiectionibus Athenaei L. V, p. 218, (quas probat Caſaubonus V, 18, p. 386) reſpondere conatur Andr. *Dacerius*, qui Protagoram *Gallice* transtulit. Inducitur autem Protagoras Abderites Sophiſta celebris,

promittens, Hippocratem Apollodori filium, qui ei se in disciplinam dare volebat, artem civilem docturum; sed Socrates negat, posse doceri virtutem, δεόσδοτον boni ac verae voluptatis scientiam, cuius unius defectu peccant, quiqui peccant. Eleganter quoque explicatur dictum Simonidis: ἀνδρα ἀγαθὸν γενέσθαι χαλεπόν; minusque probabile dictum Pittaci: χαλεπὸν, ἐσθλὸν ἔμμεναι.

Latina *Ciceronis* versio, cuius saepe meminit Priscianus & Hieronymus, periit. Inter Critonis quoque dialogos Protagoras fuit, teste Laërtio II, s. 21.

Post *Dacerium*, interpretem Gallicum, vertit germanice Io. Sam. *Muellerus*.

III. ΙΠΠΙΑΣ ὁ ἐλάττων, ἢ περὶ τοῦ ψεύδους, ἀνατρεπτικός. *De mendacio.* In hoc dialogo Hippiam exagitat Socrates, & ostendit, ex eius doctrina sequi, quod inter mendacem & studiosum veri nullum sit discrimen, & minus peccet, qui mala faciat de industria, quam qui invitus. Dialogum utrumque, inscriptum *Hippias* significat Cicero in Bruto c. 8. & 85. Gallice vertit de *Maucroix* in opp. prof. & poet. T. II, Paris. 1685, 12. Anglice Floyerus *Sydenhamus* in Vol. I Dialogorum Platonis a se versorum, in quo est quartus: *The Lesser Hippias* 1761. Germanice legitur in Vol. I. Platonis Germanice loquentis Lemgoviae edito.

IV. ΚΡΑΤΥΛΟΣ, ἢ περὶ ὀνομάτων ὀρθότητος, λογικός. Uterque titulus huius dialogi exstat etiam apud Suidam in ὑπὲρ τὰ ἐσκαμμένα. Agit *de recta nominum ratione*, utrum φύσει, an θέσει rebus impositae fuerint, & disputat quaedam ὑπὸ θειοτέρας δυνάμεως esse ἢ τῆς τῶν ἀνθρώπων. In etymologiis non raro infeliciter Plato versatus videtur Menagio, qui origines linguae Graecae edere voluit, & c. 76. Anti-Bailetti testatur, se vix sex bonas Etymologias reperisse, cum simili studio Platonicas examinasset, quo Ios. Scaliger Varronianas. Idem p. 149 ad Laërtium: *Platonis in Cratylo sunt fere omnia pseudetyma, pace tanti viri liceat dixisse: sed de*

his alibi. Seorſim excuſus Philoſophi Cratylus graece & latine 1527, & Argentor. 1541, 4. Cum Theaeteto graece prodiit cura I. F. Fiſcheri. Lipſ. 1770, 8 mai.

Gallicae ſuae translationis meminit *Antonius Verderius* Bibl. Gallicae p. 81.

Procli Commentarius ſive ſcholia MSS. exſtitere in Barberina & aliis Italiae bibliothecis; ſed & inter libros MSS. Iſaaci Voſſii. Plura de eo refert Fabricius inter Procli inedita L. V, c. 26. ſ. Vol. VIII, p. 530. *Maximi Tyrii* ſcholia in Cratylum exſtitere in Bibl. vet. Pal. vid. Catal. MSS. graec. n. 386. in Monum. piet. & lit. p. 722.

ΕΥΘΥΔΗΜΟΣ

ΕΥΘΥΔΗΜΟΣ

ΕΥΘΥΔΗΜΟΣ
Η
ΕΡΙΣΤΙΚΟΣ.

EUTHYDEMUS
SIVE
CONTENTIOSUS.

ARGUMENTUM.

In hoc ut & in ſuperiore dialogo tractatur illa quaeſtio, Virtusne doceri poſſit. quod ſupercilioſa confidentia maxime affirmabant ſophiſtae: & univerſim oſtenditur inutilis defatigatio prolixarum decertationum, de lana ut, aiunt, caprina: unde nullus ad homines fructus redeat. Peculiaris autem huius diſputationis theſis eſt, De falſa ſcientiae comparandae ratione, quemadmodum a Sophiſtis notatur: & opponitur ei doctrinae quae traditur in Theage. Propoſita enim & ob oculos repraeſentata nugarum ſophiſticarum imagine, demonſtrat inanitatem Sophiſtarum, qui ſcientiae diſcendae artifices ſe profitebantur. Illorum igitur vecordem inſanamque imperitiam, avaritiam infamem, quae in rerum tantarum quaeſtu etiam verſetur, docet: ut impuri Sophiſtae ſint & virtutis & animi mercatores, ſive potius caupones. Indicata Sophiſtarum vanitate, in ſermonis clauſula docet Plato, quamvis Sophiſtae abutantur nomine & cognitione philoſophiae, minime tamen eſſe committendum, ut illius opprobrii, quod penes ipſos tantum auctores haerere debet, odium atque invidia in veram philoſophiam redundet: quae certo ſolidoque utilis cognitionis fructu ſe ſatis tuetur adverſus omnes omnium ſophiſtarum impoſturas.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΚΡΙΤΩΝ, ΣΩΚΡΑΤΗΣ, ΕΥΘΥΔΗΜΟΣ, ΔΙΟΝΥΣΟΔΩΡΟΣ, ΚΛΕΙΝΙΑΣ, ΚΤΗΣΙΠΠΟΣ.

p. 271 a. Τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν Λυκείῳ διελέγου; ἢ πολὺς ὑμᾶς ὄχλος περιειστήκει· ὥστ' ἐγωγε βουλόμενος ἀκούειν προσελθὼν, οὐδὲν οἷόστ' ἦν ἀκοῦσαι σαφές. ὑπερκύψας μέντοι κατεῖδον· καί μοι ἔδοξεν εἶναι ξένος τὶς ᾧ διελέγου. τίς ἦν; ΣΩ. Ὁπότερον καὶ ἐρωτᾷς, ὦ Κρίτων; οὐ γὰρ εἷς, ἀλλὰ δύο ἦσαν. ΚΡ. Ὃν μὲν ἐγὼ λέγω, ἐκ δεξιᾶς τρίτος ἀπὸ σοῦ b. καθῆστο· ἐν μέσῳ δ' ὑμῶν τὸ Ἀξιόχου μειράκιον ἦν· καὶ μάλα πολύ, ὦ Σώκρατες, ἐπιδεδωκέναι μοι ἔδοξε, καὶ τοῦ ἡμετέρου οὐ πολύ τι τὴν ἡλικίαν διαφέρειν Κριτοβούλου. ἀλλ' ἐκεῖνος μὲν, σκληφρὸς, οὗτος δὲ, προφερὴς, καὶ καλὸς καὶ ἀγαθὸς τὴν ὄψιν. ΣΩ. Εὐθύδημος, οὗτός ἐστιν, ὦ Κρίτων, ὃν ἐρωτᾷς.

DIALOGI PERSONAE

CRITO, SOCRATES, EUTHYDEMUS, DIONYSODORUS, CLINIAS, CTESIPPUS.

QUISNAM ille erat, o Socrates, quicum heri in Lyceo disputabas? Vos quidem turba frequens circumstabat. quare, licet propius accederem audiendi cupidus, nihil tamen aperte percipere poteram. Cum vero in pedes erectus inspicerem, mihi visus est hospes quidam esse, quicum differebas. Quis ille? *So.* De utro interrogas Crito? Non enim unus tantum, sed duo aderant. *Cr.* Tertius ad dexteram tuam sedebat is, quem dico: medius autem adolescentulus ille Axiochi filius, qui mihi visus est satis admodum profeciſſe. Critobuli quidem nostri ferme aequalis est. Verum ille aridiori quodam corporis habitu: hic natu grandioris speciem prae se ferre videtur, honesta sane indole atque egregia. *So.* Euthydemus is est quem

ὁ δὲ παρ' ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς, ἀδελφὸς τούτου, Διονυσόδωρος. μετέχει δὲ καὶ οὗτος τῶν λόγων. ΚΡ. Οὐδέτερον γιγνώσκω, ὦ Σώκρατες. ΣΩ. Καινοί τινες αὖ οὗτοι, ὡς ἔοικε, σοφισαί. ΚΡ. Ποδαποὶ δέ; καὶ τίς ἡ σοφία; ΣΩ. Οὗτοι c.
τὸ μὲν γένος, ὡς ἐγῷμαι, ἐντεῦθέν ποθεν εἰσὶν ἐκ Χίου, ἀπῴκησαν δὲ ἐς Θουρίους. φεύγοντες δὲ ἐκεῖθεν, πόλλ' ἤδη ἔτη περὶ τούσδε τοὺς τόπους διατρίβουσιν. ὃ δὲ σὺ ἐρωτᾷς τὴν σοφίαν αὐτοῖν, θαυμάσι' ὦ Κρίτων, πάνσοφοι ἀτεχνῶς. ὡς ἔγωγε οὐδ' ἤδειν πρότου ὅτι εἶεν οἱ παγκρατιασταί. τούτω γὰρ ἐσὸν κομιδῇ παμμάχω· οὐ κατὰ τὼ Ἀκαρνᾶνε τὼ παγκρατιασὰ ἀδελφώ. ἐκείνω μὲν γὰρ τῷ σώματι μόνον οἷώ τε μά- d.
χεσθαι· τούτω δὲ, πρῶτον μὲν τῷ σώματι δεινοτάτω ἐσὸν, καὶ μάχῃ ᾗ πάντων ἐσὶ κρατεῖν. ἐν ὅπλοις γὰρ αὐτώ τε σοφὼ πάνυ μάχεσθαι, καὶ ἄλλον ὃς ἂν διδῷ μισθὸν οἵωτε ποιῆσαι· p.
ἔπειτα τὴν ἐν τοῖς δικαστηρίοις μάχην κρατίστω καὶ ἀγωνίσα- 272
σθαι καὶ ἄλλον διδάξαι, λέγειν τε καὶ συγγράφεσθαι λόγους a.
οἵους εἰς τὰ δικαστήρια. πρότου μὲν οὖν ταῦτα δεινὼ ἦστην

quaeris, o Crito. qui vero ad finiſtram mihi aſſidebat, Dionyſodorus eius frater, qui ipſe quoque diſputabat. *Cr.* Neutrum cognoſco, o Socrates. *So.* Novi ſunt, ut videntur, ſophiſtae. *Cr.* Quaenam horum patria eſt? quae ſapientia? *So.* Chii ſunt, ut arbitror, patria: ad Thurios autem migrarunt. illinc autem fugientes multos iam annos iſtis in locis verſantur. De ſapientia vero illorum quod tu rogas, o Crito, plane ſapientiſſimi ſunt. & haſtenus ignorabam equidem perfectos athletas eſſe. Sunt enim ad omne certandi genus inſtructi, non quemadmodum Acarnani fratres athletae. Illi namque corpore tantum valent: hi vero ore primum maxime valent, & eo genere pugnae, quo omniâ ſuperantur. Armorum enim periti ſunt maxime, & armorum peritos reddere, ſi quis mercedem det, etiam ceteros poſſunt. Deinde iudicialem pugnam & ipſi tractare expedireque, & unumquemque inſtruere poſſunt, tum ſcribendis, tum perorandis cauſis. Et haſtenus quidem harum dumtaxat periti erant: nunc autem perfecte athleticae facultati

μόνον, νῦν δὲ τέλος ἐπιτεθείκατον παγκρατιαστικῇ τέχνῃ. ἢ γὰρ ἦν λοιπὴ αὐτοῖν μάχη ἀργὸς, ταύτῃ νῦν ἐξείργασθον ὥστε μηδ' ἂν ἕνα αὐτοῖς οἴόντ' εἶναι μηδ' ἀντᾶραι. οὕτω δεινὼ γεγόνατον ἐν τοῖς λόγοις μάχεσθαί τε καὶ ἐξελέγχειν τὸ ἀεὶ
b. λεγόμενον, ὁμοίως ἐάν τε ψεῦδος, ἐάν τε ἀληθὲς ᾖ. ἐγὼ μὲν οὖν, ὦ Κριτων, ἐν νῷ ἔχω τοῖν ἀνδροῖν παραδοῦναι ἐμαυτόν. καὶ γὰρ φατὸν ἐν ὀλιγῳ χρόνῳ ποιῆσαι ἂν καὶ ἄλλον ὁντινοῦν τὰ αὐτὰ ταῦτα δεινόν. ΚΡ. Τί δαὶ, ὦ Σώκρατες; οὐ φοβῇ τὴν ἡλικίαν μὴ ἤδη πρεσβύτερος ᾖς; ΣΩ. Ἱκιζά γε, ὦ Κρίτων, ἱκανὸν τεκμήριον ἔχων καὶ παραμύθιον τοῦ μὴ φοβεῖσθαι. αὐτὼ γὰρ τούτω, ὡς ἔπος εἰπεῖν, γέροντε ὄντε ἠρξάσθην ταύτης τῆς σοφίας ἧς ἔγωγε ἐπιθυμῶ, τῆς ἐριστι-
c. κῆς· πέρυσι δὲ ἢ προπέρυσι οὐδέπω ἦσην σοφώ. ἀλλ' ἐγὼ ἐν μόνον φοβοῦμαι, μὴ αὐτὸς ὄνειδος τοῖν ξένοιν περιάψω, ὥσπερ Κόννῳ τῷ Μητροβίου τῷ κιθαριστῇ, ὃς ἐμὲ διδάσκει ἔτι καὶ νῦν κιθαρίζειν. ὁρῶντες οὖν οἱ παῖδες οἱ συμφοιτηταί μου, ἐμοῦ τε καταγελῶσι, καὶ τὸν Κόννον καλοῦσι γεροντοδιδάσκαλον. μὴ οὖν καὶ τοῖν ξένοιν τὶς ταυτὸ τοῦτο ὀνειδίσῃ· οἱ δ' αὐτὸ τοῦτο ἴσως φοβούμενοι τάχα με οὐκ ἂν ἐθέλοιεν προσ-

finem impoſuerunt. Quod enim deerat certandi genus, nuper ſic aſſecuti ſunt, ut nemo illis valeat reluctari: adeo dicendo valent, promtique ſunt ad quodvis dictum, ſeu verum ſeu falſum, refellendum. Quapropter, o Crito, his me viris tradere cogito. pollicentur enim quemvis alium brevi ſe eorundem compotem reddituros. *Cr.* An non te grandior aetas abſterret, o Socrates? *So.* Minime, Crito. eſt enim quod me ſoletur, ac diffidere non ſinat. Nam & hi iam ſenes, ut ita dixerim, huic ſe facultati quam ego nunc affecto, contentioſae videlicet dediderunt. anno enim ſuperiori, aut certe ab hinc tertio nondum callebant. Unum vero hoc tantum vereor, ne his hoſpitibus dedecori ſim, quemadmodum Conno Metrobii filio citharistae, qui me etiam nunc fidibus docet. Pueri igitur condiſcipuli me quotidie rident, & Connum ipſum ſenum magiſtrum nuncupant. Ne ergo hoc idem aliquis hoſpitibus his

δέξασθαι. ἐγὼ δ', ὦ Κρίτων, ἐκεῖσε μὲν ἄλλους πέπεικα συμμαθητάς μοι φοιτᾶν πρεσβύτας, ἐνταῦθα δέ γε ἑτέρους πειράσομαι πείθειν· καὶ σύ τι που συμφοίτα. ἴσως δὲ δέλεαρ ἄξομεν αὐτοῖς τοὺς σοὺς υἱεῖς. ἐφιέμενοι γὰρ ἐκείνων οἶδ' ὅτι καὶ ἡμᾶς παιδεύσουσιν. ΚΡ. Ἀλλ' οὐδὲν κωλύει, ὦ Σώκρατες, ἐάν γέ σοι δοκῇ. πρῶτον δέ μοι διήγησαι τὴν σοφίαν τοῖν ἀνδροῖν τίς ἐστιν, ἵνα εἰδῶ ὅ, τι καὶ μαθησόμεθα. ΣΩ. Οὐκ ἂν φθάνοις ἀκούων ὡς οὐκ ἂν ἔχοιμί γε εἰπεῖν, ὅτι οὐ προσεῖχον τὸν νοῦν αὐτοῖν· ἀλλὰ πάνυ καὶ προσεῖχον καὶ μέμνημαι· καί σοι πειράσομαι ἐξαρχῆς ἅπαντα διηγήσασθαι. κατὰ θεὸν γάρ τινα ἔτυχον καθήμενος ἐνταῦθα οὗπερ σύ με εἶδες, ἐν τῷ ἀποδυτηρίῳ, μόνος· καὶ ἤδη ἐν νῷ εἶχον ἀναστῆναι· ἀνίσαμένου δέ μου ἐγένετο τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. πάλιν οὖν ἐκαθεζόμην, καὶ ὀλίγῳ ὕστερον εἰσέρχεσθον τουτω, ὅ, τ' Εὐθύδημος, καὶ ὁ Διονυσόδωρος, καὶ ἄλλοι μαθηταὶ ἅμα πολλοί, ἐμοὶ δοκεῖ. εἰσελθόντε δὲ περιεπατείτην ἐν τῷ καταστέγῳ δρόμῳ· καὶ οὔπω τούτω δύ' ἢ τρεῖς δρόμους περιεληλυ-

d.

e.

p. 273 a.

obiiciat, & illi ea re deterriti, me reiiciant, alios quosdam praeterea, o Crito, natu grandes, ut mecum illuc discendi gratia proficiscantur, sum exhortatus: & hic item quosdam persuadere conabor. quin tu quoque adito una: immo etiam illecebram ipsis ducamus tuos filios. etenim ubi sperabunt etiam filiorum tuorum concursum, his quasi illecebris adducti libentius nos erudiendos accipient. *Cr.* Nihil prohibet, Socrates, si tibi ita videtur. Verum prius quae illorum sapientia sit, narra, ut quid percepturi simus cognoscam. *So.* Frustra exspectas, dum non posse dicam, quasi non auscultarim satis: immo & auscultavi diligenter, & memini; tibique a principio cuncta referre conabor. Equidem divina quadam sorte in loco, ubi athletae exuuntur, solus, ubi me vidisti, sedebam: iamque inde discedere cogitabam, cum surgenti solitum illud daemonis signum subito obstitit. Restiti itaque, ac paulo post ingressi sunt Euthydemus Dionysodorusque, & cum his alii multi, qui illorum mihi discipuli videbantur. Ingressi autem in ipso adoperto curriculo

θότε ἤκην, καὶ εἰσέρχεται Κλεινίας, ὃν σὺ φὴς πολὺ ἐπιδεδωκέναι, ἀληθῆ λέγων. ὄπισθεν δὲ αὐτοῦ ἑραςαὶ πάνυ πολλοί τε καὶ ἄλλοι, καὶ Κτήσιππος, νεανίσκος τὶς Παιανιεὺς, μάλα καλός τε κἀγαθὸς, τὴν φύσιν ὅσον μὲν, ὑβριςὴς δὲ, διὰ τὸ
b. νέος εἶναι. ἰδὼν οὖν με ὁ Κλεινίας ἀπὸ τῆς εἰσόδου μόνον καθήμενον, ἄντικρυς ἰὼν, παρεκαθίζετο ἐκ δεξιᾶς, ὥσπερ καὶ σὺ φής. ἰδόντε δὲ αὐτὸν ὅ, τε Διονυσόδωρος καὶ ὁ Εὐθυδήμος, πρῶτον μὲν ἐπιςάντε διελεγέσθην ἀλλήλοιν, ἄλλην καὶ ἄλλην ἀποβλέποντε εἰς ἡμᾶς (καὶ γὰρ πάνυ προσεῖχον αὐτοῖν τὸν νοῦν) ἐπειτα ἰόντε, ὁ μὲν παρὰ τὸ μειράκιον ἐκαθέζετο, ὁ Εὐθυδήμος· ὁ δὲ, παρ' αὐτόν με, ἐξ ἀριςερᾶς. οἱ δ' ἄλλοι, ὡς ἕκαςος ἐτύγχανεν. ἠσπαζόμην οὖν αὐτὼ, ἅτε διὰ χρόνου
c. ἑωρακώς. μετὰ δὲ τοῦτο εἶπον πρὸς τὸν Κλεινίαν, Ὦ Κλεινία, τώδε μέντοι τὼ ἄνδρε σοφὼ, Εὐθύδημός τε καὶ Διονυσόδωρος, οὐ τὰ σμικρὰ, ἀλλὰ τὰ μεγάλα. τὰ γὰρ περὶ τὸν πόλεμον πάντα ἐπιςασθον, ὅσα δεῖ τὸν μέλλοντα ἀγαθὸν ςρατηγὸν ἔσεσθαι, τάς τε τάξεις καὶ τὰς ἡγεμονίας τῶν ςρατοπέδων·

deambulabant. Vix iterum tertioque ſpatium exegerant, cum adventavit Clinias ille, quem vehementer profeciſſe dicis, & vere loqueris. Eum ſequebantur amici, & alii praeterea multi, tum adoleſcens quidam Cteſippus Paeaneus, ingenio bonus quidem & pulcher, ſed ipſa iuventa laſcivior. Intuitus me ab ingreſſu Clinias ſedentem ſolum, obviam venit, & ad dexteram conſedit, ut & ipſe aiebas. Eum Dionyſodorus Euthydemusque conſpicati, primum quidem conſiſtentes invicem differebant, hinc atque illinc in nos oculis converſis. ego enim illos diligentiſſime obſervabam. Deinde propius accedentes conſederunt, Euthydemus quidem iuxta ipſum adoleſcentem, Dionyſodorus autem iuxta me ad ſiniſtram, alii ut cuique erat locus. His igitur congratulatus ſum, utpote quos diu non vidiſſem. Poſt haec ad Cliniam converſus: Iſti, inquam, o Clinia, viri, Euthydemus Dionyſodorusque non parvis ſunt in rebus, ſed maximis ſapientes. Sciunt quae ad rem militarem pertinent omnia, quaecunque noſſe futurum ſtrenuum imperato-

καὶ ὅσα ἐν ὅπλοις μάχεσθαι διδακτέον. οἵω τε δὲ καὶ ποιῆσαι, δυνατὸν εἶναι αὐτὸν αὐτῷ βοηθεῖν ἐν τοῖς δικαστηρίοις, ἄν τις αὐτὸν ἀδικῇ. εἰπὼν οὖν ταῦτα κατεφρονήθην ὑπ' αὐτοῖν. ἐγε- d.
λασάτην οὖν ἄμφω βλέψαντες εἰς ἀλλήλω. Καὶ ὁ Εὐθύδημος εἶπεν, Οὔτοι ἔτι ταῦτα, ὦ Σώκρατες, σπουδάζομεν, ἀλλὰ παρέργοις αὐτοῖς χρώμεθα. καὶ ἐγὼ θαυμάσας εἶπον, Καλὸν ἂν που τὸ ἔργον ὑμῶν εἴη, εἰ τηλικαῦτα πράγματα πάρεργα ὑμῖν τυγχάνει ὄντα. καὶ πρὸς θεῶν εἴπετόν μοι τί ἐστι τοῦτο τὸ καλόν. Ἀρετήν, ἔφη, ὦ Σώκρατες, οἰόμεθα οἵωτ' εἶναι παραδοῦναι κάλλιστ' ἀνθρώπων καὶ τάχιστα. Ὦ Ζεῦ, οἷον, ἦν δ' ἐγὼ, λέγετον πρᾶγμα. πόθεν τοῦτο τὸ ἔρ- e.
μαιον εὑρέτην; ἐγὼ δὲ περὶ ὑμῶν διενοούμην ἔτι, ὥσπερ νῦν δὴ ἔλεγον, ὡς τὸ πολὺ τοῦτο, δεινοὶν ὄντοιν ἐν ὅπλοις μάχεσθαι. καὶ ταῦτα ἔλεγον περὶ σφῶν. ὅτε γὰρ τοπρότερον ἐπεδημεῖτην, τοῦτο μέμνημαι σφὼ ἐπαγγελλομένω· εἰ δὲ νῦν ἀληθῶς ταύτην τὴν ἐπιστήμην ἔχετον, ἴλεω εἴητον. ἀτεχνῶς γὰρ ἔγω γε σφὼ ὥσπερ θεὼ προσαγορεύω, συγγνώμην δεόμενος

rem decet, aciei ordinumque, & exercitus inſtructiones. Tum etiam quo ſe pacto quiſpiam in iudicio ab iniuria vendicet, docere poſſunt. Illi vero ita me locutum contemſerunt, ſeque invicem inſpicientes uterque riſerunt. Ac Euthydemus quidem, Haud amplius haec ſerio, inquit, o Socrates, tractamus, ſed obiter. Ego vero miratus, Praeclara, inquam, ſtudia veſtra eſſe oportet, ſi remiſſiones ſunt tantae. Dicite, obſecro, quod hoc veſtrum tam egregium opus eſt? *Eu.* Virtutem, o Socrates, nobis perſuademus facillime atque optime omnium doceri a nobis poſſe. *So.* Proh Iupiter, quam pretioſam rem pollicemini! Qua ſorte potiſſimum lucrum iſtud ad vos pervenit? Equidem ita de vobis, ut dixi, hactenus cogitabam, nempe viris in re militari praeſtantibus; idque de vobis praedicabam. Memini enim, cum huc primum veniſtis, hoc ſolummodo fuiſſe profeſſos. quod ſi nunc revera ſcientiam hanc adepti eſtis, eſtote propitii: profecto vos perinde ac deos ſaluto, obſecrans ut quae ante dixi ignoſcatis. Verum videte, o Euthydeme

p. ἔχειν μοι τῶν ἔμπροσθεν εἰρημένων. ἀλλ' ὁρᾶτον, ὦ Εὐθύδη-
274 μέ τε καὶ Διονυσόδωρε, εἰ ἀληθῆ ἐλέγετον. ὑπὸ γὰρ τοῦ με-
a. γέθους τοῦ ἐπαγγέλματος οὐδὲν θαυμαστὸν ἀπιστεῖν. Ἀλλ'
εὖ ἴσθι, ὦ Σώκρατες, ἔφατον, τοῦτο οὕτως ἔχον. Μακαρίζω
ἆρ' ὑμᾶς ἐγωγε τοῦ κτήματος, πολὺ μᾶλλον ἢ μέγαν βα-
σιλέα τῆς ἀρχῆς. τοσόν δέ μοι εἴπετον, εἰ ἐν νῷ ἔχετον ἐπι-
δεικνύναι ταύτην τὴν σοφίαν, ἢ πῶς σφῶϊν βεβούλευται. Ἐπ'
αὐτό γε τοῦτο πάρεσμεν, ὦ Σώκρατες, ὡς ἐπιδειξοντε καὶ
b. διδάξοντε, ἐάν τις ἐθέλῃ μανθάνειν. Ἀλλ' ὅτι μὲν ἐθελή-
σουσιν ἅπαντες οἱ μὴ ἔχοντες, ἐγὼ ὑμῖν ἐγγυῶμαι· πρῶτος
μὲν ἐγώ, ἔπειτα δὲ Κλεινίας οὑτοσί. πρὸς δ' ἡμῖν Κτήσιππός
τε ὅδε καὶ οἱ ἄλλοι οὗτοι· ἦν δ' ἐγώ, δεικνὺς αὐτῷ τοὺς ἑραστὰς
τοῦ Κλεινίου. οἱ δὲ ἐτύγχανον ἡμᾶς ἤδη περιϊσάμενοι. ὁ γὰρ
Κτήσιππος ἔτυχε πόρρω καθεζόμενος τοῦ Κλεινίου· ἐμοὶ δο-
κεῖν, ὡς ἐτύγχανεν ὁ Εὐθύδημος, ἐμοὶ διαλεγόμενος, προ-
νενευκὼς εἰς τὸ πρόσθεν, ἐν μέσῳ ὄντος ἡμῶν τοῦ Κλεινίου,
c. ἐπεσκότει τῷ Κτησίππῳ τῆς θέας. βουλόμενός τε οὖν θεάσα-
σθαι ὁ Κτήσιππος τὰ παιδικὰ, καὶ ἅμα φιλήκοος ὢν, ἀνα-

Dionysodoreque, utrum vera loquamini. neque enim mirum videri debet, si quis rei istius quam pollicemini magnitudinem aestimans, difficile credat. *Eu.* Scito sic esse, o Socrates, prorsus. *So.* Beatiores igitur ob rei huius possessionem vos aestimo, quam ob regnum suum regem illum magnum. Verum dicite, quaeso, utrum exhibere hanc sapientiam vestram cogitetis, an aliter apud vos sit decretum. *Eu.* Ad hoc ipsum, o Socrates, venimus, demonstraturi scilicet, atque docturi, si quis addiscere velit. *So.* Atqui quod velint omnes quicunque carent, ipse vobis ceu sponsor fidem obstringo. ego quidem primo, deinde etiam Clinias hic, praeterea Ctesippus ipse, aliique quos hic vides: Cliniae amicos ostendens, qui nos tum circumstabant. Ctesippus autem forte a Clinia procul sedebat: cumque Euthydemus inter disputandum sese inclinasset, Clinia medio inter nos sedente, & Ctesippum aspectu Cliniae excluderet, surrexit Ctesippus, primusque e regione nostri stetit, ut & vi-

πηδήσας πρῶτος προσέσχη ἡμῖν ἐν τῷ καταντικρύ. οὕτως οὖν καὶ οἱ ἄλλοι ἐκεῖνοι ἰδόντες περιέσχησαν ἡμᾶς, οἵ τε τοῦ Κλεινίου ἐραστὰι, καὶ οἱ τοῦ Εὐθυδήμου τε καὶ Διονυσοδώρου ἑταῖροι. τούτους δὴ ἐγὼ δεικνὺς ἔλεγον τῷ Εὐθυδήμῳ ὅτι πάντες ἕτοιμοι εἶεν μανθάνειν. ὅ, τε οὖν Κτήσιππος συνέφη μάλα προθύμως καὶ οἱ ἄλλοι· καὶ ἐκέλευον αὐτῷ κοινῇ πάντες ἐπι- d.
δείξασθαι τὴν δύναμιν τῆς σοφίας. Εἶπον οὖν ἐγὼ, ὦ Εὐθύδημε καὶ Διονυσόδωρε, πάνυ μὲν οὖν παντὶ τρόπῳ καὶ τούτοις χαρίσασθον, καὶ ἐμοῦ ἕνεκα ἐπιδείξασθον. τὰ μὲν οὖν πλεῖστα δῆλον ὅτι οὐκ ὀλίγου ἔργου ἐπιδεῖξαι εἴη ἄν· τόδε δέ μοι εἴπετον, πότερον πεπεισμένον ἤδη ὡς χρὴ παρ' ὑμῶν μανθάνειν, δύναισθ' ἂν ἀγαθὸν ποιῆσαι ἄνδρα μόνον, ἢ καὶ ἐκεῖνον τὸν μήπω πεπεισμένον, διὰ τὸ μὴ οἴεσθαι ὅλως τὸ e.
πρᾶγμα τὴν ἀρετὴν μαθητὸν εἶναι, ἢ μὴ σφὼ εἶναι αὐτῆς διδασκάλω. φέρε, καὶ τὸν οὕτως ἔχοντα τῆς αὐτῆς τέχνης ἔργον πεῖσαι ὡς καὶ διδακτὸν ἡ ἀρετή; καὶ οὗτοι ὑμεῖς ἐσὲ παρ' ὧν ἂν κάλλιστά τις αὐτὸ μάθοι; ἢ ἄλλως; Ταύτης μὲν οὖν, ἔφη, τῆς αὐτῆς, ὦ Σώκρατες, ὁ Διονυσόδωρος. Ὑμεῖς

deret amicum, & disputantes audiret: mox ceteri hunc secuti tam Cliniae amici, quam Euthydemi & Dionysodori comites, protinus nobis adstiterunt. Hos ego omnes ostendens, Euthydemo pollicitus sum ipsi discipulos fore. Ctesippus igitur vehementer est assensus, nec non & alii; hortatique eum communiter omnes sunt, ut sapientiae vim ostendere vellet. Tum ego, O Euthydeme Dionysodoreque, his, inquam, modis omnibus erit gratificandum, & vel mei gratia demonstrandum. Ac plurima quidem sunt, quae ostendere opus prolixum sit: id autem mihi dicite, utrum hominem dumtaxat iam persuasum quod discere a vobis oporteat, bonum efficere virum potestis? an eum nondum etiam persuasum, & qui nullo pacto doceri virtutem posse, aut vos eius rei magistros esse putet? Numquid artis eiusdem opus est, homini sic affecto persuadere, quod & doceri virtus possit, & quod ipsi qui hoc optime possint sitis: num, inquam, sic est? Eiusdem, inquit Dio-

ἆρα, ἦν δ' ἐγὼ, ὦ Διονυσόδωρε, τῶν νῦν ἀνθρώπων κάλλιστ' ἂν
p. προτρέψαιτε εἰς φιλοσοφίαν καὶ ἀρετῆς ἐπιμέλειαν; Οἰόμεθά
275 γε δὴ, ὦ Σώκρατες. Τῶν μὲν τοίνυν ἄλλων τὴν ἐπίδειξιν ἡμῖν,
a. ἔφην, εἰσαῦθις ἀπόδεσθον· τοῦτο δ' αὐτὸ ἐπιδείξασθον· τουτονὶ τὸν νεανίσκον πείσατον ὡς χρὴ φιλοσοφεῖν, καὶ ἀρετῆς ἐπιμελεῖσθαι, καὶ χαριεῖσθον ἐμοί τε καὶ τουτοισὶ πᾶσι. συμβέβηκε γάρ τι τοιοῦτον τῷ μειρακιῳ τούτῳ· ἐγώ τε καὶ οἵδε πάντες τυγχάνομεν ἐπιθυμοῦντες ὡς βέλτιστον αὐτὸν γενέσθαι. ἔστι δὲ οὗτος, Ἀξιόχου μὲν υἱὸς, τοῦ Ἀλκιβιάδου τοῦ
b. παλαιοῦ, αὐτανεψιὸς δὲ τοῦ νῦν ὄντος Ἀλκιβιάδου· ὄνομα δ' αὐτῷ Κλεινίας. ἔστι δὲ νέος· φοβούμεθα δὴ περὶ αὐτοῦ, οἷον εἰκὸς περὶ νέου, μή τις φθῇ ἡμᾶς ἐπ' ἄλλό τι ἐπιτήδευμα τρέψας αὐτοῦ τὴν διάνοιαν, καὶ διαφθαρῇ. σφὼ οὖν ἥκετον εἰς κάλλιστον. ἀλλ' εἰ μή τι διαφέρει ὑμῖν, λάβετον πεῖραν τοῦ μειρακίου, καὶ διαλεχθήτον ἐναντίον ἡμῶν. Εἰπόντος οὖν ἐμοῦ σχεδόν τι αὐτὰ ταῦτα, ὁ Εὐθύδημος ἅμα ἀνδρείως τε καὶ
c. θαρραλέως, Ἀλλ' οὐδὲν διαφέρει, ὦ Σώκρατες, ἔφη, ἐὰν

nysodorus, artis opus est, o Socrates. Vos itaque prae ceteris, inquam, omnibus ad philosophiam virtutisque curam hortari homines quam optime potestis? Sic arbitramur, inquit, o Socrates. Cetera post ostendetis, inquam: isthuc vero nunc. quaeso enim huic adolescentulo persuadete, quod philosophiae virtutisque studio totis sit viribus incumbendum, mihique & his omnibus morem gerite. Porro adolescentulus hic adeo mihi & his omnibus curae est, ut eum quam optimum virum evadere summopere omnes cupiamus. Est autem Axiochi ex Alcibiade maiore nati filius: minoris autem Alcibiadis, qui nunc est, patruelis. nomen est Clinias. iuvenis est. Illi itaque tanquam iuveni metuimus, ne quis forte nos praeveniens, alio eius animum deflectat atque inquinet. Quare vos peropportune venistis. Et, nisi quid refert, de puero periculum facite, & cum eo nobis praesentibus differite. Haec ferme cum dixissem, Euthydemus fortiter nimium confidenterque, Nihil, inquit, o Socrates refert, modo velit adolescens nobis respondere. Haud in-

μένον ἐθέλῃ ἀποκρίνασθαι ὁ νεανίσκος. Ἀλλὰ μὲν δὴ, ἔφην ἐγὼ, τοῦτό γε καὶ εἴθισαι. θαμὰ γὰρ αὐτῷ οἵδε προσιόντες πολλὰ ἐρωτῶσί γε καὶ διαλέγονται· ὥστε ἐπιεικῶς θάῤῥει τὸ ἀποκρίνεσθαι. Τὰ δὴ μετὰ ταῦτα, ὦ Κρίτων, πῶς ἂν καλῶς σοὶ διηγησαίμην; οὐ γὰρ σμικρὸν τὸ ἔργον, δύνασθαι ἀναλαβεῖν διεξιόντα σοφίαν ἀμήχανον ὅσην. ὥστ' ἔγωγε, καθάπερ οἱ ποιηταὶ, δέομαι, ἀρχόμενος τῆς διηγήσεως, Μούσας τε d.
καὶ Μνημοσύνην ἐπικαλεῖσθαι. ἤρξατο δ' οὖν ἐνθένδε ποθὲν ὁ Εὐθύδημος, ὡς ἐγῷμαι. Ὦ Κλεινία, πότεροί εἰσι τῶν ἀνθρώπων οἱ μανθάνοντες; οἱ σοφοὶ, ἢ οἱ ἀμαθεῖς; Καὶ τὸ μειράκιον, ἅτε μεγάλου ὄντος τοῦ ἐρωτήματος, ἠρυθριασέ τε, καὶ ἀπορήσας ἐνέβλεψεν εἰς ἐμέ· καὶ ἐγὼ γνοὺς αὐτὸν τεθορυβημένον, Θάῤῥει, ἦν δ' ἐγὼ, ὦ Κλεινία, καὶ ἀπόκριναι ἀνδρείως ὅπέρ σοι φαίνεται. ἴσως γάρ τοι ὠφελῇ τὴν μεγίστην c.
ὠφέλειαν. καὶ ἐν τούτῳ ὁ Διονυσόδωρος προσκύψας μοι σμικρὸν πρὸς τὸ οὖς, πάνυ μειδιάσας τῷ προσώπῳ, Καὶ μὴν, ἔφη, ὦ Σώκρατες, προλέγω ὅτι ὁπότερ' ἂν ἀποκρίνηται τὸ μειράκιον, ἐξελεγχθήσεται. καὶ αὐτοῦ μεταξὺ ταῦτα λέγον-

sueta, inquam, illi res est. frequenter enim hi convenientes inter se disputant, interrogantque multa. quocirca consentaneum est respondere posse. Quae vero sequuntur, o Crito, utinam recensere pro dignitate possem! neque vero exigua res putanda est, inaestimabilem illam sapientiam enarrare posse. Quare mihi nunc, poëtarum more, Musas Memoriamque invocandas esse prius video. Euthydemus autem hunc, ut arbitror, in modum est exorsus. Utri sunt, o Clinia, homines qui aliquid discunt? sapientesne, an ignorantes? Puer autem propter quaestionis illius pondus erubuit, & haesitans oculos in me convertit. Ego vero perturbationem illius animadvertens, Bono animo esto, inquam, Clinia, & quae tibi videntur, fortiter respondeo. Arbitror enim commodum hinc maximum assequere. Haec loquenti Dionysodorus in aurem insusurrans, ac ridens, Praedico tibi, Socrates, inquit, quidquid puer responderit, confutatum iri. Interim responderat Clinias: unde mihi puerum

τος, ὁ Κλεινίας ἔτυχεν ἀποκρινάμενος· ὥστε οὐδὲ παρακελεύσασθαί μοι ἐξεγένετο εὐλαβηθῆναι τῷ μειρακίῳ. ἀλλ' ἀπε-
p. κρίνατο ὅτι οἱ σοφοὶ εἶεν οἱ μανθάνοντες. Καὶ ὁ Εὐθύδημος,
276 Καλεῖς δέ τινας, ἔφη, διδασκάλους, ἢ οὔ; Ὡμολόγει. Οὐκ-
a. οὖν τῶν μανθανόντων οἱ διδάσκαλοι, διδάσκαλοί εἰσιν; ὥσπερ ὁ κιθαριστὴς καὶ ὁ γραμματιστὴς, διδάσκαλοι δή που ἦσαν σοῦ καὶ τῶν ἄλλων παίδων, ὑμεῖς δὲ, μαθηταί; Συνέφη. Ἄλλοτι οὖν, ἠνίκα ἐμανθάνετε, οὔπω ἠπίστασθε ταῦτα ἃ ἐμανθάνετε; Οὐκ ἔφη. Ἆρ' οὖν σοφοὶ ἦτε ὅτε ταῦτα οὐκ ἐπίστασθε; Οὐ
b. δῆτα, ἦ δ' ὅς. Οὐκοῦν, εἰ μὴ σοφοὶ, ἀμαθεῖς; Πάνυ γε. Ὑμεῖς ἄρα μανθάνοντες ἃ οὐκ ἠπίστασθε, ἀμαθεῖς ὄντες ἐμανθάνετε. Ἐπένευσε τὸ μειράκιον. Οἱ ἀμαθεῖς ἄρα μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ οἱ σοφοὶ, ὡς σὺ οἴει. Ταῦτ' οὖν εἰπόντος αὐτοῦ, ὥσπερ ὑπὸ διδασκάλου χορὸς ἀποσημήναντος, ἅμα ἀνεθορύβησάν τε καὶ ἐγέλασαν οἱ ἑπόμενοι ἐκεῖνοι μετὰ τοῦ Διονυσο-
c. δώρου τε καὶ Εὐθυδήμου. καὶ πρὶν ἀναπνεῦσαι καλῶς τε καὶ εὖ τὸ μειράκιον, ἐκδεξάμενος ὁ Διονυσόδωρος, Τί δὲ, ὦ Κλεινία, ἔφη, ὁπότε ἀποχρωματίζοι ὑμῖν ὁ γραμματιστὴς, πότεροι

admonere non licebat. Respondérat autem, Sapientes esse qui discunt. Ad quem Euthydemus: Vocas praeceptores aliquos, an non? Assensus est. An non praeceptores, discentium praeceptores sunt? quemadmodum citharista atque grammaticus & tui & ceterorum puerorum praeceptores fuere, vos autem discipuli. Consensit. Cum discebatis, nondum sciebatis haec eadem quae discebatis? Nondum. Numquid eratis sapientes, quando haec ignorabatis? Nequaquam. Si non sapientes, ignorantes igitur. Omnino. Vos ergo dum discebatis quae ignorabatis, ignorantes discebatis. Annuit adolescens. Ex hoc sequitur, ut ignorantes discant, o Clinia, non sapientes, ut ipse putabas. Cum haec ille dixisset, quemadmodum chorus innuente magistro, summo plausu conclamarunt riseruntque illi Euthydemi & Dionysodori sectatores. Ac prius quam respiraret puer, bene praeclareque sermonem excipiens Dionysodorus, Quid porro, o Clinia, inquit? cum aliqua grammaticus pro-

ἐμάνθανον τῶν παίδων τὰ ἀποσοματιζόμενα; οἱ σοφοὶ, ἢ οἱ ἀμαθεῖς; Οἱ σοφοὶ, ἔφη ὁ Κλεινίας. Οἱ σοφοὶ ἄρα μανθάνουσιν, ἀλλ' οὐχ οἱ ἀμαθεῖς· καὶ οὐκ ὀρθῶς ἄρτι Εὐθυδήμῳ ἀπεκρίνω. Ἐνταῦθα δὴ καὶ πάνυ γε μέγα ἐγέλασάν τε καὶ ἐθορύβησαν οἱ ἑταῖροι τοῖν ἀνδροῖν, ἀγασθέντες τῆς σοφίας d.
αὐτοῖν· οἱ δ' ἄλλοι ἡμεῖς ἐκπεπληγμένοι ἐσιωπῶμεν. γνοὺς δὲ ἡμᾶς ὁ Εὐθυδήμος ἐκπεπληγμένους, ἵν' ἔτι μᾶλλον θαυμάζοιμεν αὐτὸν, οὐκ ἀνίει τὸ μειράκιον, ἀλλ' ἠρώτα· καὶ ὥσπερ οἱ ἀγαθοὶ ὀρχησταὶ, διπλᾶ ἔστρεφε τὰ ἐρωτήματα περὶ τοῦ αὐτοῦ· καὶ ἔφη, Πότερα γὰρ οἱ μανθάνοντες, μανθάνουσιν ἃ ἐπίστανται, ἢ ἃ μὴ ἐπίστανται; Καὶ ὁ Διονυσόδωρος πάλιν μικρὸν πρός με ψιθυρίσας, Καὶ τοῦτ', ἔφη, ὦ Σώκρατες, ἕτερον τοιοῦτον e.
οἷον τὸ πρότερον. Ὦ Ζεῦ, ἔφην ἐγὼ, ἦ μὴν καὶ τὸ πρότερόν γε καλὸν ἡμῖν ἐφάνη τὸ ἐρώτημα. Πάντ', ἔφη, ὦ Σώκρατες, τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα. Τοιγάρτοι, ἦν δ' ἐγὼ, δοκεῖτέ μοι εὐδοκιμεῖν παρὰ τοῖς μαθηταῖς. Ἐν δὲ τούτῳ ὁ μὲν Κλεινίας τῷ Εὐθυδήμῳ ἀπεκρίνατο ὅτι μανθάνοιεν οἱ μανθά-

nuntiavit, quinam pueri perdiſcunt? ſapientesne, an ignorantes? Sapientes, inquit Clinias. Ergo ſapientes diſcunt, non ignorantes. quare non recte Euthydemo paulo ante reſpondiſti. Hic altius exclamarunt riſeruntque illorum amici, Euthydemi Dionyſodorique ſapientiam admirati. Nos autem quaſi ſtupidi conticuimus. Cum ergo ſtupidos nos redditos eſſe videret Euthydemus, quo in maiorem inſuper ſui admirationem traheremur, nondum dimiſit puerum, ſed ulterius interrogavit, atque illorum more qui in choro vehementer ſunt exercitati, duplicem movit eadem in re quaeſtionem: Utrum igitur, inquiens, diſcentes quae ſciunt, diſcunt; an quae neſciunt? Tunc Dionyſodorus iterum mihi in aures ſuſurrans, Tale, inquit, o Socrates, eſt & hoc, quale quod ſupra fuit illatum. Proh Iupiter, inquam, praeclarum etiam ſuperius nobis viſum eſt. Ita ſemper, ait, inevitabiles quaeſtiones proponimus. Ideoque videmini, inquam, apud diſcipulos veſtros auctoritatem habere non mediocrem. Interim Clinias Euthydemo reſpondit, eos

νοντες ἃ οὐκ ἐπίσαιντο· ὁ δὲ ἤρετο αὐτὸν διὰ τῶν αὐτῶν ὥνπερ
p. τοπρότερον. Τί δέ; ἦ δ' ὅς, οὐκ ἐπίσασαι σὺ γράμματα; Ναὶ,
277 ἔφη. Οὐκοῦν ἅπαντα; Ὡμολόγει. Ὅταν οὖν τις ἀποσωματίζῃ
a. ὁτιοῦν, σὺ γράμματα ἀποσωματίζει; Ὡμολόγει. Οὐκοῦν ὧν τι
σὺ ἐπίσασαι, ἔφη, ἀποσωματίζει, εἴπερ πάντα ἐπίσασαι. Καὶ
τοῦτο ὡμολόγει. Τί οὖν; ἦ δ' ὅς, ἄρα σὺ μανθάνεις ἅττ' ἂν ἀπο-
σωματίζῃ τὶς, ὁ δὲ μὴ ἐπισάμενος γράμματα, μανθάνει; Οὐκ
ἀλλ', ἦ δ' ὅς, μανθάνω. Οὐκοῦν ἃ ἐπίσασαι εἰδὼς μανθάνεις,
b. εἴπέρ γε ἅπαντα τὰ γράμματά γ' ἐπίσασαι. Ὡμολόγησεν.
Οὐκ ἄρα ὀρθῶς ἀπεκρίνω, ἔφη. Καὶ οὕπω σφόδρα τοι εἴρητο
ταῦτα τῷ Εὐθυδήμῳ, καὶ ὁ Διονυσόδωρος ὥσπερ σφαῖραν ἐκ-
δεξάμενος τὸν λόγον, πάλιν ἐσοχάζετο τοῦ μειρακίου. καὶ
εἶπεν, Ἐξαπατᾷ σε Εὐθύδημος, ὦ Κλεινία. εἰπὲ γάρ μοι, τὸ
μανθάνειν, οὐκ ἐπιστήμην ἐστὶ λαμβάνειν τούτου οὗ ἄν τις μαν-
θάνῃ; Ὡμολόγει ὁ Κλεινίας. τὸ δ' ἐπίσασθαι, ἦ δ' ὅς, ἄλλό τι
ἢ ἔχειν ἐπιστήμην ἤδη ἐστί; Συνέφη. Τὸ ἄρα μὴ ἐπίσασθαι, μήπω
c. ἔχειν ἐπιστήμην ἐστίν. Ὡμολόγει αὐτῷ. Πότεροι οὖν εἰσιν οἱ
λαμβάνοντες ὁτιοῦν; οἱ ἔχοντες ἤδη, ἢ οἳ ἂν μή; Οἳ ἂν μὴ
ἔχωσιν. Οὐκοῦν ὡμολόγηκας εἶναι τούτων καὶ τοὺς μὴ ἐπι-

qui discunt, quae ignorant perdiscere. Statim ille ut supra interrogavit. Scisne ipse literas? Scio. Nonne omnes? Et omnes. Quando aliquis recitat, nonne literas recitat? Concessit. Ergo illa quae scis recitat: quandoquidem ipse omnes scis literas. Admisit & hoc. Nonne discis quae quis recenset? Assensus est. An vero ignorans literas, discis? Minime. immo sciens disco. Nonne igitur quae scis, discis? si quidem omnes scis literas. Annuit. Non recte itaque respondisti. Vix autem dixerat haec Euthydemus, cum Dionysodorus orationem velut pilam excipiens, sic adolescentem petebat. Decipit te Euthydemus, o Clinia. Dic mihi: An non discere, scientiam illius accipere est, quod quis discit? Admisit Clinias. Scire autem numquid aliud est, quam scientiam ipsam iam habere? Concessit. Nescire igitur, est nondum habere scientiam? Dedit & hoc. Utri rem aliquam capiunt? qui habent, an qui non ha-

σαμένους τῶν μὴ ἐχόντων. Κατένευσε. Τῶν λαμβανόντων ἆρ' εἰσὶν οἱ μανθάνοντες, ἀλλ' οὐ τῶν ἐχόντων. Συνέφη. Οἱ μὴ ἐπιστάμενοι ἄρα, ἔφη, μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ οἱ ἐπιστάμενοι. Ἔτι δὴ ἐπὶ τὸ τρίτον καταβαλὼν ὥσπερ πάλαισμα ὥρμα ὁ Εὐθύδημος τὸν νεανίσκον. καὶ ἐγὼ γνοὺς δὲ βαπτιζόμενον τὸ μειράκιον, βουλόμενος ἀναπαῦσαι αὐτὸ, μὴ ἡμῖν ἀποδειλιάσειε, παραμυθούμενος εἶπον, ὦ Κλεινία, μὴ θαύμαζε εἰ σοι φαίνονται ἀήθεις οἱ λόγοι. ἴσως γὰρ οὐκ αἰσθάνῃ οἷον ποιεῖτον τὸ ξένω περί σε. ποιεῖτον δὲ ταυτὸν ὅπερ οἱ ἐν τῇ τελετῇ τῶν Κορυβάντων, ὅταν τὴν θρόνωσιν ποιῶνται περὶ τοῦτον ὃν ἂν μέλλωσι τελεῖν. καὶ γὰρ ἐκεῖ χορεία τίς ἐστι καὶ παιδιὰ, εἰ ἄρα καὶ τετέλεσαι. καὶ νῦν τούτω οὐδὲν ἄλλο ἢ χορεύετον περί σε, καὶ οἷον ὀρχεῖσθον παίζοντε, ὡς μετὰ ε. τοῦτο τελοῦντε. νῦν οὖν νόμισον τὰ πρῶτα τῶν ἱερῶν ἀκούειν τῶν σοφιστικῶν. πρῶτον γὰρ, ὥς φησι Πρόδικος, περὶ ὀνομάτων ὀρθότητος μαθεῖν δεῖ· ὃ δὴ καὶ ἐνδείκνυσθόν σοι τὼ ξένω,

bent? Qui non habent. An non confessus es, nescientes homines ex illorum numero esse, qui non habent? Annuit. Discentes igitur ex illorum numero sunt, qui capiunt, non ex eorum qui habent. Probavit. Ergo qui nesciunt, o Clinia, discunt, non qui sciunt. Post haec vero, tertio iam velut luctam petens Euthydemus adolescentulum adoriebatur. Ego vero succumbentem miseratus, ut paulum recrearem, ne forte expavesceret nimis, hunc in modum consolari coepi: Ne mireris, o Clinia, si insueti sermones isti tibi sunt: nescis enim fortasse hospites isti quid sibi velint. Idem profecto faciunt, quod in mysteriis Corybantes solent, cum quem initiaturi sunt, in solio collocant, applaudunt, choreas iuxta ducunt. Intelligere te arbitror, si quidem initiatus es. Ludunt similiter isti nunc, & circa choreas ducunt ac saltant, quasi quem expiant nunc, mox sacris sint initiaturi. Itaque impraesentiarum primas quasdam sacrorum sophisticorum ceremonias celebrari puta. Principio enim, quemadmodum Prodicus iubet, propria nominum tenere significata decet: quod & hospites tibi isti ostendunt. neque enim

BIBLIOTEKA
BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA

ὅτι οὐκ ἤδεισθα τὸ μανθάνειν ὅτι οἱ ἄνθρωποι καλοῦσι μὲν ἐπὶ τῷ τοιῷδε, ὅταν τις ἐξ ἀρχῆς μηδεμίαν ἔχων ἐπιστήμην περὶ πράγματος τινὸς, ἔπειτα ὕστερον αὐτοῦ λαμβάνῃ τὴν ἐπιστή-
p. μην· καλοῦσι δὲ ταυτὸ τοῦτο καὶ ἐπειδὰν ἔχων ἤδη τὴν ἐπι-
278 στήμην, ταύτῃ τῇ ἐπιστήμῃ ταυτὸν τοῦτο πρᾶγμα ἐπισκοπῇ ἢ
a. πραττόμενον ἢ λεγόμενον. μᾶλλον μὲν αὐτὸ ξυνιέναι καλοῦσιν ἢ μανθάνειν, ἔστι δ' ὅτε καὶ μανθάνειν. σὲ δὲ τοῦτο, ὡς οὗτοι ἐνδεικνυνται, διαλέληθε ταυτὸ ὄνομα ἐπ' ἀνθρώποις ἐναντίως ἔχουσι κείμενον, ἐπὶ τῷ τε εἰδότι καὶ ἐπὶ τῷ μή. παραπλήσιον δὲ τούτῳ καὶ τὸ ἐν τῷ δευτέρῳ ἐρωτήματι, ἐν ᾧ
b. ἠρώτων σε πότερα μανθάνουσιν οἱ ἄνθρωποι ἃ ἐπίστανται, ἢ ἃ μή. ταῦτα δὴ τῶν μαθημάτων παιδιά ἐστι· διὸ καί φημι ἐγώ σοι τούτους προσπαίζειν. παιδιὰν δὲ λέγω διὰ ταῦτα, ὅτι εἰ καὶ πολλά τις ἢ καὶ πάντα τὰ τοιαῦτα μάθοι, τὰ μὲν πράγματα οὐδὲν ἂν μᾶλλον εἰδείη πῇ ἔχει, προσπαίζειν δὲ οἷόστ' ἂν εἴη τοῖς ἀνθρώποις, διὰ τὴν τῶν ὀνομάτων διαφορὰν ὑποσκελίζων καὶ ἀνατρέπων· ὥσπερ οἱ τὰ σκολύθρια τῶν μελλόν-
c. των καθιζήσεσθαι ὑποσπῶντες, χαίρουσι καὶ γελῶσιν ἐπειδὰν

discere sciebas, quomodo homines vocant, cum de his loquuntur. Discere enim vocant, & cum quis, quam rem antea non tenebat, assequitur iam: & cum scientiam eius nactus, eadem scientia illam ipsam rem, vel cum fit, vel cum dicitur considerat: quod rectius intelligere, quam discere voces; quamquam non raro discere vocetur. Id vero te latuit, quemadmodum isti ostenderunt, idem videlicet nomen contrariis rebus ab hominibus attribui, scienti quidem, & nescienti. Simile autem huius est & illud, quod in secunda quaestione proposuerunt, interrogantes utra discant homines, an quae sciunt, an quae nesciunt. Haec omnia ludi quidam in disciplinis sunt: ac ludere tecum istos aio. Ludum autem hac de causa voco, quia & si quis huius generis multa aut omnia etiam norit, rerum tamen naturas nihilo magis intelliget: ludere tamen ex illa nominum diversitate homines poterit, quasi apposita tibia supplantans ac prosternens, eorum more qui sedere volentibus

ἴδωσιν ὕπτιον ἀνατετραμμένον. ταῦτα μὲν οὖν σοι παρὰ τούτων νόμιζε παιδιὰν γεγονέναι· τὰ δὲ μετὰ ταῦτα δηλονότι τούτω γέ σοι αὐτὼ τὰ σπουδαῖα ἐνδείξεσθον· καὶ ἐγὼ ὑφηγήσομαι αὐτοῖν ἵνα μοι ὃ ὑπέσχοντο ἀποδώσειν. ἐφάτην γὰρ ἐπιδείξεσθαι τὴν προτρεπτικὴν σοφίαν· νῦν δὲ, μοὶ δοκεῖ, δεῖν ᾠηθήτην πρότερον παῖσαι πρός σε. Ταῦτα μὲν οὖν, ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε, πεπαίσθω τε ὑμῖν, καὶ ἴσως ἱκανῶς d. ἔχει· τὸ δὲ δὴ μετὰ ταῦτα ἐπιδείξατον, προτρέποντε τὸ μειράκιον ὅπως χρὴ σοφίας τε καὶ ἀρετῆς ἐπιμεληθῆναι. πρότερον δ' ἐγὼ σφῶϊν ἐνδείξομαι οἷον αὐτὸ ὑπολαμβάνω, καὶ οἵου αὐτοῦ ἐπιθυμῶ ἀκοῦσαι. ἐὰν οὖν δόξω ὑμῖν ἰδιωτικῶς τε καὶ γελοίως αὐτὸ ποιεῖν, μή μου καταγελᾶτε. ὑπὸ προθυμίας γὰρ τοῦ ἀκοῦσαι τῆς ὑμετέρας σοφίας, τολμήσω αὐτοσχεδιάσαι ἐναντίον ὑμῶν. ἀνάσχεσθον οὖν ἀγελασὶ ἀκούοντες αὐτοί τε e. καὶ οἱ μαθηταὶ ὑμῶν· σὺ δέ μοι, ὦ παῖ Ἀξιόχου, ἀπόκριναι. ἆρά γε πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν; ἢ τοῦτο μὲν ἐρώτημα ὧν νῦν δὴ ἐφοβούμην, ἐν τῶν καταγελάσων;

furtim ſubſellia ſubtrahunt, & effuſius rident, cum vident, qui cecidit, iacere ſupinum. Haec igitur & tu pro ludis accipe. Deinceps autem ſeria tibi hi tractabunt, ac ego quae promiſerunt ab illis expoſcam: nempe quo pacto ad ſapientiam impelli quispiam poſſit. Nunc autem mihi videntur putaſſe prius tecum eſſe iocandum. Ergo hactenus, o Euthydeme Dionyſodoreque, vobis luſum ſit. & fortaſſe ſatis eſt. Oſtendite iam quod ſequitur. reſtat enim ad virtutis ſapientiaeque ſtudium hunc adoleſcentulum quonam pacto inducatis. Et dicam principio quid mihi videatur, & quid ego potiſſimum cupiam audire. quod ſi imperite & ridicule fecero, ne, obſecro, rideatis. Facit enim audiendae ſapientiae veſtrae cupiditas, ut ineptias meas non dubitem apud vos proferre. Continebitis igitur riſum vos & diſcipuli. Tu autem mihi, Axiochi fili, reſponde, utrum omnes bene agere, hoc eſt, bene vivere cupiamus. An forte quaeſtio haec, ut metuebam, ex eorum numero eſt, quae ridicula ſunt? Dementis eſt enim, arbitror, talia ſcici-

ἀνόητον γὰρ δή που καὶ τὸ ἐρωτᾶν τὰ τοιαῦτα. τίς γὰρ οὐ
βούλεται ἀνθρώπων εὖ πράττειν; Οὐδεὶς ὅστις οὐκ, ἔφη ὁ
p. Κλεινίας. Εἶεν, ἦν δ' ἐγώ. τὸ δὴ μετὰ τοῦτο ἐπειδὴ βουλό-
279 μεθα εὖ πράττειν, πῶς ἂν εὖ πράττοιμεν; ἆρ' ἂν εἰ ἡμῖν πολ-
a. λὰ κἀγαθὰ εἴη; ἢ τοῦτο ἐκείνου ἔτι εὐηθέστερον; δῆλον γάρ
που καὶ τοῦτο ὅτι οὕτως ἔχει. Συνέφη. Φέρε δή, ἀγαθὰ δὲ
ποῖα ἄρα τῶν ὄντων τυγχάνει ἡμῖν ὄντα; ἢ οὐ χαλεπὸν,
οὐδὲ σεμνοῦ ἀνδρὸς πάνυ τοι οὐδὲ τοῦτο ἔοικεν εἶναι εὑρεῖν;
πᾶς γὰρ ἂν ἡμῖν εἴποι ὅτι τὸ πλουτεῖν ἀγαθόν. ἦ γάρ; Πάνυ
γ', ἔφη. Οὐκοῦν καὶ τὸ ὑγιαίνειν, καὶ τὸ καλὸν εἶναι, καὶ
b. τἄλλα κατὰ τὸ σῶμα ἱκανῶς παρεσκευάσθαι; Συνεδόκει.
Ἀλλὰ μὴν εὐγένειαί τε καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ
δῆλά ἐσιν ἀγαθὰ ὄντα. Ὡμολόγει. Τί οὖν, ἔφην, ἔτι ἡμῖν
λείπεται τῶν ἀγαθῶν; τί ἄρα ἐσὶ τὸ σώφρονά τε εἶναι καὶ
δικαιον καὶ ἀνδρεῖον; πότερον πρὸς Διὸς, ὦ Κλεινία, ἡγῇ σὺ,
ἐὰν ταῦτα τιθῶμεν ὡς ἀγαθὰ, ὀρθῶς ἡμᾶς θήσειν, ἢ ἐὰν μή;
ἴσως γὰρ ἄν τις ἡμῖν ἀμφισβητήσειε. σοὶ δὲ πῶς δοκεῖ;
Ἀγαθὰ, ἔφη ὁ Κλεινίας. Εἶεν· ἦν δ' ἐγὼ, τὴν δὲ σοφίαν ποῦ

tari. quis enim est omnium qui bene vivere non cupiat? Nemo, inquit Clinias. Age, inquam, postquam bene vivere volumus, quo pacto assequi licet? Numquid si bona multa nobis sint? An ineptus est, quisquis hoc neget? Sic enim constat esse. Constat, inquit. Bona vero ex omni rerum genere quaenam sunt? inquam. an forte neque id arduum est inventu, nec eleganti homini dubitandum? Quis est enim qui neget bonum esse, divitem esse? nonne? Maxime, inquit. An non & sanum esse, inquam, & pulchrum, ceterisque corporis dotibus praeditum? Certe, inquit. Quin etiam nobilitas, inquam, potentia, & in sua cuique civitate honores, sunt bona? Et ista, inquit. Quae praeterea bona, inquam, restant? Si dixerimus temperantiam, iustitiam, fortitudinem, esse bona, numquid recte dicemus? dubitet enim forte quispiam. Tu vero quid ais? Bona profecto, inquit, dicenda. Sapientiam vero, inquam, quo in genere locabimus? bonorumne? an aliter? In

χοροῦ τάξομεν; ἐν τοῖς ἀγαθοῖς; ἢ πῶς λέγεις; Ἐν τοῖς c.
ἀγαθοῖς. Ἐνθυμοῦ δὴ μήτι παραλείπωμεν τῶν ἀγαθῶν ὅ, τι
καὶ ἄξιον λόγου. Ἀλλά μοι δοκοῦμεν, ἔφη, οὐδὲν, ὁ Κλεινίας.
Καὶ ἐγὼ ἀναμνησθεὶς εἶπον ὅτι, Ναὶ μὰ Δία κινδυνεύομέν
γε τὸ μέγιστον τῶν ἀγαθῶν παραλιπεῖν. Τί τοῦτο; ἦ δ' ὅς.
Τὴν εὐτυχίαν, ὦ Κλεινία· ὃ πάντες φασὶ, καὶ οἱ πάνυ φαῦ-
λοι, μέγιστον τῶν ἀγαθῶν εἶναι. Ἀληθῆ λέγεις, ἔφη. Καὶ ἐγὼ
αὖ πάλιν μετανοήσας εἶπον ὅτι, Ὀλίγου καταγέλασοι ἐγενό-
μεθα ὑπὸ τῶν ξένων ἐγώ τε καὶ σὺ, ὦ παῖ Ἀξιόχου. Τί δὴ, d.
ἔφη, τοῦτο; Ὅτι εὐτυχίαν ἐν τοῖς ἔμπροσθεν θέμενοι, νῦν δὴ
αὖθις περὶ τοῦ αὐτοῦ ἐλέγομεν. Τί οὖν δὴ τοῦτο; Καταγέ-
λασον δή που, ὃ πάλαι πρόκειται, τοῦτο πάλιν προτιθέναι,
καὶ δὶς ταυτὰ λέγειν. Πῶς, ἔφη, τοῦτο λέγεις; Ἡ σοφία δή
που, ἣν δ' ἐγὼ, εὐτυχία ἐστὶ τοῦτο δὲ κἂν παῖς γνοίη. Καὶ
ὃς ἐθαύμασεν. οὕτως ἔτι νέος τε καὶ εὐήθης ἐστι. κἀγὼ γνοὺς
αὐτὸν θαυμάζοντα, Ἆρα οὐκ οἶσθα, ἔφην, ὦ Κλεινία, ὅτι e.
περὶ αὐλημάτων εὐπραγίαν οἱ αὐληταὶ εὐτυχέστατοί εἰσι·

bonorum, inquit, genere. Vide, inquam, ne quid bonorum ratione aliqua dignum praetermittamus. Mihi, inquit, nullum sane praetermisisse videmur. Hic ego cogitans paululum, Videmur, inquam, o Clinia, bonorum omnium maximum postposuisse. Quid hoc? inquit ille. Felicitatem, inquam, quam omnes etiam imperitissimi homines summum bonum vocant. Vera loqueris, inquit. Et ego rursus mutata sententia, Risum ferme, inquam, o Clinia, hospitibus movissemus. Quamobrem? inquit. Quoniam cum felicitatem antea posuerimus, inquam, iterum iam eadem de re loquebamur. Qui istud? inquit. Ridiculum sane quod ante positum est, ponere rursus, bisque eadem recensere. Qua ratione id ais? Sapientia, inquam, ipsa felicitas est: quod quidem, vel puer quivis intelligat. Quod ille cum ob puerilem ruditatem admiratus esset, & ego admirationem animadverterem, hunc in modum interrogavi: Nonne, o Clinia, nosti, quod periti tibicines optime omnium quod tibiarum usum attinet, consequuntur? Assensus est. Et

Συνέφη. Οὐκοῦν, ἦν δ' ἐγὼ, καὶ περὶ γραμμάτων γραφῆς τε καὶ ἀναγνώσεως, οἱ γραμματισταί. Πάνυ γε. Τί δέ; πρὸς τοὺς τῆς θαλάσσης κινδύνους μῶν οἴει εὐτυχεστέρους τινὰς εἶναι τῶν σοφῶν κυβερνητῶν, ὡς ἐπιπαν εἰπεῖν; Οὐ δῆτα. Τί δέ; στρατεύομενος, μετὰ ποτέρου ἂν ἥδιον τοῦ κινδύνου τε
p. καὶ τῆς τύχης μετέχοις; μετὰ σοφοῦ στρατηγοῦ, ἢ μετὰ
280 ἀμαθοῦς; Μετὰ σοφοῦ. Τι δέ, ἀσθενῶν, μετὰ ποτέρου ἂν
a. ἡδέως κινδυνεύοις; μετὰ σοφοῦ ἰατροῦ, ἢ μετὰ ἀμαθοῦς; Μετὰ σοφοῦ. Ἆρ' οὖν, ἦν δ' ἐγὼ, ὅτι εὐτυχέστερον ἂν οἴει πράττειν, μετὰ σοφοῦ πράττων ἢ μετὰ ἀμαθοῦς; Ξυνεχώρει. Ἡ σοφία ἄρα παντα χοῦ εὐτυχεῖν ποιεῖ τοὺς ἀνθρώπους. οὐ γὰρ δήπου ἁμαρτάνοι γ' ἂν ποτέ τις σοφία, ἀλλ' ἀνάγκη ἐρθῶς πράττειν καὶ τυγχάνειν. ἢ γὰρ ἂν οὐκέτι σοφία εἴη.
b. Συνωμολογησάμεθα τελευτῶντες οὐκ οἶδ' ὅπως ἐν κεφαλαίῳ οὕτω τοῦτο ἔχειν· σοφίας παρούσης, ὅταν παρῇ, μηδὲν προσδεῖσθαι εὐτυχίας. ἐπειδὴ δὲ τοῦτο συνωμολογησάμεθα, πάλιν ἐπυνθανόμην αὐτοῦ τὰ πρότερον ὡμολογημένα πῶς ἂν ἡμῖν

eruditi, inquam, grammatici quod literas, tum ſcribendas, tum legendas attinet? Prorſus inquit. Quid autem de periculis quae in mari contingunt? Sapientes quoque gubernatores optatum navigationis portum prae ceteris aſſequuntur? Ita eſt. Nec non belli dux ſapiens, quod ad militiam ſpectat, tutius expedit: & cum illo tutius, quam cum ignorante militabit? Absque dubio, inquit. Et ſapiens medicus ad optatam corporis valetudinem, inquam, melius quam inſipiens te perducet, tuque teipſum libentius illi committes? Certe, inquit. An ideo, quod putes felicius tibi cum ſapiente, quam cum ſtulto ſucceſſurum? Conſenſit. Sapientia igitur omnibus humanis in rebus, inquam, felices nos efficit. neque enim aberrat unquam, nec fallitur ſapientia, ſed recte opus peragit aſſequiturque: alioquin ne ſapientia quidem ſit. Convenimus tandem neſcio quomodo, ut in ſumma diceremus, ſapientia praeſente felicitate nihil eſſe opus. His vero conceſſis rurſum percontatus ſum, quid de his, quae ſupra conceſſa fuerant, ſentiremus. Confeſſi enim ſumus, in-

ἔχοι. ὡμολογήσαμεν γὰρ, ἔφην, εἰ ἡμῖν ἀγαθὰ πολλὰ παρεῖη, εὐδαιμονεῖν ἂν καὶ εὖ πράττειν. Συνέφη. Ἆρ' οὖν εὐδαιμονοῖμεν ἂν διὰ τὰ παρόντα ἀγαθὰ, εἰ μηδὲν ἡμᾶς ὠφελοῖ, ἢ εἰ ὠφελοῖ; Εἰ ὠφελοῖ, ἔφη. Ἆρ' οὖν ἄν τι ὠφελοίη, εἰ ἓν μόνον ἡμῖν, χρώμεθα δ' αὐτοῖς μή; οἷον, σιτία εἰ ἡμῖν εἴη πολλὰ, ἐσθίοιμεν δὲ μὴ, ἢ ποτὸν, πίνοιμεν δὲ μὴ, ἔσθ' ὅ, τι ὠφελοίμεθ' ἄν; Οὐ δῆτα, ἔφη. Τί δέ; οἱ δημιουργοὶ πάντες, εἰ αὐτοῖς εἴη πάντα τὰ ἐπιτήδεια παρεσκευασμένα ἑκάστῳ εἰς τὸ ἑαυτοῦ ἔργον, χρῷντο δ' αὐτοῖς μὴ, ἆρ' ἂν οὗτοι εὖ πράττοιεν διὰ τὴν κτῆσιν, ὅτι κεκτημένοι εἶεν πάντα ἃ δεῖ κεκτῆσθαι τὸν δημιουργόν; οἷον τέκτων, εἰ παρεσκευασμένος εἴη τά τε ὄργανα ἅπαντα καὶ ξύλα ἱκανὰ, τεκταίνοιτο δὲ μὴ, ἔσθ' ὅ, τι ὠφελοῖτ' ἂν ὑπὸ τῆς κτήσεως; Οὐδαμῶς, ἔφη. Τί δέ; d. εἴτις κεκτημένος εἴη πλοῦτόν τε καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα τὰ ἀγαθὰ, χρῷτο δὲ αὐτοῖς μὴ, ἆρ' ἂν εὐδαιμονοῖ διὰ τὴν τούτων κτῆσιν τῶν ἀγαθῶν; Οὐ δῆτα, ὦ Σώκρατες. Δεῖ ἄρα, ἔφην, ὡς ἔοικε, μὴ μόνον κεκτῆσθαι τὰ τοιαῦτα ἀγαθὰ τὸν μέλλοντα εὐδαίμονα ἔσεσθαι, ἀλλὰ καὶ χρῆσθαι αὐτοῖς·

quam, si multa nobis bona sint, bene beateque nos vivere. Admisit. Num beate, inquam, propter praesentia bona vivimus, si nihil prosunt, an si prosunt? Si prosunt, inquit. An vero conferunt quidquam, si habemus illa dumtaxat, non utimur autem? Veluti si epulas multas poculaque habeamus, non vescamur autem; numquid iuvant? Nihil, inquit. Praeterea si artificibus exposita sint praeparataque singula ad opus perficiendum, non utantur autem; num propter ipsam supellectilis & instrumenti copiam bene agant? ceu si fabro parata sint instrumenta omnia, materies item, nihil fabricetur autem; numquid, inquam, possessione iuvabitur? Nullo pacto, inquit. Quid vero? si quis divitias, & bona quae diximus omnia nactus, nequaquam utatur, numquid erit, inquam, ipsa bonorum possessione beatus? Minime, o Socrates, inquit. Oportet itaque illum, qui beatus futurus est, inquam, non solum bona huiusmodi possidere, sed etiam ipsis uti. nihil enim sola possessio iuvat.

ὡς οὐδὲν ὄφελος τῆς κτήσεως γίγνεται. Ἀληθῆ λέγεις. Ἆρ' οὖν, ὦ Κλεινία, ἤδη τοῦτο ἱκανὸν πρὸς τὸ εὐδαίμονα ποιῆσαί
e. τινα, τό, τε κεκτῆσθαι τἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς; Ἔμοιγε δοκεῖ. Πότερον, ἦν δ' ἐγὼ, ἐὰν ὀρθῶς χρῆταί τις, ἢ ἐὰν μή; Ἐὰν ὀρθῶς. Καλῶς δὲ, ἦν δ' ἐγὼ, λέγεις. πλεῖόν γάρ
που, οἶμαι, θάτερόν ἐστιν, ἐάν τις χρῆται ὁτῳοῦν μὴ ὀρθῶς πράγματι, ἢ ἐὰν ἐᾷ. τὸ μὲν γὰρ, κακόν· τὸ δὲ, οὔτε κακὸν,
p. οὔτε ἀγαθόν. ἢ οὐχ οὕτω φαμέν; Συνεχώρει. Τί οὖν; ἐν τῇ
281 a. ἐργασίᾳ τε καὶ χρήσει τῇ περὶ τὰ ξύλα, μῶν ἄλλό τι ἐστὶ τὸ ἀπεργαζόμενον ὀρθῶς χρῆσθαι, ἢ ἐπιστήμη ἡ τεκτονική; Οὐ δῆτα, ἔφη. Ἀλλὰ μήν που καὶ ἐν τῇ περὶ τὰ σκεύη ἐργασίᾳ, τὸ ὀρθῶς ἐπιστήμη ἐστὶν ἡ ἀπεργαζομένη. Συνέφη. Ἆρ' οὖν, ἦν δ' ἐγὼ, καὶ περὶ τὴν χρείαν ὧν ἐλέγομεν τοπρῶτον τῶν ἀγαθῶν, πλούτου τε καὶ ὑγείας καὶ κάλλους, τὸ ὀρθῶς πᾶσι τοῖς τοιούτοις χρῆσθαι, ἐπιστήμη ἦν ἡγουμένη καὶ κατορθοῦσα τὴν
b. πρᾶξιν, ἢ ἄλλότι; Ἐπιστήμη, ἦ δ' ὅς. Οὐ μόνον ἄρα εὐτυχίαν, ἀλλὰ καὶ εὐπραγίαν, ὡς ἔοικεν, ἡ ἐπιστήμη παρέχει τοῖς ἀνθρώποις ἐν πάσῃ κτήσει τε καὶ πράξει. Ὡμολόγει. Ἆρ' οὖν

Recte, inquit. Num poſſeſſio uſusque bonorum, o Clinia, inquam, ad beate vivendum ſufficit? Mihi quidem videtur, inquit. Utrum ita dicis, ſi modo quis recte utatur, an etiam ſi non recte? Si recte, inquit. Probe, inquam. Plus eſt enim puto, inquam, cum quis re quapiam abutitur, quam cum omnino non attingit. Illud ſiquidem malum eſt: hoc nec bonum, nec malum. nonne ita dicendum? Probavit. Numquid in effectione, inquam, & uſu lignorum aliud praeter fabrilem ſcientiam, ut recte uti ſingulis queas, efficit? Non aliud, inquit. Quin etiam circa vaſa conficienda, rectum uſum ſcientia praeſtat? Annuit. Nonne & circa uſum bonorum, quae ſupra retulimus, divitiarum, ſanitatis, & formae, ipſa ſcientia dux erat, his recte uti docens, opusque dirigens? Prorſus, inquit. Non igitur ſucceſſum ſolum, ſed & opus bonum, ut videtur, in omni poſſeſſione actioneque hominibus ſcientia praebet. Aſſenſus eſt. An ulla eſt, obſecro, poſſeſſionum omnium utilis,

ὦ πρὸς Διός, ἦν δ' ἐγὼ, ὄφελός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεως καὶ σοφίας; ἆρά γε ὀνίναιτ' ἂν ἄνθρωπος πολλὰ κεκτημένος καὶ πολλὰ πράττων, νοῦν μὴ ἔχων; ἢ μᾶλλον ὀλίγα, νοῦν δὲ ἔχων; ὧδε δὲ σκόπει. οὐκ, ἐλάττω πράττων, ἐλάττω ἂν ἐξαμαρτάνοι; ἐλάττω δὲ ἁμαρτάνων, c. ἧττον ἂν κακῶς πράττοι; ἧττον δὲ κακῶς πράττων, ἄθλιος ἧττον ἂν εἴη; Πάνυ γ', ἔφη. Πότερον οὖν ἂν μᾶλλον ἐλάττω τὶς πράττοι πένης ὤν, ἢ πλούσιος; Πένης, ἔφη. Πότερον δὲ ἀσθενὴς, ἢ ἰσχυρός; Ἀσθενής. Πότερον δὲ ἔντιμος, ἢ ἄτιμος; Ἄτιμος. Πότερον δὲ ἀνδρεῖος ὢν καὶ σώφρων ἐλάττω ἂν πράττοι ἢ δειλός; Δειλός. Οὐκοῦν καὶ ἀργὸς μᾶλλον ἢ ἐργάτης; Συνεχώρει. Καὶ βραδὺς μᾶλλον ἢ ταχύς; καὶ ἀμβλὺ ὁρῶν καὶ ἀκούων, μᾶλλον ἢ ὀξύ; Πάντα τὰ τοιαῦτα d. ξυνεχωροῦμεν ἀλλήλοις. Ἐν κεφαλαίῳ δ', ἔφην, ὦ Κλεινία, κινδυνεύει σύμπαντα ἃ τοπρῶτον ἔφαμεν ἀγαθὰ εἶναι, οὐ περὶ τούτου ὁ λόγος αὐτοῖς εἶναι, ὅπως αὐτά γε καθ' αὑτὰ πέφυκεν ἀγαθὰ εἶναι· ἀλλ' ὡς ἔοικεν, ὧδ' ἔχει, ἐὰν μὲν αὐτῶν ἡγῆται ἀμαθία, μείζω κακὰ εἶναι τῶν ἐναντίων, ὅσῳ δυνα-

prudentiam ſapientiamque citra? At uter horum maiorem utilitatem reportat, qui mente captus eſt, cum rebus abundet, cum multa faciat? an qui pauca facit, pauca poſſidet, ſed mentis compos? Hoc ita cogita. Nonne qui pauciora agit, rarius errat? minus errans, minus agit male? minus male agens, minus eſt miſer? Omnino, inquit. Quo autem pacto, inquam, pauciora facit aliquis? numquid ſi pauper eſt, an ſi dives? Si pauper, inquit. Utrum ſi debilis, an ſi robuſtus? Si debilis, inquit. Utrum ſi honoratus, an ſi abiectus? Si abiectus, inquit. Utrum ſi fortis & temperans, an ſi timidus? Si timidus. Nonne & piger minus efficit, quam promtus ad agendum? Admiſit. Et tardus, quam velox? & hebes viſu audituque, quam utroque acutus? Omnia haec inter nos convenerunt. Ibi vero hunc in modum concluſi: Videtur non diſputatum fuiſſe de iis omnibus, quae prius bona eſſe diximus, quo modo ipſa per ſe natura bona ſint, ſed ut videtur, ſic ſe res habet: Si illis

τώτερα ὑπηρετεῖν τῷ ἡγουμένῳ κακῷ ὄντι· ἐὰν δὲ φρόνησίς τε καὶ σοφία, μεῖζω ἀγαθά. αὐτὰ δὲ καθ' αὐτὰ, οὐδέτερα
e. αὐτῶν οὐδενὸς ἄξια εἶναι. Φαίνεται, ἔφη, ὡς ἔοικεν, οὕτως ὡς σὺ λέγεις. Τί οὖν ἡμῖν συμβαίνει ἐκ τῶν εἰρημένων; ἄλλό τι ἢ τῶν μὲν ἄλλων οὐδὲν ὂν οὔτε ἀγαθὸν, οὔτε κακόν; τούτοιν δὲ δυοῖν ὄντοιν, ἡ μὲν σοφία, ἀγαθὸν, ἡ δὲ ἀμαθία,
p. κακόν; Ὁμολογεῖ. Ἔτι τοίνυν, ἔφην, τὸ λοιπὸν ἐπισκεψώ-
282 μεθα. ἐπειδὴ εὐδαίμονες μὲν εἶναι προθυμούμεθα πάντες,
a. ἐφάνημεν δὲ τοιοῦτοι γιγνόμενοι, ἐκ τοῦ χρῆσθαί τε τοῖς πράγμασι καὶ ὀρθῶς χρῆσθαι, τὴν δὲ ὀρθότητα καὶ εὐτυχίαν ἐπισήμη ἡ παρέχουσα, δεῖ δὴ, ὡς ἔοικεν, ἐκ παντὸς τρόπου ἅπαντα ἀνδρα τοῦτο παρασκευάζεσθαι, ὅπως ὡς σοφώτατος ἔσαι. ἢ οὔ; Ναὶ, ἔφη. Καὶ παρὰ πατρός γε δή που τοῦτο οἰόμενον δεῖν παραλαμβάνειν πολὺ μᾶλλον ἢ χρήματα, καὶ
b. παρ' ἐπιτρόπων καὶ φίλων, τῶν τε ἄλλων καὶ τῶν φασκόντων ἐραστῶν εἶναι, καὶ ξένων καὶ πολιτῶν, δεόμενον καὶ ἱκετεύοντα

inſcitia praeſit, eo deteriora eſſe, quam illorum contraria, quo uberius improbo duci adminicula ſcelerum ſuppeditare poſſunt: ſin autem prudentia & ſapientia his praeſideat, tum denique meliora. ipſa vero ſuapte quidem natura nulla, nec bona quidem, nec mala exiſtimatione ſunt digna. Videtur, inquit, ita eſſe, ut dicis. Quid aliud ex his ſequitur, inquam, quam nihil ceterorum, vel bonum eſſe, vel malum? e duobus autem iſtis, ſapientiam quidem bonum, inſipientiam vero malum eſſe? Probavit. Iam igitur quod eſt reliquum conſideremus. Poſtquam beati eſſe affectamus omnes, beati autem efficimur, ut apparuit, ex eo quod rebus utimur, & recte utimur: rectitudinem vero uſus, & conſecutionis proſperitatem ſcientia praebet: ceteris omnibus praetermiſſis omni ſtudio niti quisque debet, ut quam ſapientiſſimus fiat. nonne? Certe, inquit. Exiſtimare praeterea quisque debet, a parentibus, a tutoribus, & amicis, ceterisque, illis maxime qui amant, ſeu hoſpites ſint, ſeu cives, hoc expetendum potius, quam ingentes opes; exorandosque omnes, ut ſapientiam impartiant. Neque turpe

σοφίας μεταδιδόναι· οὐδὲν αἰσχρὸν, ὦ Κλεινία, οὐδὲ νεμεσητὸν, ἕνεκα τούτου ὑπηρετεῖν καὶ δουλεύειν καὶ ἑαυτῷ καὶ παντὶ ἀνθρώπῳ, ὁτιοῦν ἐθέλοντα ὑπηρετεῖν τῶν καλῶν ὑπηρετημάτων, προθυμούμενον σοφὸν γενέσθαι. ἦ οὐ δοκεῖ σοι, ἔφην ἐγὼ, οὕτω; Πάνυ μὲν οὖν εὖ μοι δοκεῖς λέγειν, ἦ δ' ὅς. Εἰ ἔστι γε, ὦ Κλεινία, ἦν δ' ἐγὼ, ἡ σοφία διδακτὸν, ἀλλὰ μὴ c. ἀπὸ ταυτομάτου παραγίγνεται τοῖς ἀνθρώποις. τοῦτο γὰρ ἡμῖν ἔτι σκεπτέον, καὶ οὔπω διωμολογημένον ἐμοί τε καὶ σοί. Ἀλλ' ἔμοιγε, ἔφη, ὦ Σώκρατες, διδακτὸν εἶναι δοκεῖ. Καὶ ἐγὼ ἡσθεὶς εἶπον, Ἡ καλῶς λέγεις, ὦ ἄριστε ἀνδρῶν· καὶ εὖ ἐποίησας ἀπαλλάξας με σκέψεως πολλῆς περὶ τούτου αὐτοῦ, πότερον διδακτὸν, ἢ οὐ διδακτὸν, ἡ σοφία. νῦν οὖν ἐπειδή σοι καὶ διδακτὸν δοκεῖ, καὶ μόνον τῶν ὄντων εὐδαίμονα καὶ εὐτυχῆ ποιεῖν τὸν ἄνθρωπον, ἄλλότι ἢ φαίης ἂν ἀναγκαῖον εἶναι d. φιλοσοφεῖν, καὶ αὐτὸς ἐν νῷ ἔχεις αὐτὸ ποιεῖν; Πάνυ μὲν οὖν, ἔφη, ὦ Σώκρατες, ὡς οἷόν τε μάλιστα. Κἀγὼ ταῦτα ἅσμενος ἀκούσας, Τὸ μὲν ἐμὸν, ἔφην, παράδειγμα, ὦ Διονυσόδωρέ τε καὶ Εὐθύδημε, οἷον ἐπιθυμῶ τῶν προτρεπτικῶν λόγων εἶναι, τοιοῦτον ἰδιωτικὸν ἴσως καὶ μόλις διὰ μακρῶν λε-

est, neque indignum, Clinia, sapientiae gratia cuilibet servire, & honestis obsequiis unumquemque demereri. idemne tu sentis? Idem omnino, inquit. probe enim loqui videris. Si modo, inquam, doceri sapientia potest, nec forte & casu hominibus venit. hoc enim insuper est vestigandum: neque dum id inter nos constat. Tum ille: Doceri mihi quidem, o Socrates, posse videtur. Hac ego responsione delectatus, Belle, inquam, optime virorum: ac maximo me beneficio affecisti, longa disquisitione liberans, doceri sapientia possit necne. Nunc vero postquam tibi doctrina comparari posse videtur, solaque haec ex omnibus beatum & felicem hominem reddit, quid aliud, quam philosophandum dicas? numquid hoc ages? Maxime, inquit, o Socrates, quantum id fieri potest. Haec cum libenter audissem, Exemplar, inquam, o Dionysodore, & Euthydeme, exhortationis, quam volo, tale, rudibus pro-

γόμενον· σφῶϊν δὲ ὁπότερος βούλεται, ταυτὸν τοῦτο τέχνῃ πράττων, ἐπιδειξάτω ἡμῖν. εἰ δὲ μὴ τοῦτο βούλεσθον, ὅθεν
e. ἐγὼ ἀπέλειπον, τὸ ἑξῆς ἐπιδείξατον τῷ μειρακίῳ, πότερον πᾶσαν ἐπιςήμην δεῖ αὐτὸν κτᾶσθαι, ἢ ἔςι τις μία ἣν δεῖ λαβόντα εὐδαιμονεῖν τε καὶ ἀγαθὸν ἄνδρα εἶναι· καὶ τίς αὕτη. ὥσπερ γὰρ ἔλεγον ἀρχόμενος, περὶ πολλοῦ ἡμῖν τυγχάνει ὂν,
P. τόνδε τὸν νεανίσκον σοφόν τε καὶ ἀγαθὸν γενέσθαι. Ἐγὼ μὲν
283 οὖν ταῦτα εἶπον, ὦ Κρίτων· τῷ δὲ μετὰ τοῦτο ἐσομένῳ πάνυ
a. σφόδρα προσεῖχον τὸν νοῦν, καὶ ἐσκόπουν τίνα ποτὲ τρόπον ἄψαιντο τοῦ λόγου, καὶ ὁπόθεν ἄρξοιντο, παρακελευόμενοι τῷ νεανίσκῳ σοφίαν τε καὶ ἀρετὴν ἀσκεῖν. ὁ οὖν πρεσβύτερος αὐτῶν, ὁ Διονυσόδωρος, πρότερος ἤρχετο τοῦ λόγου. καὶ ἡμεῖς πάντες ἐβλέπομεν πρὸς αὐτὸν, ὡς αὐτίκα μάλα ἀκουσόμενοι θαυμασίους τινὰς λόγους· ὅπερ οὖν καὶ συνέβη ἡμῖν.
b. θαυμαςὸν γάρ τινα, ὦ Κρίτων, ἀνὴρ κατῆρχε λόγον· οὗ σὲ ἄξιον ἀκοῦσαι, ὡς παρακελευςικὸς ὁ λόγος ἦν ἐπ' ἀρετήν. Εἰπέ μοι, ἔφη, ὦ Σώκρατές τε καὶ ὑμεῖς οἱ ἄλλοι, ὅσοι φατὲ

lixisque fortasse verbis vix tandem a me collectum habetis. Uter autem vestrum vult, idem hoc artificiose contexens nobis ostendat: aut si hoc non lubet, saltem quod orationi meae deest, vos in adolescentis gratiam persequamini: nempe omnemne scientiam, an unam quandam potius parare necesse sit ei, qui vir esse bonus beatusque velit: tum quae haec scientia sit. nam ut principio dixi, vehementer hunc adolescentulum sapientem bonumque evadere desideramus. Haec ubi dixi, o Crito, iam ad sequentia intentus eram, observans quale dicendi exordium facerent, quave potissimum ratione Cliniam ad sapientiae & virtutis studium exhortarentur. Hic qui natu grandior est, Dionysodorus, prior coepit: ac nos quidem omnes oculis in eum conversi eramus, mirificam quandam orationem protinus audituri: quod etiam contigit. Mirum namque sermonem, o Crito, incoepit, dignum qui abs te audiatur, quam belle scilicet provocet ad virtutem. Dic mihi, ait, o Socrates, vosque alii, quicunque adolescentem istum fieri sapien-

ἐπιθυμεῖν τόνδε τὸν νεανίσκον σοφὸν γενέσθαι, πότερον παίζετε ταῦτα λέγοντες, ἢ ὡς ἀληθῶς ἐπιθυμεῖτε καὶ σπουδάζετε. Κἀγὼ διενοήθην ὅτι ὠηθήτην ἄρα ἡμᾶς τοπρότερον παίζειν, ἡνίκα ἐκελεύομεν διαλεχθῆναι τῷ νεανίσκῳ αὐτώ· καὶ διὰ ταῦτα προσεπαισάτην τε καὶ οὐκ ἐσπουδασάτην. ταῦτα οὖν c. διανοηθεὶς, ἔτι μᾶλλον εἶπον ὅτι θαυμαστῶς σπουδάζοιμεν. καὶ ὁ Διονυσόδωρος, Σκόπει μὴν, ἔφη, ὦ Σώκρατες, ὅπως μὴ ἔξαρνος ἔσῃ ἃ νῦν λέγεις. Ἔσκεμμαι, ἦν δ' ἐγώ. οὐ γὰρ μήποτ' ἔξαρνος γένωμαι. Τί οὖν, ἔφη, φατέ; βούλεσθε αὐτὸν σοφὸν γενέσθαι; Πάνυ μὲν οὖν. Νῦν δὲ, ἦ δ' ὅς, Κλεινίας πότερον σοφός ἐστιν, ἢ οὔ; Οὔκουν φησί γέ πω. ἔστι δὲ, ἦν δ' ἐγὼ, οὐκ ἀλαζών. Ὑμεῖς δὲ, ἔφη, βούλεσθε γενέσθαι αὐτὸν σοφὸν, ἀμαθῆ δὲ μὴ εἶναι; Ὡμολογοῦμεν. Οὐκοῦν, ὃς μὲν οὐκ d. ἔστι, βούλεσθε αὐτὸν γενέσθαι· ὃς δ' ἔστι νῦν, μηκέτι εἶναι. Καὶ ἐγὼ ἀκούσας ἐθορυβήθην. Ὁ δέ μου θορυβουμένου ὑπολαβὼν, Ἄλλοτι οὖν, ἔφη, ἐπεὶ βούλεσθε αὐτὸν, ὃς νῦν ἐστι, μηκέτι εἶναι, βούλεσθε αὐτὸν, ὡς ἔοικεν, ἀπολωλέναι. καίτοι πολλοῦ ἂν ἄξιοι οἱ τοιοῦτοι εἶεν φίλοι τε καὶ ἐραστοὶ, οἵτινες τὰ παιδικὰ περὶ παντὸς ἂν ποιήσαιντο ἐξολωλέναι. Καὶ ὁ Κτήσιππος ἀκού-

tem vultis, utrum iocamini, an id ſerio agitis vereque expetitis. Hic intelligens, quod putaſſent luſum eſſe ſibi, iuſſis cum adoleſcente diſputare, atque idcirco luſiſſe & ipſos hactenus, neque ſeria tractaviſſe: Maxime, inquam, deſideramus. Tunc ita Dionyſodorus: Vide, o Socrates, ne quae nunc aſſeris aliquando neges. Scio, inquam, haud me negaturum. Quid igitur dicitis, inquit? ſapientem fieri vultis? Volumus, inquam. Sapiens nunc eſt Clinias, an non? Nondum ait, inquam. eſt enim minime iactabundus. Vos autem, inquit, ſapientem fieri vultis, ignorantem vero eſſe nequaquam? Admiſimus. Ergo quod non eſt, inquit, hoc fieri cupitis: quod vero nunc eſt, haud amplius eſſe. Quod quum audiſſem, turbatus ſum: & ille me turbatum animadvertens, Quoniam, inquit, vultis quod nunc eſt, non amplius eſſe: vultis ut videtur hunc, inquit, interire. Belli vero amici amatoresque ſunt, qui amatos omni

e. σας ἠγανάκτησέ τε ὑπὲρ τῶν παιδικῶν, καὶ εἶπεν, Ὦ ξένε Θούριε, εἰ μὴ ἀγροικότερον, ἔφη, ἦν εἰπεῖν, εἶπον ἄν σοι εἰς κεφαλὴν, ὅ, τι μαθὼν, μου καὶ τῶν ἄλλων καταψεύδῃ τοιοῦτο πρᾶγμα, ὃ ἐγὼ οἶμαι οὐδ' ὅσιον εἶναι λέγειν, ὡς ἐγὼ τόνδε βουλοίμην ἂν ἐξολωλέναι. Τί δὲ, ἔφη, ὦ Κτήσιππε, ὁ Εὐθύδημος, ἢ δοκεῖ σοι οἷόντ' εἶναι ψεύδεσθαι; Νὴ Δία, ἔφη, εἰ μὴ μαίνομαί γε. Πότερον λέγοντα τὸ πρᾶγμα περὶ
p. οὗ ἂν ὁ λόγος ᾖ, ἢ μὴ λέγοντα; Λέγοντα, ἔφη. Οὐκοῦν
284 εἴπερ λέγει αὐτὸ, οὐκ ἄλλο λέγει τῶν ὄντων, ἢ ἐκεῖνο ὅπερ
a. λέγει. Πῶς γὰρ ἂν ἄλλως; ἔφη ὁ Κτήσιππος. ἓν μὴν κἀκεινό γ' ἐστὶ τῶν ὄντων, ὃ λέγει χωρὶς τῶν ἄλλων. Πάνυ γε. Οὐκοῦν ὁ ἐκεῖνο λέγων τὸ ὂν ἔφη λέγειν; Ναί. Ἀλλὰ μὴν ὅ γε τὸ ὂν λέγων, καὶ τὰ ὄντα, τἀληθῆ λέγει. ὥστε ὁ Διονυσόδωρος, εἴπερ λέγει τὰ ὄντα, λέγει τἀληθῆ, καὶ οὐδὲν κατὰ σοῦ ψεύδεται. Ναὶ, ἔφη. Ἀλλ' ὁ ταῦτα λέγων, ἔφη ὁ Κτήσιππος,
b. ὦ Εὐθύδημε, οὐ τὰ ὄντα λέγει. Καὶ ὁ Εὐθύδημος, Τὰ δὲ μὴ ὄντα, ἔφη, ἄλλοτι ἢ οὐκ ἔστιν; Οὐκ ἔστιν. Ἄλλοτι οὖν οὐδα-

cura ſtudent perdere. Haec audiens Cteſippus, amati gratia inique tulit: indignatusque, Hoſpes, inquit, Thurie, ni dictu ruſticum ſit, in os tibi dico, quod mendacium mihi illisque nefarium indignumque impingas, cupere me ſcilicet illum interire. Hic Euthydemus ad Cteſippum converſus, Videtur, inquit, tibi fieri poſſe, ut aliquis mentiatur? Per Iovem, inquit, niſi forte inſanio. Qui vero mentitur, inquit, rem ipſam qua de ſermo eſt dicit, an non dicit? Dicit, inquit. Si rem ipſam dicit, haud aliud quidquam dicit praeter id quod dicit. Quonam pacto, Cteſippus inquit, aliter fieri poſſet? Numquid una quaedam res eſt, inquit, quam dicit, ab aliis diverſa? Prorſus, inquit Cteſippus. Nonne qui illam dicit, id quod eſt profert? Ita. Enimvero quicunque quod eſt, quaeve ſunt dicit, vera dicit. Quamobrem Dionyſodorus, ſi quae ſunt dicit, vera praedicat, neque quidquam adverſus te mentimur. Ita, inquit Cteſippus. Verum qui haec loquitur, o Euthydeme, non ea quae ſunt dicit. Ad quem Euthydemus: Non exiſtentia non

μοῦ τά γε μὴ ὄντα ὄντα ἐστί; Οὐδαμοῦ. Ἔστιν οὖν ὅπως περὶ ταῦτα τὰ μὴ ὄντα πράξειεν ἄν τις τι, ὥστ' ἐκεῖνα ποιήσειεν ἂν καὶ ὁστισοῦν τὰ μηδαμοῦ ὄντα; Οὐκ ἔμοιγε δοκεῖ, ἔφη ὁ Κτήσιππος. Τί οὖν; οἱ ῥήτορες ὅταν λέγωσιν ἐν τῷ δήμῳ, οὐδὲν πράττουσι; Πράττουσι μὲν οὖν, ἦ δ' ὅς. Οὐκοῦν εἴπερ πράττουσι, καὶ ποιοῦσι; Ναί. Τὸ λέγειν τ' ἄρα πράττειν τε c.
καὶ ποιεῖν ἐστιν; Ὡμολόγησεν. Οὐκ ἄρα τά γε μὴ ὄντ', ἔφη, λέγει οὐδείς. ποιοῖ γὰρ ἂν ἤδη τί. σὺ δὲ ὡμολόγηκας τὰ μὴ ὄντα μὴ οἷόντ' εἶναι μηδένα ποιεῖν. ὥστε κατὰ τὸν σὸν λόγον, οὐδεὶς ψευδῆ λέγει· ἀλλ' εἴπερ λέγει Διονυσόδωρος, τἀληθῆ τε καὶ τὰ ὄντα λέγει. Νὴ Δία, ἔφη ὁ Κτήσιππος, ὦ Εὐθύδημε· ἀλλὰ τὰ ὄντα μὲν τρόπον τινὰ λέγει, οὐ μέντοι ὥς γε ἔχει. Πῶς λέγεις, ἔφη ὁ Διονυσόδωρος, ὦ Κτήσιππε; εἰσὶ γάρ τινες οἳ λέγουσι τὰ πράγματα ὡς ἔχει; Εἰσὶ μέντοι, ἔφη, οἱ καλοί d.
τε κἀγαθοὶ, καὶ οἱ τἀληθῆ λέγοντες. Τί οὖν; ἦ δ' ὅς· τἀγαθὰ οὐκ εὖ, ἔφη, ἔχει, τὰ δὲ κακὰ κακῶς; Συνεχώρει. Τοὺς δὲ καλούς τε καὶ ἀγαθοὺς ὁμολογεῖς λέγειν ὡς ἔχει τὰ πράγ-

sunt? Non, ait. Nusquam vero, quae non sunt, existentia sunt? Nusquam. Fierine potest, ut aliquis circa ea, quae non sunt, quidquam agat, ut illa faciat aliquis existentia nusquam? Nequaquam mihi videtur, Ctesippus ait. Quum rhetores ad populum concionantur, nihilne agunt? Agunt aliquid. Si agunt, ergo & faciunt? Sequitur. Ergo ipsum dicere, agere est, & facere. Consensit. Nullus igitur non existentia dicit: faceret namque aliquid. tu vero, inquit, confessus es impossibile esse, ut aliquis non existentia faciat. Quapropter secundum orationem tuam falsa nullus loquitur. immo vero si loquitur Dionysodorus, vera & existentia loquitur. Sic Euthydeme est, Ctesippus inquit. nam existentia quidem dicit, non tamen ita ut se habent, dicit. Qui vero isthuc ais Ctesippe? Dionysodorus inquit. Suntne, qui res ipsas ut habent se dicant? Sunt certe, respondit ille, viri boni, praeclari, atque veridici. Quid porro? inquit ille, bona nonne bene se habent? mala contra male? Probavit. Bonos autem & praeclaros viros, inquit, fateris res ipsas

ματα; Ὁμολογῶ. Κακῶς ἄρα, ἔφη, λέγουσιν, ὦ Κτήσιππε, οἱ ἀγαθοὶ τὰ κακὰ, εἴπερ ὡς ἔχει λέγουσι. Ναὶ μὰ Δία, ἦ δ' ὅς, σφόδρα γε τοὺς γοῦν κακοὺς ἀνθρώπους· ὧν σὺ, ἐάν
e. μοι πείθῃ, εὐλαβήσῃ εἶναι, ἵνα μή σε οἱ ἀγαθοὶ κακῶς λέγωσιν. ὡς εὖ οἶσθ' ὅτι κακῶς λέγουσιν οἱ ἀγαθοὶ τοὺς κακούς. Ἦ καὶ τοὺς μεγάλους, ἔφη ὁ Εὐθύδημος, μεγάλως λέγουσι, καὶ τοὺς θερμοὺς θερμῶς; Μάλιστα δή που, ἔφη ὁ Κτήσιππος· τοὺς γοῦν ψυχροὺς ψυχρῶς λέγουσί τε καὶ φασὶ διαλέγεσθαι. Σὺ μὲν, ἔφη ὁ Διονυσόδωρος, λοιδόρει, ὦ Κτήσιππε, λοιδόρει. Μὰ Δί' οὐκ ἔγωγε, ἦ δ' ὅς, ὦ Διονυσόδωρε, ἐπεὶ φιλῶ σε· ἀλλὰ νουθετῶ σ' ὡς ἑταῖρον, καὶ πειρῶμαι πείθειν μηδέποτε
p. ἐναντίον ἐμοῦ οὕτως ἀγροίκως λέγειν, ὅτι ἐγὼ τούτους βού-
285 λομαι ἐξολωλέναι οὓς περὶ πλείστου ποιοῦμαι. ἐγὼ οὖν, ἐπειδή
a. μοι ἐδόκουν ἀγροικοτέρως πρὸς ἀλλήλους ἔχειν, προσέπαιζόν τε τῷ Κτησίππῳ καὶ εἶπον ὅτι, Ὦ Κτήσιππε, ἐμοὶ μὲν δοκεῖ χρῆναι ἡμᾶς παρὰ τῶν ξένων δέχεσθαι ἃ λέγουσιν, ἐὰν ἐθέλωσι μεταδιδόναι, καὶ μὴ ὀνόματι διαφέρεσθαι. εἰ γὰρ ἐπίσαντο οὕτως ἐξολλύναι ἀνθρώπους ὥστ' ἐκ πονηρῶν τε καὶ

sic, ut habent, eloqui? Confiteor, inquit. Ergo boni viri, o Cteſippe, male mala dicunt, ſiquidem, ut ſunt, enuntiant. Maxime profecto, inquit, & de malis hominibus male: quorum de numero ne ſis, cavendum eſt tibi, ſi mihi credis, ne boni viri male de te loquantur. ſcis enim, quod boni de malis male dicunt. Hic Euthydemus, Numquid, inquit, & magnos magne, & calidos calide? Summopere, inquit Cteſippus. & de frigidis frigide loquuntur, aiuntque differere frigide. Ibi Dionyſodorus, Convitiare Cteſippe, inquit, convitiare. Non per Iovem, Dionyſodore, inquit: nam te diligo, immo & amice moneo, & perſuadere contendo, ne unquam coram me ita ruſtice loquaris, ut me dicas cupere eos perditos, quos habeo cariſſimos. Ego vero, ut accenſos intellexi, cum Cteſippo iocatus, Decet, inquam, Cteſippe, ut mihi videtur, ab his hoſpitibus quae dant accipere, ſi modo impertire quidquam velint, & non de nominibus altercari. Nam ſi ita perdere ſciunt

ἀφρόνων χρησούς τε καὶ ἐμφρονας ποιεῖν, καὶ τοῦτο εἴτε αὐτὼ εὑρήκατον, εἴτε καὶ παρ' ἄλλου του ἐμαθέτην φθόρον τινὰ b.
καὶ ὀλεθρον τοιοῦτον, ὥστε ἀπολέσαντες πονηρὸν ὄντα, χρησὸν πάλιν ἀποφῆναι· εἰ τοῦτο ἐπίσασθον (δῆλον δὲ ὅτι ἐπίσασθον. ἐφάτην γοῦν τὴν τέχνην σφῶν εἶναι τὴν νεωστὶ εὑρημένην, ἀγαθοὺς ποιειν τοὺς ἀνθρωπους ἐκ πονηρῶν) συγχωρήσωμεν οὖν αὐτοῖν αὐτό· ἀπολεσάντων ἡμῖν τὸ μειράκιον, καὶ Φρόνιμον ποιησάντων, καὶ ἀπαντάς γε ἡμᾶς τοὺς ἄλλους. εἰ δὲ ὑμεῖς οἱ νέοι Φοβεισθε, ὥσπερ ἐν Καρὶ, ἐν ἐμοὶ ἔσω ὁ κινδυνος. c.
ὡς ἐγὼ, ἐπειδὴ καὶ πρεσβυτης ειμὶ, παρακινδυνευειν ἑτοιμος· καὶ παραδιδωμι ἐμαυτὸν Διονυσοδώρῳ τουτῳ, ὥσπερ τῇ Μηδείᾳ τῇ Κόλχῳ· ἀπολλύτω με· καὶ εἰ μὲν βούλεται, ἑψέτω· εἰ δ' ὅ, τι βούλεται, τοῦτο ποιειτω· μόνον χρησὸν ἀποφηνάτω. Καὶ ὁ Κτήσιππος, Ἐγὼ μὲν, ἔφη, καὶ αὐτὸς, ὦ Σώκρατες, ἑτοιμός εἰμι παρέχειν ἐμαυτὸν τοις ξένοις, καὶ ἐὰν βούλωνται δέρειν, ἔτι μᾶλλον ἢ νῦν δέρουσιν· εἴ μοι ἡ δορὰ μὴ εἰς d.
ἀσκὸν τελευτήσει, ὥσπερ ἡ τοῦ Μαρσύου, ἀλλ' εἰς ἀρετήν.

homines, ut e malis, & imprudentibus probos prudentesque faciant, seu ipsi perditionis eius inventores sunt, seu ab alio didicerunt, ut malum hominem exterminantes, restituere possint bonum: patet autem eos scire: dixerunt enim artem nuper sibi comparatam, qua bonos ex malis homines faciant: si hoc, inquam, sciunt; permittamus utique, ut sic adolescentulum perdant, modo sapientem efficiant: immo etiam nos ipsos illis ita curandos tradamus. Quod si vos iuvenes reformidatis, in me certe, velut Care quodam, artem suam periclitentur. quippe ego, quando quidem senex sum, paratus sum periculum adire, & me Dionysodoro huic, quasi Medeae Colchidi, dedo, ut dissolvat, & si velit elixet, vel aliud quodcunque exemplum in me edat, modo virum efficiat bonum. Et Ctesippus, Ego item, o Socrates, inquit, hospitum voluntati meipsum committo; & si me magis etiam excoriare velint, quam nunc excoriant: modo pellis mihi mea non in utrem, ut Marsyae, sed in virtutem vertatur. Ac Dionysodorus quidem hic ipsi

καίτοι με οἴεται Διονυσόδωρος οὑτοσὶ χαλεπαίνειν αὐτῷ· ἐγὼ δὲ οὐ χαλεπαίνω, ἀλλ' ἀντιλέγω πρὸς ταῦτα ἃ μοι δοκεῖ πρός με μὴ καλῶς λέγειν. ἀλλὰ σὺ τὸ ἀντιλέγειν, ἔφη, ὦ Διονυσόδωρε, μὴ κάλει λοιδορεῖσθαι. ἕτερον γάρ τοι ἐστὶ τὸ λοιδορεῖσθαι. Καὶ ὁ Διονυσόδωρος, Ὡς ὄντος, ἔφη, τοῦ ἀντιλέγειν, ὦ Κτήσιππε, ποιῇ τοὺς λόγους; Πάντως δή που, ἔφη, καὶ
e. σφόδρα. ἦ σὺ, ὦ Διονυσόδωρε, οὐκ οἴει εἶναι ἀντιλέγειν; Οὐκοῦν σύ τ' ἂν, ἔφη, ἀποδειξαις πώποτε ἀκούσας οὐδενὸς ἀντιλέγοντος ἑτέρου ἑτέρῳ. Ἀληθῆ λέγεις, ἔφη. ἀλλὰ ἀκούωμεν νῦν εἴ σοι ἀποδείκνυμι ἀντιλέγοντος Κτησίππου Διονυσοδώρῳ. ἦ καὶ ὑπόσχοις ἂν τούτου λόγον; Πάνυ, ἔφη. Τί οὖν, ἦ δ' ὅς, εἰσὶν ἑκάστῳ τῶν ὄντων λόγοι; Πάνυ γε. Οὐκοῦν ὡς ἔστιν ἕκα-
p. στον, ἦ ὡς οὐκ ἔστιν; Ὡς ἔστιν. Εἰ γὰρ μέμνησαι, ἔφη, ὦ Κτή-
286 σιππε, καὶ ἄρτι ἐπεδείξαμεν μηδένα λέγοντα ὡς οὐκ ἔστι. τὸ
a. γὰρ μὴ ὂν οὐδεὶς ἐφάνη λέγων. Τί οὖν δὴ τοῦτο; ἦ δ' ὅς ὁ Κτήσιππος, ἧττόν τι ἀντιλέγομεν ἐγώ τε καὶ σύ; Πότερον οὖν, ἦ δ' ὅς, ἀντιλέγοιμεν ἂν, τοῦ αὐτοῦ πράγματος λόγον

me succenſere putat. ego vero minime ſuccenſeo, ſed oppugno, quae in me dixit non recte. Tu vero, Dionyſodore, quod reclamo, ne convitium putes. aliud eſt enim contradicere, aliud convitiari. Hic Dionyſodorus, Quaeſo, inquit, num ita de contradicendo loqueris, ut contradicere, omnino aliquid eſſe putes? Maxime quidem, inquit Cteſippus. an vero tu, o Dionyſodore, non putas? Atqui nunquam, inquit Dionyſodorus, oſtendes, ubi alterum alteri audiveris contradicentem. Vera loqueris, inquit. ſed nunc audiamus, ecquid Cteſippum tibi Dionyſodoro contradicentem oſtendam. Hoc igitur, inquit, nobis promittis? Prorſus, inquit. Suntne, inquit, unaquaque de re ſermones rationesque? Sunt, inquit. Num ut eſt unaquaeque res, an ut non eſt? Ut eſt, inquit. Si recordaris, inquit, Cteſippe, paulo ante demonſtravimus, neminem quod non eſt dicere. quod enim non eſt, nullum poſſe dicere conſtat. Quid tum? inquit Cteſippus. an quid prohibet, quo minus ego & tu contradicamus? Tum ille, Utrum, inquit, contradi-

ἀμφότεροι γνόντες, ἢ οὕτω μὲν ἂν δήπου ταυτὰ λέγοιμεν, Συνεχώρει. Ἀλλ' ὅταν μηδέτερος, ἔφη, τὸν τοῦ πράγματος λόγον λέγῃ, τότε ἀντιλέγοιμεν ἄν; ἢ οὕτω γε τοπαράπαν b. οὐδ' ἂν μεμνημένος εἴη τοῦ πράγματος οὐδέτερος ἡμῶν; Καὶ τοῦτο συναμολόγει. Ἀλλ' ἆρα, ἔφη, ὅταν ἐγὼ μὲν τὸν τοῦ πράγματος λόγον λέγω, σὺ δὲ ἄλλου τινὸς, ἆρα τότε ἀντιλέγομεν; ἢ ἐγὼ λέγω μὲν τὸ πρᾶγμα, σὺ δὲ οὐδὲ λέγεις τοπαράπαν; ὁ δὲ μὴ λέγων τῷ λέγοντι πῶς ἂν ἀντιλέγοι; Καὶ ὁ μὲν Κτήσιππος ἐσίγησεν· ἐγὼ δὲ θαυμάσας τὸν λόγον, Πῶς, ἔφην, ὦ Διονυσόδωρε, λέγεις; οὐ γάρ τοι ἀλλὰ τοῦτόν c. γε τὸν λόγον πολλῶν δὴ καὶ πολλάκις ἀκηκοὼς ἀεὶ θαυμάζω. καὶ γὰρ οἱ ἀμφὶ Πρωταγόραν σφόδρα ἐχρῶντο αὐτῷ, καὶ οἱ ἔτι παλαιότεροι ἐμοὶ δὲ ἀεὶ θαυμαστός τις δοκεῖ εἶναι, καὶ τοὺς τε ἄλλους ἀνατρέπων, καὶ αὐτὸς αὑτόν. οἶμαι δὲ αὐτοῦ τὴν ἀλήθειαν παρὰ σοῦ μάλιστα πεύσεσθαι. ἄλλό τι ἢ ψευδῆ λέγειν οὐκ ἔστι. τοῦτο γὰρ δύναται ὁ λόγος. ἢ γάρ; ἀλλ' ἢ λέγοντα, τἀληθῆ λέγειν, ἢ μὴ λέγειν; Συνεχώρει. Πότερον οὖν

ceremus, si eiusdem utrique rei rationem cogitemus? An non idem potius loqueremur? Consensit. An si neuter, inquit, quod res est dicat, contradicimus? an potius rem omnino non tenemus? Id quoque admisit. Num, inquit, cum ego quod res est dico, tu vero aliud dicis, tunc demum contradicimus? an potius, cum ego quod res est dico, tu quod omnino res non est dicis? eritque, ut non dicens contradicat dicenti? Ad haec Ctesippus obmutuit. Ego autem miratus quae dicebantur, Qua, inquam, ratione istud, Dionysodore, ais? Equidem, cum sermonem huiusmodi saepenumero e multis audiverim, semper admirari soleo. hunc siquidem Protagorae sectatores, & his antiquiores, frequenter usurpare consueverunt. Mihi vero semper mirabilis visus est, talisque, qui & alios, & se ipsum pervertat. Reor autem veritatem ipsius me nunc abs te potissimum auditurum. num enim istud vult, ut falsa dicere impossibile sit; oporteatque illum qui loquitur, aut vera loqui, aut omnino non loqui? Asseruit. Utrum falsa, inquam, lo-

d. ψευδῆ μὲν λέγειν οὐκ ἔστι, δοξάζειν μέντοι ἐστίν; Οὐδὲ δοξάζειν, ἔφη. Οὐδ' ἄρα ψευδῆς, ἣν δ' ἐγὼ, δόξα ἐστὶ τοπαράπαν. Οὐκ, ἔφη. Οὐδ' ἄρα ἀμαθία, οὐδ' ἀμαθεῖς ἄνθρωποι. ἢ οὐ τοῦτ' ἂν εἴη ἀμαθία, εἴπερ εἴη τὸ ψευδεσθαι τῶν πραγμάτων; Πάνυγε, ἔφη. Ἀλλὰ τοῦτο οὐκ ἔστιν, ἣν δ' ἐγώ. Οὐκ, ἔφη. Λόγου ἕνεκα, ὦ Διονυσόδωρε, λέγεις τὸν λόγον, ἵνα δὴ ἄτοπον λέγῃς; ἢ ὡς ἀληθῶς δοκεῖ σοι οὐδεὶς εἶναι ἀμαθὴς ἀνθρώπων; Ἀλλὰ σὺ,
e. ἔφη, ἔλεγξον. ἦ καὶ ἔστι τοῦτο κατὰ τὸν σὸν λόγον ἐξελέγξαι, μηδενὸς ψευδομένου; Οὐκ ἔστιν, ἔφη ὁ Εὐθύδημος, οὐδ' ἄρα ἐκέλευον, ἔφη, ἐγὼ νῦν δὴ, ὁ Διονυσόδωρος, ἐξελέγξαι. τὸ γὰρ μὴ ὂν πῶς ἂν τις κελεύσαι; Ὦ Εὐθύδημε, ἦν δ' ἐγὼ, τὰ σοφὰ ταῦτα καὶ τὰ εὖ ἔχοντα οὐ πάνυ τοι μανθάνω, ἀλλὰ ταχέως πως ἐννοῶ. ἴσως μὲν οὖν φορτικώτερόν τι ἐρήσομαι· ἀλλὰ συγγίνωσκε. ὅρα δέ, εἰ γὰρ μήτε ψεύδεσθαι ἔστι, μήτε ψευδῆ δοξάζειν,
P. 287 a. μήτε ἀμαθῆ εἶναι· ἀλλ' ὅτι οὐδ' ἐξαμαρτάνειν ἔστιν, ὅταν τις τι πράττῃ. πράττοντα γὰρ οὐκ ἔστιν ἁμαρτάνειν τούτου ὃ πράττει. οὐχ οὕτω λέγετε; Πάνυγ', ἔφη. Τοῦτό ἐστιν ἤδη, ἣν δ'

qui quidem impossibile est, opinari vero falsa possibile? Ne opinari quidem, inquit. Ergo nulla est, inquam, falsa opinio. Nulla prorsus. Neque insciția, inquam, neque homines insciii. quid enim non insciția sit, si quidem falli rebus possibile est? Omnino, inquit. Istud autem non est, inquam. Non certe, respondit ille. Confabulandine gratia, o Dionysodore, haec inducis, inquam, ut mirum aliquid inferas? an revera nullus tibi hominum inscius esse videtur? Tu vero, inquit, refelle. An refelli quidquam potest, inquam, si, ut tu dicis, mentiri nemo potest? Non potest, inquit Euthydemus: nec illud Dionysodorus iussit, ut refelleres. quo enim pacto quis quod non est, iubeat? Ego vero, Euthydeme, inquam, scita haec atque praeclara haud admodum sane disco, sed obiter attingo. Erit igitur onerosum fortasse quod rogabo: sed ignosce, obsecro. Vide amabo, si neque mentiri quisquam potest, neque opinari falsa, neque inscius esse: nemo etiam dum agit, aberrare quidquam potest. neque enim ab eo quod agit, ab-

ἐγὼ, τὸ φορτικὸν ἐρώτημα. εἰ γὰρ μὴ ἁμαρτάνομεν μήτε πράττοντες, μήτε λέγοντες, μήτε διανοούμενοι, ὑμεῖς, ὦ πρὸς Διὸς, εἰ ταῦτα οὕτω ἔχει, τίνος διδάσκαλοι ἥκετε; ἢ οὐκ ἄρτι ἔφατε ἀρετὴν κάλλις' ἂν παραδοῦναι ἀνθρώπων τῷ ἐθέλοντι μανθάνειν; Εἶτ' ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος ὑπολαβὼν, οὕτως εἶ κρόνος, ὥστε ἃ τοπρῶτον εἴπομεν, νῦν ἀναμιμνήσκῃ· καὶ εἴτι πέρυσιν εἶπον, νῦν ἀναμνησθήσῃ· τοῖς δ' ἐν τῷ παρόντι λεγομένοις οὐχ ἕξεις ὅ, τι χρῇ; Καὶ γὰρ, ἔφην ἐγὼ, χαλεποί εἰσι. πάνυ εἰκότως· παρὰ σοφῶν γὰρ λέγονται. ἐπεὶ καὶ τούτῳ τῷ τελευταίῳ παγχάλεπον χρήσασθαί ἐστιν, ᾧ λέγεις. τὸ γὰρ οὐκ ἔχω ὅ, τι χρῶμαι, ὅ, τι ποτὲ λέγεις, ὦ Διονυσόδωρε; ἢ δηλονότι ὡς οὐκ ἔχω ἐξελέγξαι αὐτόν; ἐπεὶ εἰπέ τί σοι ἄλλο ἐννοεῖ τοῦτο τὸ ῥῆμα, τὸ, οὐκ ἔχω ὅ, τι χρήσωμαι τοῖς λόγοις. Ἄλλο σὺ λέγεις, ἔφη, τοῦτο τὸ πάνυ χαλεπὸν χρῆσθαι. ἐπεὶ ἀπόκριναι. Πρίν σε ἀποκρίνασθαι, ἦν δ' ἐγὼ, ὦ Διονυσόδωρε; Οὐκ ἀποκρίνῃ; ἔφη. Ἢ καὶ

b.

c.

erret. numquid ita dicitis? Ita plane, inquit. Haec eſt, inquam, gravis illa quaeſtio. Si enim non erramus unquam, neque agendo, neque loquendo, neque etiam cogitando, quidnam vos huc docturi veniſtis? an non ſupra praedicabatis, vos prae ceteris omnibus optime poſſe virtutem tradere unicuique volenti? Uſque adeo, o Socrates, Cronus ille es, inquit Dionyſodorus, ut quae a principio diximus, reminiſcaris nunc: & ſi quid ſuperiori anno dixerim, nunc quoque ſis recordaturus: his autem, quae in praeſentia dicta ſunt, quid ſis reſponſurus, habes nihil. Quia difficilia ſunt, inquam, haud iniuria. ſunt enim a ſapientibus profecta. Equidem & ei quod poſtremo dixiſti, reſpondere difficillimum eſt. Cum enim dicis non habere me quod reſpondeam, Dionyſodore, quid potiſſimum inferre vis? an videlicet, quod non habeam quo eam orationem convincam? Dic enim, quid aliud verbum iſtud ſibi vult, quod non habeam, quod orationibus iſtis per me reſpondeatur. Num tu aliud dicis, inquit, quam difficile eſſe reſpondere? nempe reſponde. Prius, quam tu reſpondeas, in-

δίκαιον; Δίκαιον μέντοι, ἔφη. Κατὰ τίνα λόγον; ἦν δ' ἐγώ· ἢ δηλονότι κατὰ τόνδε, ὅτι σὺ νῦν πάνσοφός τις ἡμῖν ἀφῖξαι περὶ λόγους, καὶ οἶσθα ὅτε δεῖ ἀποκρίνασθαι, καὶ ὅτε μή· καὶ
d. νῦν οὐδ' ἂν ὁτιοῦν ἀποκρίνῃ, ἃ τε γιγνώσκων ὅτι οὐ δεῖ; Λαλεῖς, ἔφη, ἀμελήσας ἀποκρίνασθαι καὶ ὅτε μή. ἀλλ', ὦ ἄγαθὲ, πείθου καὶ ἀποκρίνου· ἐπειδὴ καὶ ὁμολογεῖς με σοφὸν εἶναι. Πειστέον τοι, ἦν δ' ἐγὼ, καὶ ἀνάγκη, ὡς ἔοικε. σὺ γὰρ ἄρχεις. ἀλλ' ἐρώτα. Πότερον οὖν ψυχὴν ἔχοντα νοεῖ τὰ νοούμενα; ἢ καὶ τὰ ἄψυχα; Τὰ ψυχὴν ἔχοντα. οἶσθα οὖν τι, ἔφη, ῥῆμα ψυχὴν ἔχον; Μὰ Δι', οὐκ ἔγωγε. Τί οὖν
e. ἄρτι ἤρου ὅ, τι μοι νοεῖ τὸ ῥῆμα; Τί ἄλλό γε, ἦν δ' ἐγὼ, ἢ ἐξήμαρτον διὰ τὴν βλακείαν; ἢ οὐκ ἐξήμαρτον, ἀλλὰ καὶ τοῦτο ὀρθῶς εἶπον, εἰπὼν ὅτι νοεῖ τὰ ῥήματα; πότερα Φὴς ἐξαμαρτάνειν με ἢ οὔ. εἰ γὰρ μὴ ἐξήμαρτον, οὐδὲ σὺ ἐξελέγξεις, καίπερ σοφὸς ὤν, οὐδ' ἔχεις ὅτι χρῇ τῷ λόγῳ· εἰ δ' ἐξήμαρτον, οὐδ' οὕτως ὀρθῶς λέγεις, φάσκων οὐκ εἶναι ἐξα-

quam, Dionysodore? Quid non respondes? ait. An par est? inquam. Par, inquit. Qua ratione? inquam. an forte, quia ad nos facultate dicendi praeditus advenis, nostique quando respondendum sit, quando non sit; ideoque nunc respondes nihil, quod respondere non decet? Ad haec ille, Nugaris, inquit, o Socrates, atque respondere negligis. sed, o bone vir, obsequere, & responde ei, quem ipse sapientem esse fateris. Parendum est, inquam, sic enim decet, imperitanti. interroga igitur. Utrum, inquit, animam habent, quaecunque intelligunt aliquid? an & anima carent? Habent, inquam. Nostine, inquit, verbum ullum aliquod animam habens? Nullum ego profecto, inquam. Cur itaque nuper interrogabas, verbum quid sibi vellet? Non ob aliud, inquam, nisi ob ignaviam meam, quae errare coëgit. fortasse vero non erravi, sed recte loquutus sum, cum verbis cogitationem tribuo. tu vero utrum errasse me dicis, necne? Si enim non erravi, neque tu nunc redargues, sis licet sapiens, nec habes quod opponas. sin autem erravi, ne sic quidem recte tu loquere, quan-

μαρτάνειν. καὶ ταῦτα οὐ πρὸς ἃ πέρυσιν ἔλεγες λέγω· ἀλ- p.
λὰ ἔοικεν, ἔφην ἐγὼ, ὦ Διονυσόδωρέ τε καὶ Εὐθύδημε, οὗτος 288
μὲν ὁ λόγος ἐν ταυτῷ μένειν, καὶ ἔτι ὥσπερ τοπαλαιὸν κατα- a.
βαλὼν πίπτειν· καὶ ὥστε μὴ τοῦτο πάσχειν, οὐδ' ὑπὸ τῆς
ὑμετέρας που τέχνης ἐξευρῆσθαι, καὶ ταῦτα οὕτωσὶ θαυμα-
σῆς οὔσης εἰς ἀκριβειαν λόγων. Καὶ ὁ Κτήσιππος, Θαυμά-
σιά γε λέγετ', ἔφη, ὦ ἄνδρες Θούριοι, εἴτε Χῖοι, εἴθ' ὁπόθεν
καὶ ὅπη χαίρετον ὀνομαζόμενοι· ὡς ὑμῖν οὐδὲν μέλει τοῦ πα- b.
ραληρεῖν. Καὶ ἐγὼ φοβηθεὶς μὴ λοιδορία γένηται, πάλιν κα-
τεπράϋνον τὸν Κτήσιππον, καὶ εἶπον, Ὦ Κτήσιππε, καὶ νῦν
δὴ ἃ πρὸς Κλεινίαν ἔλεγον, καὶ πρός σε ταυτὰ ταῦτα λέγω,
ὅτι οὐ γιγνώσκεις τῶν ξένων τὴν σοφίαν, ὅτι θαυμασία ἐστίν·
ἀλλ' οὐκ ἐθέλετον ἡμῖν ἐπιδείξασθαι σπουδάζοντες, ἀλλὰ τὸν
Πρωτέα μιμεῖσθον τὸν Αἰγύπτιον σοφιστὴν, γοητεύοντε ἡμᾶς.
ἡμεῖς οὖν τὸν Μενέλαον μιμώμεθα, καὶ μὴ ἀφιώμεθα τοῖν c.
ἀνδροῖν, ἕως ἂν ἡμῖν ἐκφανῆτον ἐφ' ᾧ αὐτὼ σπουδάζετον.
οἶμαι γάρ τι αὐτοῖν πάγκαλον φανεῖσθαι, ἐπειδὰν ἄρξων-

do dicis errare posse neminem. Atque haec quidem non adversus illa, quae anno superiori dicebas, nunc adduco: sed videtur mihi, o Dionysodore Euthydemeque, sermo hic eodem revolvi, & nunc etiam, ut & quondam solebat fieri, cum deiiciat, cadere. quod quidem ut ne ipsi accidat, ab illa arte vestra, licet circa acriorem sermonum diligentiam admirabili, nondum videtur esse provisum. Hic Ctesippus, mira dicitis, inquit, o viri Thurii, sive Chii, seu quodcunque aliud agnomen vendicare lubet: quibus delirare perinde est. Ego autem veritus ne ad contumelias deveniretur, Ctesippum rursus sic mitigavi: Eadem tibi, inquam, o Ctesippe, nunc dico, quae Cliniae quoque dicebam. nescis enim, quam mirabilis sit horum hospitum sapientia. Nolunt autem data opera nobis illam ostendere prorsus, sed Protei Aegyptii illius sophistae more praestigiis quibusdam fallunt. Menelaum igitur imitemur, neque mittamus ante quam aperiant, quid animi gerant. Pulcherrimum enim quiddam exhibebunt puto, si ve-

ται σπουδάζειν. ἀλλὰ δεώμεθα καὶ παραμυθώμεθα καὶ προσευχώμεθα αὐτοῖν ἐκφανῆναι. Ἐγὼ οὖν μοι δοκῶ καὶ αὐτὸς πάλιν ὑφηγήσασθαι οἷῳ προσευχόμαι αὐτῷ φανῆναι μοι. ὅθεν γὰρ τοπρότερον ἀπελίποντο, ἐξῆς τούτοις περάσομαι,
d. ὅπως ἂν δύνωμαι, διελθεῖν, ἐάν πως ἐκκαλέσωμαι, καὶ ἐλεήσαντέ με καὶ οἰκτείραντε συντεταμένον καὶ σπουδάζοντα, καὶ αὐτὼ σπουδάσητον. σὺ δὲ, ὦ Κλεινία, ἔφην, ἀνάμνησόν με πόθεν τότ' ἀπελίπομεν. ὡς μὲν οὖν ἐγῷμαι, ἐνθένδε πόθεν φιλοσοφητέον ὡμολογήσαμεν τελευτῶντες. ἦ γάρ; Ναὶ, ἦ δ' ὅς. Ἡ δέ γε φιλοσοφία, κτῆσις ἐπιστήμης. οὐχ οὕτως; ἔφην. Ναὶ, ἔφη. Τίνα ποτ' οὖν ἂν κτησάμενοι ἐπιστήμην,
e. ὀρθῶς κτησαίμεθα; ἆρ' οὐ τοῦτο μὲν ἁπλοῦν, ὅτι ταυτην ἤ τις ἡμᾶς ὀνήσει; Πάνυ', ἔφην. Ἆρ' οὖν ἡμᾶς ἂν τι ὀνήσειεν, εἰ ἐπιστησαίμεθα γιγνώσκειν περιῶντες ὅπου τῆς γῆς χρυσίον πλεῖον κατορώρυκται; Ἴσως, ἔφη. Ἀλλὰ τοπρότερον, ἦν δ' ἐγὼ, τοῦτό γε ἐξηλέγξαμεν, ὅτι οὐδὲν πλέον, οὐδ' εἰ ἄνευ πραγμάτων καὶ τοῦ ὀρυττειν τὴν γῆν, τὸ πᾶν ἡμῖν χρυσίον γένοιτο· ὥστε οὐδ' εἰ τὰς πέτρας χρυσᾶς ἐπιστησαίμεθα

re proferant. Quapropter exhortemur, atque votis supplices exoremus, ut exhibeant. Sed exponendum rursus videtur, qualem studiorum formam ab illis requiram. Conabor hinc, ubi supra destitimus, continuare sermonem, si quo pacto eos provocem, ut mei miserti, qui tam graviter occupor, rem deinde serio tractent. Tu vero, Clinia, mihi dic, ubinam orationem abruperimus. nam, ut ego arbitror, hic haesimus, ubi philosophandum esse confitebamur. nonne? Profecto, inquit. Philosophia vero scientiae adquisitio est? inquam. Certe, inquit. Quam itaque potissimum adipisci scientiam decet? inquam. nonne, ut summatim dicam, illam quae nobis prodesi? Illam ipsam, inquit. An ea scientia maxime nobis prodesset, si sciremus quibus in terris aurum multum effoditur? Utique, inquit. Atqui dudum id confutavimus, quia, etiamsi sine labore, & non effossa terra, omnia nobis essent aurea, atque adeo lapides ipsos aureos efficere possemus, tamen vi-

ποιεῖν, οὐδενὸς ἂν ἀξία ἡ ἐπιστήμη εἴη. εἰ γὰρ μὴ κεχρῆσθαι p. 289 a.
ἐπιστησόμεθα τῷ χρυσίῳ, οὐδὲν ὄφελος αὐτοῦ ἐφάνη ὄν. ἢ οὔ
μέμνησαι; ἔφην ἐγώ. Πάνυ γ', ἔφη, μέμνημαι. Οὐδέ γε, ὡς
ἔοικε, τῆς ἄλλης ἐπιστήμης ὄφελος γίγνεται οὐδέν, οὔτε χρη-
ματιστικῆς, οὔτε ἰατρικῆς, οὔτε ἄλλης οὐδεμιᾶς, ἥτις ποιεῖν
τι ἐπίσταται, χρῆσθαι δὲ μὴ ᾧ ἂν ποιήσῃ. οὐχ οὕτως; Συνέφη.
Οὐδ' εἴγε εἴτις ἐστὶν ἐπιστήμη ὥστε ἀθανάτους ποιεῖν, ἄνευ
τοῦ ἐπίσασθαι τῇ ἀθανασίᾳ χρῆσθαι, οὐδὲ ταύτης ἔοικεν b.
ὄφελος οὐδέν· εἴτι δεῖ τοῖς πρόσθεν ὁμολογημένοις τεκμαίρε-
σθαι. Συνεδόκει ἡμῖν πάντα ταῦτα. Τοιαύτης τινὸς ἄρα ἡμῖν
ἐπιστήμης δεῖ, ὦ καλὲ παῖ, ἣν δ' ἐγὼ, ἐν ᾗ συμπέπτωκεν ἅμα
τό, τε ποιεῖν καὶ τὸ ἐπίσασθαι χρῆσθαι τούτῳ ὃ ἂν ποιῇ.
Φαίνεται, ἔφη. Πολλοῦ ἄρα δεῖ, ὡς ἔοικεν, ἡμᾶς λυροποιοὺς
δεινοὺς εἶναι, καὶ τοιαύτης τινὸς ἐπιστήμης ἐπιβόλους. ἐνταῦ-
θα γὰρ δὴ χωρὶς μὲν ἡ ποιοῦσα τέχνη, χωρὶς δὲ ἡ χρω- c.
μένη διῄρηται, τοῦ αὐτοῦ πέρι. ἡ γὰρ λυροποιικὴ καὶ ἡ κιθα-
ριστικὴ πολὺ διαφέρετον ἀλλήλοιν. οὐχ οὕτω; Συνέφη. Οὐδὲ
μὴν αὐλοποιϊκῆς γε δηλονότι δεόμεθα. καὶ γὰρ αὕτη ἑτέρα

lis esset & nullius pretii haec scientia. si enim uti auro nescimus, nullam ad rem est utile. non recordaris? Recordor, inquit, ac maxime quidem. Neque ulla ullius rei scientia, sive nummularia, sive medicina, sive quaecunque alia, utilis est, inquam, si facere tantum docet, uti autem non docet. nonne? Ita prorsus, inquit. Adeo, inquam, ut si qua scientia immortales nos efficeret, uti vero immortalitate non doceat, inutilis sit prorsus, si qua superioribus fides est. Ita nobis haec omnia videbantur. Hac igitur, inquam, scientia, ingenue puer, opus est, in qua operis & effectio & usus conveniant. Apparet, inquit. Permultum igitur inter lyrarum fabros interest, & scientiam pulsandae lyrae assecutos. Alia enim ars, quae facit, alia quae utitur his rebus. Nam ars quae fabricat lyram, & quae lyram pulsat, longe inter se differunt. an non? Sic est, inquit. Neque rursus, inquam, tibiarum effectrice opus est, ea siquidem ab illa quae utitur, differt. Sane, inquit. Num

τοιαύτη. Συνεδόκει. Ἀλλὰ πρὸς θεῶν, ἔφην ἐγὼ, εἰ τὴν λογοποιϊκὴν τέχνην μάθοιμεν, ἆρά ἐστιν αὕτη ἣν ἔδει κεκτημένους ἡμᾶς εὐδαίμονας εἶναι; Οὐκ οἶμαι, ἔφη, ἐγὼ, ὃ
d. Κλεινίας ὑπολαβών. Τινι τεκμηρίῳ, ἦν δ' ἐγὼ, χρῇ; Ὁρῶ, ἔφη, τινὰς λογοποιοὺς, οἳ τοῖς ἰδιοις λόγοις οἷς αὐτοὶ ποιοῦσιν οὐκ ἐπίστανται χρῆσθαι, ὥσπερ οἱ λυροποιοὶ ταῖς λύραις· ἀλλὰ καὶ ἐνταῦθα ἄλλοι δυνατοὶ χρῆσθαι οἷς ἐκεῖνοι εἰργάσαντο οἱ λυροποιεῖν αὐτοὶ ἀδύνατοι. δῆλον οὖν ὅτι καὶ περὶ λόγους χωρὶς ἡ τοῦ ποιεῖν τέχνη καὶ ἡ τοῦ χρῆσθαι. Ἱκανόν μοι δοκεῖς, ἔφην ἐγὼ, τεκμήριον λέγειν ὅτι οὐχ αὕτη ἐστὶν ἡ τῶν λογοποιῶν τέχνη, ἣν ἂν κτησάμενός τις εὐδαιμων εἴη. καίτοι ἐγὼ ὤμην ἐνταῦθά που Φανήσεσθαι τὴν ἐπιστήμην ἣν δὴ
e. πάλαι ζητοῦμεν. καὶ γάρ μοι οἵ τε ἄνδρες αὐτοὶ οἱ λογοποιοὶ, ὅταν συγγένωμαι αὐτοῖς, ὑπέρσοφοι, ὦ Κλεινία, δοκοῦσιν εἶναι· καὶ αὐτὴ ἡ τέχνη αὐτῶν θεσπεσία τις καὶ ὑψηλή. καὶ μέντοι οὐδὲν θαυμαστόν. ἔστι γὰρ τῆς τῶν ἐπῳδῶν
p τέχνης μόριον, μικρῷ τε ἐκείνης ὑποδεεστέρα. ἡ μὲν γὰρ τῶν
290 ἐπῳδῶν, ἐχεών τε καὶ φαλαγγίων καὶ σκορπίων καὶ τῶν
a.

forte, inquam, componendae orationis quaerenda facultas, ut beatus evadas? Non arbitror, inquit. Quaenam te ratio movet? inquam. Novi equidem, inquit, quosdam orationum auctores, qui orationibus hisce quas condiderunt, uti perinde sciunt, ac lyris fabri lyrarum, qui in aliorum usum lyras construxerunt: quas & qui illis utuntur, facere nesciunt. Constat similiter, & circa orationes aliam esse artem quae condit, aliam quae conditis utitur. Evidentissimo argumento ostendisse videris, inquam, artem illorum, qui componunt orationes, ad beatitudinem nequaquam sufficere. quamquam sperabam hoc in genere scientiam, quam iam diu quaerimus, inventuros. Etenim isti orationum auctores, Clinia, ubi cum ipsis conversor, supra mortales ceteros sapientes videntur, ipsaque eorum ars divina penitus atque excelsa. Neque mirum. Est enim incantatoriae illius pars quaedam, illa haud multo inferior. Nam incantandi facultas, viperarum, aranearum, scor-

ἄλλων θηρίων τε καὶ νόσων κήλησίς ἐστιν· ἡ δὲ, δικαστῶν τε καὶ ἐκκλησιαστῶν καὶ τῶν ἄλλων ὄχλων κήλησίς τε καὶ παραμυθία τυγχάνει οὖσα. ἦ σοι, ἔφην ἐγὼ, ἄλλως πως δοκεῖ; Οὐκ· ἀλλ' οὕτω μοι φαίνεται, ἔφη, ὡς σὺ λέγεις. Ποῖ οὖν, ἔφην ἐγὼ, τραποιμεθ' ἂν, ὅτι ἐπὶ ποίαν τέχνην; Ἐγὼ μὲν οὐκ εὐπορῶ, ἔφη. Ἀλλ', ἦν δ' ἐγὼ, οἶμαι εὑρηκέναι. Τίνα; ἔφη ὁ Κλεινίας. Ἡ στρατηγική μοι δοκεῖ, ἔφην, τέχνη παν- b.
τὸς μᾶλλον εἶναι ἣν ἄν τις κτησάμενος εὐδαίμων εἴη. Οὐκ ἔμοιγε δοκεῖ. Πῶς; ἦν δ' ἐγώ. Θηρευτική τις ἡ δέ γε ἐστὶ τέχνη ἀνθρώπων. Τί δὴ οὖν; ἔφην ἐγώ. Οὐδεμία, ἔφη, τῆς θηρευτικῆς αὐτῆς ἐπιπλέον ἐστὶν, ἢ ὅσον θηρεῦσαι καὶ χειρώσασθαι. ἐπειδὰν δὲ χειρώσωνται, τοῦτο ὃ ἂν θηρεύσωνται, οὐ δύνανται τούτῳ χρῆσθαι· ἀλλ' οἱ μὲν κυνηγέται καὶ οἱ ἁλιεῖς τοῖς ὀψοποιοῖς παραδιδόασιν· οἱ δ' αὖ γεωμέτραι καὶ οἱ ἀρονόμοι, καὶ οἱ λογιστικοί. θηρευτικοὶ γὰρ εἰσι καὶ οὗτοι· οὐ γὰρ ποιοῦ- c.
σιν τὰ διαγράμματα ἕκαστοι τούτων, ἀλλὰ τὰ ὄντα ἀνευρίσκουσιν. ἄτε οὖν χρῆσθαι αὐτοὶ αὐτοῖς οὐκ ἐπιστάμενοι, ἀλλὰ θηρεῦσαι μόνον, παραδιδόασι δή που τοῖς διαλεκτικοῖς κα-

pionum, ceterarumque ferarum, atque morborum mitigatio est. Oratoria vero iudicum, concionatorum, aliarumque turbarum oblectamentum quoddam & delinitio. an vero tu aliter sentis? Non aliter, inquit: sed ita prorsus, ut ais. Quo ergo nos vertemus, inquam, & quam ad artem? Ambigo, inquit. At ego invenisse arbitror, inquam. Quam? Imperatoria ea potissimum videtur, quae beatum adipiscentem facit. Mihi vero non videtur, inquit. Quamobrem? inquam. Quia venatoria quaedam hominum ars, inquit, esse videtur. Quid tum? inquam. Quia nemo, inquit, venator venationis opus ulterius porrigit, quam ad vestigandum capiendumque: postquam autem comprehenderunt quod venabantur, uti nequeunt: sed & qui canibus venantur, & qui piscantur, praedam coquis exhibent. Geometrae etiam, & astronomi, & logistae, venatores quidam sunt. neque enim figuras descriptionesque faciunt ipsi, sed cum sint, adinveniunt. Cum itaque uti illis ipsi nesciant, venentur autem

ταχρῆσθαι αὐτῶν τοῖς εὑρήμασιν, ὅσοι γε αὐτῶν μὴ παντάπασιν ἀνόητοί εἰσιν. Εἶεν, ἦν δ' ἐγὼ, ὦ κάλλιστε καὶ σοφώτατε Κλεινία, τοῦτο οὕτως ἔχοι. Πάνυ μὲν οὖν. καὶ οἵ γε στρατηγοί, ἔφη, οὕτω τὸν αὐτὸν τρόπον, ἐπειδὰν ἡ πόλιν τινὰ ἀνευρίσκωνται ἢ στρατόπεδον, παραδιδόασι τοῖς πολιτικοῖς ἀνδράσι. αὐτοὶ γὰρ οὐκ ἐπίστανται χρῆσθαι τούτοις ἃ ἐθήρευσαν· ὥσπερ, οἶμαι, οἱ ὀρτυγοθῆραι τοῖς ὀρτυγοτρόφοις παραδιδόασιν. εἰ οὖν, ἡ δ' ὅς, δεόμεθα ἐκείνης τῆς τέχνης ἥτις ἂν ᾖ ἂν κτήσηται, ἢ ποιήσασα, ἢ ἀνευρισκομένη αὐτὴ, καὶ ἐπιστήσεται χρῆσθαι, καὶ ἡ τοιαύτη ποιήσει ἡμᾶς μακαρίους, ἄλλην δή τινα, ἔφη, ζητητέον ἀντὶ τῆς στρατηγικῆς. ΚΡ. Τί λέγεις σὺ, ὦ Σώκρατες; ἐκεῖνο τὸ μειράκιον τοιαῦτ' ἐφθέγξατο; ΣΩ. Οὐκ οἴει, ὦ Κριτων; ΚΡ. Μὰ Δία, οὐ μέντοι. οἶμαι γὰρ αὐτὸν ἐγὼ, εἰ ταῦτ' εἶπεν, οὔτ' Εὐθυδήμου οὔτε ἄλλου οὐδενὸς ἔτ' ἀνθρώπου δεῖσθαι εἰς παιδειαν. ΣΩ. Ἀλλ' ἆρα, ὦ πρὸς Διὸς, μὴ ὁ Κτήσιππος ἦν ὁ ταῦτ' εἰπών; ἐγὼ δὲ οὐ μέμνημαι; ΚΡ. Ποῖος Κτήσιππος; ΣΩ. Ἀλλὰ μὴν τόγε εὖ οἶδα, ὅτι οὔτε Εὐθυδήμος, οὔτε ὁ Διονυσόδωρος ἦν ὁ εἰπὼν ταῦτα. ἀλλ', ὦ

solum, quicunque illorum mente capti non sunt, sua inventa dialecticis praebent, ut illi his utantur. Eia, pulcherrime & sapientissime Clinia, inquam, sic est? Ita prorsus, inquit. Atque eadem ratione duces exercitus, postquam vel urbem, vel exercitum occuparunt, viris civilibus praedam & spolia tradunt. nam ipsi his quae comprehenderunt, uti nesciunt; quemadmodum aucupes, qui postquam ceperunt coturnices, nutritoribus tribuunt. Si itaque ea arte indiges, quae vel faciendo, vel venando quaesitis uti sciat, beatosque efficiat possidentes, aliam quaerere, quam militarem oportet. *Cr.* Quid ais, o Socrates? numquid adolescentulus ille talia dixit? *So.* Non putas, Crito? *Cr.* Non, per Iovem. nam reor illum, si talia dixit, neque Euthydemi, neque alterius cuiuslibet hominis disciplina ulterius indigere. *So.* Forte vero Ctesippus haec dixit, ego vero non memini. *Cr.* Quis Ctesippus? *So.* Saltem hoc memini, neque Euthydemum attulisse haec, neque Dionysodo-

δαιμόνιε Κρίτων, μή τις τῶν κρειττόνων παρὼν αὐτὰ ἐφθέγξατο; ὅτι γὰρ ἤκουσά γε ταῦτα, εὖ οἶδα. ΚΡ. Ναὶ μὰ Δία, ὦ Σώκρατες· τῶν κρειττόνων μέντοι τὶς ἐμοὶ δοκεῖ, καὶ πολύ γε. ἀλλὰ μετὰ τοῦτο ἔτι τινα ἐζητήσατε τέχνην; καὶ εὕρετε ἐκείνην, ἣ οὐχ εὕρετε, ἧς ἕνεκα ἐζητεῖτε; ΣΩ. Πόθεν, ὦ μακάριε, εὕρομεν; ἀλλ' ἦμεν πάνυ γελοῖοι, ὥσπερ τὰ παιδία τὰ b.
τοὺς κορυδοὺς διώκοντα· ἀεὶ ᾠόμεθα ἑκάστην τῶν ἐπιζημιῶν αὐτίκα λήψεσθαι, αἱ δ' ἀεὶ ὑπεξέφυγον. τὰς μὲν οὖν πολλὰς τί ἄν σοι λέγοιμι; ἐπὶ δὲ δὴ τὴν βασιλικὴν ἐλθόντες τέχνην, καὶ διασκοπούμενοι αὐτήν, εἰ αὕτη εἴη ἡ τὴν εὐδαιμονίαν παρέχουσά τε καὶ ἀπεργαζομένη, ἐνταῦθα ὥσπερ εἰς λαβύρινθον ἐμπεσόντες, οἰόμενοι ἤδη ἐπὶ τέλει εἶναι, περικάμψαντες πάλιν, ὥσπερ ἐν ἀρχῇ τῆς ζητήσεως ἀνεφάνημεν ὄντες, καὶ τοῦ ἴσου δεόμενοι ὅσου περ ὅτε το πρῶτον ἐζητοῦμεν. ΚΡ. Πῶς c.
δὴ τοῦτο ὑμῖν συνέβη, ὦ Σώκρατες; ΣΩ. Ἐγὼ φράσω. ἐδοξε γὰρ δὴ ἡμῖν ἡ πολιτικὴ καὶ ἡ βασιλικὴ τέχνη ἡ αὐτὴ εἶναι. ΚΡ. Τί οὖν δή; ΣΩ. Ταύτῃ τῇ τέχνῃ ἥ τε στρατηγικὴ

rum. Sed, o beate Crito, ſuſpicor praeſtantiorem quempiam virum praeſentem haec dixiſſe. nam haec me audiviſſe non dubito. *Cr.* Per Iovem, o Socrates, excellentior aliquis iſta protuliſſe videtur. Verum poſt haec quam tandem artem ſcrutati eſtis? inveniſtisne quam quaerebatis, an non? *So.* Unde, o beate, inveniſſemus? Ridiculum quiddam accidit. etenim puerorum more, qui galeritas ſive alaudas inſequuntur, vehementi quodam affectu ſingulas ſcientias perſequebamur: ac ſemper quamcunque capere nos e veſtigio putabamus, fallebat nos, repenteque ſubterfugiebat. Quid enim tibi multas enumerem? Regiam artem aggreſſi ſumus, contemplati, eſſet necne quae beatos faciat. Sed velut in Labyrinthum delapſi, dum prope finem eſſe iam ſperabamus, retrogreſſi ad principium rurſus revertebamur, eodem modo affecti, quo principio diſputationis eramus. *Cr.* Quo pacto hoc accidit? *So.* Dicam. Viſa nobis regia facultas eſt eadem eſſe cum civili. *Cr.* Quinam? *So.* Cum res militaris ac facultates omnes reliquae,

καὶ αἱ ἄλλαι παραδιδόναι ἄρχειν τῶν ἔργων ὧν αὗται δημιουργοί εἰσιν, ὡς μόνη ἐπισαμένη χρῆσθαι. σαφῶς οὖν ἐδόκει ἡμῖν αὕτη εἶναι ἣν ζητοῦμεν, καὶ ἡ αἰτία τοῦ ὀρθῶς πράττειν
d. ἐν τῇ πόλει, καὶ ἀτεχνῶς κατὰ τὸ Αἰσχύλου ἰαμβεῖον, μόνη ἐν τῇ πρύμνῃ καθῆσθαι τῆς πόλεως, πάντα κυβερνῶσα, καὶ πάντων ἄρχουσα, καὶ πάντα χρήσιμα ποιεῖν. ΚΡ. Οὐκοῦν καλῶς ὑμῖν ἐδόκει, ὦ Σώκρατες; ΣΩ. Σὺ κρινεῖς, ὦ Κρίτων, ἐὰν βούλῃ ἀκούειν καὶ τὰ μετὰ ταῦτα συμβάντα ἡμῖν. αὖθις γὰρ δὴ πάλιν ἐσκοποῦμεν ὧδέ πως. φέρε, πάντων ἄρχουσα ἡ βασιλικὴ τέχνη τί ἡμῖν ἀπεργάζεται ἔργον; ἢ οὐδέν; πάντως δή-
e. που, ἡμεῖς ἔφαμεν πρὸς ἀλλήλους. οὐ καὶ σὺ ἂν ταῦτα φαίης, ὦ Κρίτων; ΚΡ. Ἔγωγε. ΣΩ. Τί οὖν ἂν φαίης αὐτῆς ἔργον εἶναι; ὥσπερ εἰ ἐγώ σε ἐρωτῴην, πάντων ἄρχουσα ἡ ἰατρικὴ ὧν ἄρχει, τί ἔργον παρέχεται; οὐ τὴν ὑγιειαν φαίης; ΚΡ. Ἔγωγε. ΣΩ. Τί δέ, ἡ ὑμετέρα τέχνη ἡ γεωργία, πάντων ἄρ-
p. χουσα ὧν ἄρχει, τί ἀπεργάζεται; οὐ τὴν τροφὴν ἂν φαίης τὴν
292 a. ἐκ τῆς γῆς παρέχειν ἡμῖν; ΚΡ. Ἔγωγε. ΣΩ. Τί δέ; ἡ βασι-

operum ſuorum imperium civili arti ſubmittere viderentur, utpote quae ſola uti ſciat: nihil nobis impedimento fore putavimus, quo minus haec eſſet quam quaerebamus, cauſa recte rempublicam adminiſtrandi, & ſecundum illum Aeſchyli iambum, puppi ſola civitatis praeſidens, & gubernacula totius tenens, omnibus dominans, omnia utilia reddens. *Cr.* An non recte viſum vobis eſt, Socrates? *So.* Ipſe iudicabis, Crito, ſi audias quae deinceps contigerunt. Rurſus enim hunc in modum quaerebamus. Age, ars illa regia omnibus praeſidens, opus aliquod efficit, an non? Omnino aliquod, conſenſimus omnes. Nonne enim & tu haec, Crito, concederes? *Cr.* Abſque dubio. *So.* Quod ergo illius opus eſſe diceres? ut ſi te rogem, Medicina dum dominatur omnibus, quorum domina eſt, quodnam opus exhibet? an non ſanitatem protinus reſponderes? *Cr.* Utique. *So.* Agricultura item veſtra, dum omnibus quorum eſt domina, dominatur, quod opus facit? alimentum e terra porrigere inquies? *Cr.* Equidem. *So.* Regia igitur facul-

λικὴ πάντων ἄρχουσα ὧν ἄρχει, τί ἀπεργάζεται; ἴσως οὐ πάνυ γ' εὐπορεῖς. ΚΡ. Μὰ τὸν Δια, ὦ Σώκρατες. ΣΩ. Οὐδὲ γὰρ ἡμεῖς, ὦ Κριτων. ἀλλὰ τοσόνδέ γε οἶσθα, ὅτι εἴπερ ἐσὶν αὕτη ἣν ἡμεῖς ζητοῦμεν, ὠφέλιμον αὐτὴν δει εἶναι. ΚΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἀγαθὸν γέ τι δεῖ ἡμῖν αὐτὴν παραδιδόναι; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες. ΣΩ. Ἀγαθὸν δέ γε που ὡμολογήσαμεν ἀλλήλοις ἐγώ τε καὶ Κλεινιας, οὐδὲν εἶναι ἄλλο ἢ ἐπιςήμην τινά. ΚΡ. Ναὶ οὕτως ἔλεγες. ΣΩ. Οὐκοῦν τὰ μὲν ἄλλα ἔργα ἃ φαίη ἄν τις πολιτικῆς εἶναι (πολλὰ δὲ που ταῦτ' ἂν εἴη, οἷον, πλουσιους τοὺς πολιτας παρέχειν καὶ ἐλευθέρους καὶ ἀσφαλεσάτους) πάντα ταῦτα, οὔτε κακὰ οὔτε ἀγαθὰ ἐφάνη. ἐδει δὲ σοφοὺς ποιεῖν καὶ ἐπιςήμης μεταδιδόναι, εἴπερ ἔμελλεν αὕτη εἶναι ἡ ὠφελοῦσά τε καὶ εὐδαιμονας ποιοῦσα. ΚΡ. Ἔςι ταῦτα. τότε γοῦν οὕτως ὑμῖν ὡμολογήθη ὡς σὺ τοὺς λόγους ἀπήγγειλας. ΣΩ. Ἆρ' οὖν ἡ βασιλικὴ σοφοὺς ποιεῖ τοὺς ἀνθρώπους καὶ ἀγαθούς; ΚΡ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; ΣΩ. Ἀλλ' ἆρα πάντας καὶ πάντως ἀγαθούς;

tas, cum omnibus quorum eſt domina dominetur, quod opus explet? Forte non eſt in promtu. *Cr.* Non hercle, o Socrates. *So.* Neque nobis, o Crito. ſed hoc ſaltem noſti, ſi haec ea eſt quam exoptamus, utilem eſſe oportere. *Cr.* Summopere. *So.* Nonne igitur boni aliquid afferre nobis eam neceſſe eſt? *Cr.* Eſt omnino. *So.* Bonum autem nihil eſſe aliud quam ſcientiam quandam, ego & Clinias conſenſimus. *Cr.* Ita certe dicebas. *So.* Opera vero civilis quidem gubernationis, cum multa alia, haec eſſe vel maxime unusquisque fateatur, divites facere cives, liberos & concordes. haec autem omnia neque bona, neque mala apparuerunt. Oportet autem eam, ut conſtitit, ſapientes efficere, ſcientiamque tribuere, ſi modo ea futura ſit quae proſit, & beatos efficiat. *Cr.* Vera narras. Sic enim tunc inter vos conſtitit, ut ipſe recenſuiſti. *So.* Numquid regia diſciplina ſapientes homines bonosque facit? *Cr.* Quid prohibet, Socrates? *So.* Num & omnes, & in omnibus bonos, omnemque ſcientiam ipſa praebet? coriariam, fabri-

καὶ πᾶσαν ἐπιςήμην σκυτοτομικήν τε καὶ τεκτονικὴν, καὶ τὰς
ἄλλας ἁπάσας αὕτη ἡ παραδιδοῦσά ἐςιν; ΚΡ. Οὐκ οἶμαι
ἔγωγε, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ τίνα δὴ ἐπιςήμην; ἢ τί
d. χρησόμεθα; τῶν μὲν γὰρ ἔργων οὐδενὸς δεῖ αὐτὴν δημιουργὸν
εἶναι τῶν μήτε κακῶν μήτε ἀγαθῶν, ἐπιςήμην δὲ παραδιδόναι
μηδεμίαν ἄλλην ἢ αὐτὴν ἑαυτήν. λέγωμεν δὴ οὖν τίς ποτέ ἐςιν
αὕτη, ἢ τί χρησόμεθα. βούλει φῶμεν, ὦ Κρίτων, ἢ τ' ἄλλους
ἀγαθοὺς ποιήσομεν; ΚΡ. Πάνυγε. ΣΩ. Οἵ τί ἔσονται ἡμῖν
ἀγαθοί, καὶ τί χρήσιμοι; ἢ ἔτι λέγωμεν ὅτι ἄλλους ποιήσου-
σιν, οἱ δὲ ἄλλοι ἐκεῖνοι ἄλλους; ὅτι δέ ποτε ἀγαθοί εἰσιν, οὐ-
e. δαμοῦ ἡμῖν φαίνονται, ἐπειδή περ τὰ ἔργα τὰ λεγόμενα εἶναι
τῆς πολιτικῆς ἀπεδοκιμάσαμεν· ἀλλ' ἀτεχνῶς, τὸ λεγόμενον,
ὁ Διὸς Κόρινθος γίγνεται· καὶ, ὅπερ ἔλεγον, τοῦ ἴσου ἡμῖν ἐν-
δεῖ, ἢ ἔτι πλέονος, πρὸς τὸ εἰδέναι τίς ποτ' ἐςὶν ἡ ἐπιςήμη ἐκείνη
ἢ ἡμᾶς εὐδαίμονας ποιήσει. ΚΡ. Νὴ τὸν Δία, ὦ Σώκρατες,
εἰς πολλήν γε ἀπορίαν, ὡς ἔοικεν, ἀφικεσθε. ΣΩ. Ἔγωγε οὖν
καὶ αὐτὸς, ὦ Κρίτων, ἐπειδὴ ἐν ταύτῃ τῇ ἀπορίᾳ ἐνεπεπτώ-
p. κειν, πᾶσαν ἡδὴ φωνὴν ἠφιειν, δεόμενος τοῖν ξένοιν, ὥσπερ
293
a. lem, & reliquas univerſas? *Cr.* Haud equidem arbitror, o Socrates. *So.* At quam ſcientiam? & qua in re iuvabimur? Operum quidem illorum, quae neque bona ſunt neque mala, opificem ipſam eſſe haud oportet: ſcientiam vero aliam praebere nullam quam ipſam ſeipſam decet. Dicamus igitur quaenam haec ſit, & quo iuvemur. Viſne eam dicamus, o Crito, qua bonos facere ceteros poſſumus? *Cr.* Volo equidem. *So.* Boni quo conducent? quove utiles erunt? an dicemus quod alios facient bonos? & illi ipſi alios item? Quod autem boni ſint, nuſquam apparet, poſtquam illa quae civilis artis opera dicuntur, reiecimus: planeque, quod proverbio dicitur, Iovis Corinthus accidit: atque ut ſupra dixeram, aequo intervallo, immo etiam longiori quam antea ab eius artis inventione diſtamus, quae praeſtare nobis beatitudinem valeat. *Cr.* Per Iovem, o Socrates, in ambiguitatem plurimam incidiſſe videmini. *So.* Ego quidem, o Crito, cum in hanc dubitationem

Διοσκούρω ἐπικαλούμενος, σῶσαι ἡμᾶς, ἐμέ τε καὶ τὸ μειράκιον, ἐκ τῆς τρικυμίας τοῦ λόγου· καὶ παντὶ τρόπῳ σπουδάσαι, καὶ σπουδάσαντας ἐπιδεῖξαι τίς ποτ' ἐστὶν ἡ ἐπιστήμη, ἧς τυχόντες ἂν καλῶς τὸν ἐπίλοιπον βίον διέλθοιμεν. ΚΡ. Τί οὖν; ἠθέλησέ τι ὑμῖν ἐπιδεῖξαι ὁ Εὐθύδημος; ΣΩ. Πῶς γὰρ οὔ; καὶ ἥρξατό γε, ὦ ἑταῖρε, πάνυ μεγαλοφρόνως τοῦ λόγου, ὥδε. Πότερον δή σε, ἔφη, ὦ Σώκρατες, ταύτην τὴν ἐπιστήμην περὶ ἣν πάλαι ἀπορεῖτε, διδάξω; ἢ ἐπιδείξω ἔχοντα; b. Ὦ μακάριε, ἦν δ' ἐγὼ, ἔστι δὲ ἐπί σοι τοῦτο; Πάνυ μὲν οὖν, ἔφη. Ἐπίδειξον τοίνυν με νὴ Δί', ἔφην ἐγὼ, ἔχοντα. πολὺ γὰρ ῥᾷον ἢ μανθάνειν τηλικόνδε ἄνδρα. Φέρε δή μοι ἀπόκριναι, ἔφη. ἔστιν ὅ, τι ἐπίστασαι; Πάνυ γε, ἦν δ' ἐγὼ, καὶ πολλὰ, σμικρά γε. Ἀρκεῖ, ἔφη. ἆρ' οὖν δοκεῖς οἷόν τέ τι τῶν ὄντων, τοῦτο ὃ τυγχάνει ὄν, αὐτὸ τοῦτο μὴ εἶναι; Ἀλλὰ μὰ Δί' οὐκ ἔγωγε. Οὐκοῦν σὺ, ἔφη, ἐπίστασαί τι; Ἔγωγε. Οὐκοῦν c. ἐπιστήμων εἶ, εἴπερ ἐπίστασαι; Πάνυγε, τούτου γε αὐτοῦ. Οὐ-

merſus eſſem, quam alta potui voce protinus exclamavi, hoſpites illos tanquam Caſtorem & Pollucem Iovis filios ſuppliciter obſecrans, ut nos, me ſcilicet & adoleſcentulum ipſum, e turbulenta fluctuatione ſermonum eriperent; iocisque omiſſis, ſeria diſputandi ratione nobis oſtenderent, quae potiſſimum ſcientia ſit, quam adepti quod vitae ſupereſt feliciter tranſigamus. *Cr.* Numquid monſtrare vobis Euthydemus voluit? *So.* Quidni? & incoepit, o amice, admodum magnifice ſermonem hoc modo. Utrum te, o Socrates, hanc quam iampridem quaeritis ſcientiam, doceam, inquit? an habere ipſam te oſtendam? O beate vir, inquam, numquid hoc potes? Valde, inquit. Oſtende igitur, inquam, me habere. facilius enim mihi iſtud, quam denuo hac in aetate diſcere. Dic age, inquit, ſcisne quidquam? Scio equidem multa, inquam, ſed parva. Sufficit, inquit. putaſne aliquid eorum quae ſunt, idipſum quod eſt, non eſſe? Nullo pacto, inquam. An non ſcire te aliquid aſſeris? inquit. Profecto. An non es ſciens, ſi modo ſcis? Sum quidem, ſed illius ipſius quod ſcio. Nihil refert,

δὲν διαφέρει. ἀλλ' οὐκ ἀνάγκη σε ἔχει πάντα ἐπίσασθαι ἐπιστήμονά γε ὄντα. Μὰ Δί', ἔφην ἐγὼ, ἐπεὶ πολλὰ ἄλλ' οὐκ ἐπίσαμαι. Οὐκοῦν, εἴτι μὴ ἐπίσασαι, οὐκ ἐπιστήμων εἶ. Ἐκείνου γε, ὦ φίλε, ἦν δ' ἐγώ. Ἧττον οὖν τι, ἔφη, οὐκ ἐπιστήμων εἶ· ἄρτι δὲ ἐπιστήμων ἔφησθα εἶναι. καὶ οὕτω τυγχάνεις ὢν αὐτὸς
d. οὗτος ὃς εἶ, καὶ αὖ πάλιν οὐκ εἶ, κατὰ ταυτὰ ἅμα. Εἶεν, ἦν δ' ἐγὼ, Εὐθύδημε. τὸ γὰρ λεγόμενον, καλὰ δὴ πάντα λέγεις. πῶς οὖν ἐπίσαμαι ἐκείνην τὴν ἐπιστήμην ἣν ἐζητοῦμεν, ὡς δὴ τοῦτο ἀδύνατόν ἐστι τὸ αὐτὸ εἶναί τε καὶ μή; εἴπερ ἓν ἐπίσαμαι, ἅπαντα ἐπίσαμαι; οὐ γὰρ ἂν εἴην ἐπιστήμων τε καὶ ἀνεπιστήμων ἅμα. εἰ δὲ πάντα ἐπίσαμαι, κἀκείνην δὴ τὴν ἐπιστήμην ἔχω. ἆρα οὕτω λέγεις; καὶ τοῦτό ἐστι τὸ σοφόν; Αὐτὸς
e. σαυτόν γε δὴ ἐξελέγχεις, ἔφη, ὦ Σώκρατες. Τί δὲ, ἦν δ' ἐγὼ, ὦ Εὐθύδημε, σὺ οὐ πέπονθας τοῦτο τὸ αὐτὸ πάθος; ἐγὼ γάρ τοι μετὰ σοῦ ὁτιοῦν ἂν πάσχων, καὶ μετὰ Διονυσοδώρου τοῦδε, φίλης κεφαλῆς, οὐκ ἂν πάνυ ἀγανακτοίην. εἰπέ μοι, σφὼ οὐχὶ τὰ μὲν ἐπίσασθον τῶν ὄντων, τὰ δὲ οὐκ ἐπίσασθον;

inquit. non neceſſe eſt ſcire te omnia, ſi qua eorum quae ſunt ſcis. Non per Iovem, inquam: quandoquidem & alia multa minime ſcio. Si quid neſcis, inquit, nonne es neſcius? Illius ipſius, inquam, o amice, quod neſcio. Nihilominus neſcius es, inquit, qui paulo ante ſcium te eſſe praedicabas: atque ita fit, ut ille ipſe ſis qui & es, & rurſus non ſis, ſimul & ſecundum eadem. Eſto, inquam, Euthydeme. nam, ut proverbio fertur, Belle omnia dicis. qua igitur ratione ſcientiam illam quam quaerimus, habeo? quia videlicet impoſſibile eſt, eſſe idem, atque non eſſe. Unde ſi unum quiddam ſcio, cuncta ſcio. neque enim eſſe poſſum ſcius ſimul & neſcius. quod ſi omnia ſcio, illam quoque ſcientiam habeo. An non ita loqueris? & haec eſt ſapientia illa? Ipſe te redarguis, inquit, Socrates. Quid vero Euthydeme, tibi, inquam, nonne idem contigit? nam mihi quidem non multum moleſtum eſt, quod & tecum una & cum Dionyſodoro hoc, lepido capite, patiar. Dic mihi, nonne & vos quaedam ſcitis, quaedam neſcitis? Mi-

Ἠκιστά γε, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος. Πῶς λέγετον; ἔφην ἐγώ. ἀλλ' οὐδὲν ἄρα ἐπίστασθον; Καὶ μάλα, ἦ δ' ὅς. Πάντ' ἄρα, ἔφην ἐγὼ, ἐπίστασθον, ἐπειδήπερ καὶ ὁτιοῦν. Πάντ', p.
ἔφη. καὶ σύ γε πρὸς, εἴπερ καὶ ἓν ἐπίστασαι, πάντα ἐπίστασαι. Ὦ 294
Ζεῦ, ἔφην ἐγὼ, ὡς θαυμαστὸν λέγεις· καὶ ἀγαθὸν μέγα πέφανται. μῶν καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι πάντ' ἐπίστανται, ἢ οὐδέν; Οὐ γὰρ δή που, ἔφη, τὰ μὲν ἐπίστανται, τὰ δ' οὐκ ἐπίστανται· καὶ εἰσὶν ἅμα ἐπιστήμονές τε καὶ ἀνεπιστήμονες. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Πάντες, ἦ δ' ὅς, πάντα ἐπίστανται, εἴπερ καὶ ἕν. Ὦ πρὸς τῶν θεῶν, ἦν δ' ἐγὼ, ὦ Διονυσόδωρε, b.
(δῆλοι γάρ μοι ἐστὸν ἤδη ὅτι σπουδάζετον, καὶ μόλις ὑμᾶς παρεκαλεσάμην σπουδάζειν) αὐτὼ τῷ ὄντι πάντα ἐπίστασθον; οἷον τεκτονικὴν καὶ σκυτικήν; Πάνυ', ἔφη. Ἦ καὶ νευροῤῥαφεῖν αὖ δυνατὼ ἐστόν; Καὶ ναὶ μὰ Δία καττυειν, ἔφη. Ἦ καὶ τὰ τοιαῦτα; τοὺς ἀστέρας ὁπόσοι εἰσὶ, καὶ τὴν ἄμμον; Πάνυ γε, ἦ δ' ὅς. εἶτ' οὐκ ἂν οἴει ὁμολογῆσαι ἡμᾶς; Καὶ ὁ Κτήσιππος ὑπολαβὼν, Πρὸς Διὸς, ἔφη, Διονυσόδωρε, τεκμήριόν τι μοὶ τούτων ἐπιδείξατον τοιόνδε, ᾧ εἴσομαι ὅτι ἀληθῆ c.

nime quidem, o Socrates, Dionysodorus inquit. Quid dicitis, inquam? num ergo nihil scitis? Immo scimus, inquit. Omnia itaque scitis, si aliquid scitis. Omnia certe: & tu quoque scis omnia, si unum aliquid scis. Pro Iupiter, inquam, mirabile dictu, & ingens hoc bonum! num & ceteri omnes sciunt omnia? vel nihil? Non enim dicendum videtur, scire eos aliqua, nescire alia, atque ita scientes esse simul & nescientes. Quid ergo, inquam, dicemus? Omnes, inquit, plane scire omnia, si quid unum sciunt. Dii boni, inquam, nunc demum, Dionysodore, serio loqui mihi videmini, & vix tandem ut serio ageretis, nunc impetravi. Ipsi revera scitis omnia? & fabrilem videlicet artem & coriariam? Omnia prorsus, inquit. Numquid & nervis suere scitis? Certe, inquit, & calceos quidem. An, inquam, & stellarum numerum, & arenae? Et ista, inquit. Putas nos ista concedere, inquam? Hic Ctesippus respondens, Coniecturam, inquit, o Dionysodore, nobis ali-

λέγετον. Τί ἐπιδείξω; ἔφη. Οἶσθα Εὐθύδημον ὁπόσους ὀδόντας ἔχει, καὶ ὁ Εὐθύδημος, ὁπόσους σύ; Οὐκ ἐξαρκεῖ σοι, ἔφη, ἀκοῦσαι ὅτι πάντα ἐπιστάμεθα; Μηδαμῶς, ἦ δ' ὅς· ἀλλὰ τοῦτο ἔτι ἡμῖν μόνον εἴπατον, καὶ ἐπιδείξατον, ὅτι ἀληθῆ λέγετον. καὶ ἐὰν εἴπητον ὁπόσους ἑκάτερος ἔχει ὑμῶν, καὶ φαίνησθε γνόντες, ἡμῶν ἀριθμησάντων, ἤδη πεισόμεθα ὑμῖν καὶ τἆλλα. ἡγουμένω οὖν σκώπτεσθαι, οὐκ ἠθελέτην, ἀλλ' d. ὡμολογησάτην πάντα χρήματα ἐπίστασθαι, καθ' ἓν ἕκαστον ἐρωτώμενοι ὑπὸ Κτησίππου. ὁ γὰρ Κτήσιππος πάνυ ἀπαρακαλύπτως, οὐδὲν ὅ, τι οὐκ ἠρώτα τελευτῶν, καὶ τὰ αἴσχιστα, εἰ ἐπιστάσθην. τὸν δὲ ἀνδρειότατα ὁμόσε ἴτην τοῖς ἐρωτήμασιν, ὁμολογοῦντες εἰδέναι· ὥσπερ οἱ κάπροι οἱ πρὸς τὴν πληγὴν ὁμόσε ὠθούμενοι. ὥστ' ἔγωγε καὶ αὐτὸς, ὦ Κρίτων, ὑπ' ἀπιστίας ἠναγκάσθην τελευτῶν ἔρεσθαι τὸν Εὐθύδημον εἰ καὶ ὀρχεῖ- e. σθαι ἐπίστοιτο ὁ Διονυσόδωρος. Ὁ δὲ, Πάνυ, ἔφη. Οὐ δή που, ἦν δ' ἐγὼ, καὶ ἐς μαχαίρας γε κυβιστᾷν, καὶ ἐπὶ τροχοῦ δινεῖσθαι, τηλικοῦτος ὤν· οὕτω πόρρω σοφίας ἥκει. Οὐδέν,

quam talem adducite, qua vos vera loqui coniiciamus. Qualem? inquit. Scis, inquit, quot dentes Euthydemus habet? atque Euthydemus quot tu habeas cognoscit? Non tibi sat est, inquit, quod omnia scimus, audisse? Minime, inquit, sed unum hoc tantum nobis ostendite, quod vera loquamini. nam si dixeritis quot dentes habet uterque, nobisque postea numerantibus, vera dixisse deprehendemini, cetera quoque vobis credemus. Illi vero cum mordere Ctesippum existimarent, respondere aliud noluerunt, nisi quod scirent omnia, de singulis a Ctesippo interrogati. Ctesippus siquidem aperte de unaquaque re, vel minimis quibusque, etiam turpissimis, scisitatus est, num scirent. Illi autem forti animo pariter contra respondere runt, se omnia intelligere: instar aprorum, qui contra ictum nituntur. Quamobrem ipse quoque, o Crito, coactus sum denique Euthydemum interrogare, an etiam saltare Dionysodorus sciret. Ille vero consensit. Non tamen, inquam, super ensis humi inclinato capite transilire, & super rotam volvi

ἔφη, ὅ, τι οὔ. Πότερον δὲ, ἦν δ' ἐγὼ, πάντα νῦν μόνον ἐπίσασθον, ἢ καὶ ἀεί; Καὶ ἀεὶ, ἔφη. Καὶ ὅτε παιδία ἦσην καὶ εὐθὺς γενόμενοι ἠπίσασθε; Πάντα, ἐφάτην ἅμα ἀμφοτέρω. Καὶ ἡμῖν μὲν ἄπιστον ἐδόκει εἶναι τὸ πρᾶγμα. Ὁ δ' Εὐθύδημος, Ἀπιστεῖς, ἔφη, ὦ Σώκρατες. Πλήν γ' ὅτι, ἦν δ' ἐγὼ, εἰκὸς ὑμᾶς ἐσι σοφοὺς εἶναι. Ἀλλ' ἦν, ἔφη, ἐθελήσῃς μοι ἀποκρίνεσθαι, ἐγὼ ἐπιδείξω καί σε ταῦτα τὰ θαυμασὰ ὁμολογοῦντα. Ἀλλὰ μήν, ἦν δ' ἐγὼ, ἠδίσα ταῦτα ἐξελέγχομαι. εἰ γάρ τοι λέληθα ἐμαυτὸν σοφὸς ὢν, σὺ δὲ τοῦτο ἐπιδείξεις ὡς πάντα ἐπίσαμαι καὶ ἀεὶ, τί μεῖζον ἕρμαιον αὐτοῦ ἂν εὕροιμι ἐν παντὶ τῷ βίῳ; Ἀποκρίνου δὴ, ἔφη. Ὡς ἀποκρινουμένου ἐρώτα. Ἆρ' οὖν, ἔφη, ὦ Σώκρατες, ἐπιςήμων του εἶ, ἢ οὔ; Ἔγωγε. Πότερον οὖν ὦ ἐπιςήμων εἶ, τούτῳ καὶ ἐπίσασαι; ἢ ἄλλῳ τῳ; Ὧι ἐπιςήμων. οἶμαι γάρ σε ψυχὴν λέγειν. ἢ οὐ τοῦτο λέγεις; Οὐκ αἰσχύνῃ, ἔφη, ὦ Σώκρατες, ἐρωτώμενος ἀντερωτᾶν; Εἶεν, ἦν δ' ἐγώ· ἀλλὰ πῶς ποιῶ; οὕτω γὰρ ποιή- p. 295 a. b.

tam grandis natu. eone ſapientiae promovit? Nihil eſt, inquit, quod neſciat. Tum ego: Num omnia nunc dumtaxat cognoſcitis? an & ſemper. Et ſemper. Num a tenera aetate, ſtatimque nati, omnia cognoviſtis? Omnia, reſponderunt ſimul uterque. Nobis utique res incredibilis viſa eſt. Tunc Euthydemus, Non credis, o Socrates? Excepto hoc, inquam, quod veriſimile eſt vos ſapientes eſſe. At ſi mihi voles reſpondere, inquit, oſtendam te quoque haec mirabilia confitentem. Gratiſſimum ſit, ſi huius me convincas. ſi enim, cum eſſem ſapiens, neſcivi hactenus, tuque oſtendes & ſcire me omnia, & ſciviſſe ſemper, quod maius in vita lucrum nanciſci poſſem? Reſponde iam, inquit. Tamquam reſponſurum, inquam, interroga. Numquid alicuius ſcius, inquit, es, o Socrates, an nullius? Alicuius, inquam. An eodem ſcis quo ſcius es, an alio quopiam? Quo ſcius ſum. arbitror enim te animam dicere. hancne intelligis? Non te pudet, inquit, o Socrates, dum interrogaris, viciſſim interrogare? At quid faciam, inquam? faciam equidem utcunque iuſſeris, cum quod quaeris

σω ὅπως ἂν σὺ κελεύῃς· ὅταν μὴ εἰδῶ ὅ, τι ἐρωτᾷς, κελεύεις με ὅμως ἀποκρινεσθαι, ἀλλὰ μὴ ἐπανέρεσθαι. Ὑπολαμβά-
c. νεις γὰρ οὐ που τὶ, ἔφη, ὃ λέγω; Ἔγωγε, ἦν δ' ἐγώ. Πρὸς τοῦτο τοινυν ἀποκρίνου ὃ ὑπολαμβάνεις. Τί οὖν, ἔφην, ἂν σὺ μὲν ἄλλῃ ἐρωτᾷς διανοούμενος, ἐγὼ δὲ ἄλλῃ ὑπολάβω, ἔπειτα πρὸς τοῦτο ἀποκρίνωμαι, ἐξαρκεῖ σοι ἐὰν μηδὲν πρὸς ἔπος ἀποκρινωμαι; Ἔμοιγε, ἦ δ' ὅς· οὐ μέντοι σοί γε ὡς ἐγῷμαι. Οὐ τοινυν μὰ Δία ἀποκρινοῦμαι, ἦν δ' ἐγὼ, πρότερον πριν ἂν πύθωμαι. Οὐκ ἀποκρίνῃ, ἔφη, πρὸς ἃ ἂν ἀεὶ ὑπολαμβάνῃς,
d. ὅτι ἔχων φλυαρεῖς, καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος. Κἀγὼ ἔγνων αὐτὸν ὅτι μοι χαλεπαίνοι διαξέλλοντι τὰ λεγόμενα, βουλόμενός με ἐκπεῦσαι, τὰ ὀνόματα περιῳήσας. ἀνεμνήσθην οὖν τοῦ Κόννου, ὅτι μοι κἀκεῖνος χαλεπαίνει ἑκάστοτε, ὅταν αὐτῷ μὴ ὑπείκω· ἔπειτά μου ἧττον ἐπιμελεῖται, ὡς ἀμαθοῦς ὄντος. ἐπειδὴ οὖν διενοούμην καὶ παρὰ τούτοιν φοιτᾷν, ᾠήθην δειν ὑπείκειν, μή με σκαιὸν ἡγησάμενοι φοιτητὴν, μὴ προσδέχοιντο. εἶπον οὖν, Ἀλλ' εἰ δοκεῖ σοι, Εὐθύδημε, οὕτω ποιεῖν,

ignorem. iubes autem ut respondeam quidem, non interrogem. Cogitasne quoquo modo, inquit, id quod quaero? Equidem, inquam. Ad istud ergo responde, quod cogitas. Quid, inquam, si tu alia mente interroges, alia ego respondeam, cum aliud quam tu conceperim, satisne tibi factum putabis, si nihil ad rem ipsam respondero? Mihi quidem sat erit, inquit: tibi non, ut arbitror. Tum ego, per Iovem non prius respondebo, quam audiam. Non respondes, inquit, ad ea semper quae mente concipis: quia nugaris, Socrates, & rudior es admodum quam oporteat. Agnovi tunc illum mihi iam subiratum, quod verba quibus me irretire studebat, distinguerem. Venit mihi praeterea in mentem Conni, qui ipse quoque saepe mihi indignatur, quoties ei non cedo: deinde me spernit velut rudem. Postquam igitur cogitavi horum doctrinae me tradere, arbitratus sum obsequi oportere, ne quis eorum me ut ineptum & indocilem respuat. Quocirca & illi inquam, Si tibi ita, Euthydeme, videtur agendum, ita aga-

ποιητέον. σὺ γὰρ πάντως που κάλλιον ἐπίσασαι διαλέγεσθαι ἢ e.
ἐγὼ, τέχνην ἔχων, ἰδιώτου ἀνθρώπου. ἐρώτα οὖν πάλιν ἐξ
ἀρχῆς. Ἀποκρίνου δὴ, ἔφη, πάλιν, πότερον ἐπίσασαί τῳ ἃ
ἐπίσασαι, ἢ οὔ; Ἔγωγε, ἔφην, τῇ γε ψυχῇ. Οὗτος αὖ, ἔφη,
προσαποκρίνεται τοῖς ἐρωτωμένοις. οὐ γὰρ ἔγωγε ἐρωτῶ ὅτῳ· p.
ἀλλ' εἰ ἐπίσασαί τῳ. Πλέον αὖ, ἔφην ἐγὼ, τοῦ δέοντος ἀπε- 296
κρινάμην ὑπὸ ἀπαιδευσίας· ἀλλὰ συγγίνωσκέ μοι. ἀποκρινοῦ- a.
μαι γὰρ ἤδη ἁπλῶς ὅτι ἐπίσαμαί τῳ ἀεὶ ἃ ἐπίσαμαι. Πότερον,
ἢ δ' ὃς, τῷ αὐτῷ τούτῳ γ' αἰεί; ἢ ἔστι μὲν ὅτε τούτῳ, ἔστι δὲ
ὅτε ἑτέρῳ; Ἀεὶ, ὅταν ἐπίσωμαι, ἦν δ' ἐγὼ, τούτῳ. Οὐκ αὖ,
ἔφη, παύσῃ παραφθεγγόμενος; Ἀλλ' ὅπως μή τι ἡμᾶς σφάλῃ τὸ ἀεὶ τοῦτο. Οὔκουν ἡμᾶς γε, ἔφη, ἀλλ' εἴπερ σέ. ἀλλ' b.
ἀποκρίνου, εἰ ἀεὶ τούτῳ ἐπίσασαι. Ἀεὶ, ἦν δ' ἐγώ· ἐπειδὴ δεῖ
ἀφελεῖν τὸ Ὅταν. Οὐκοῦν ἀεὶ μὲν τούτῳ ἐπίσασαι· ἀεὶ δ' ἐπι-
σάμενος, πότερον τὰ μὲν τούτῳ ἐπίσασαι ᾧ ἐπίσασαι, τὰ δ'
ἄλλῳ; ἢ τούτῳ πάντα; Τούτῳ, ἔφην ἐγὼ, ἅπαντα, ἃ γ' ἐπίσαμαι. Τοῦτ' ἐκεῖνο, ἔφη, ἥκει τὸ αὐτὸ παράφθεγμα.

tur. tu namque me multo melius disputandi rationem intelligis, cum artem hanc teneas, ego vero sim rudis. Ideoque interroga iterum ab initio. Responde rursus, inquit, utrum scis aliquo quae scis, an nullo? Anima, inquam. Hic, ait ille, plus quam rogatus sit, respondet. non enim interrogo, quo scias, sed utrum scias aliquo, necne. Ego, inquam, ad haec plus quam decebat propter imperitiam meam respondi. sed ignosce mihi, obsecro. respondebo iam nunc simpliciter, quod scio aliquo semper quaecunque scio. Utrum, ait, hoc eodem semper, an tum hoc, tum alio? Semper, inquam, quando scio, hoc scio. Hic ille, Nondum praeter rem respondere desinis? Ne forte, inquam, id quod semper dicitur, nos falleret, ita respondi. Non nos, inquit, dicas, sed te. sed responde, utrum semper hoc scias. Semper, inquam, postquam ipsum, Quando, oportet subtrahere. Nonne semper hoc scis? semper autem sciens utrum aliqua hoc scis, quo scis, aliqua alio, vel hoc ipso omnia? Hoc, inquam, cuncta quaecunque

Ἀλλ' ἀφαιρῶ, ἔφην ἐγὼ, τὸ, ἅ γ' ἐπίσαμαι. Ἀλλὰ μηδὲ ἕν,
e. ἔφη, ἀφέλῃς. οὐδὲν γάρ σου δέομαι. ἀλλά μοι ἀπόκριναι· δύναιο ἂν ἅπαντα ἐπίσασθαι, εἰ μὴ πάντα ἐπίσαιο; Τέρας γὰρ ἂν εἴη, ἦν δ' ἐγώ. Καὶ ὃς εἶπε, Προστίθει τοίνυν ἤδη ὅ, τι βούλει. ἅπαντα γὰρ ὁμολογεῖς ἐπίσασθαι. Ἔοικα, ἔφην ἐγὼ, ἐπειδήπερ γε οὐδεμίαν ἔχεις δύναμιν τὸ, ἃ ἐπίσαμαι, πάντα δὲ ἐπίσαμαι. Οὐκοῦν καὶ ἀεὶ ὡμολόγηκας ἐπίσασθαι τούτῳ ᾧπερ ἐπίσασαι· εἴτε ὅταν ἐπίσῃ, εἴτε ὅπως βούλει. ἀεὶ γὰρ ὡμολόγηκας ἐπίσασθαι, καὶ ἅμα πάντα. δῆλον οὖν ὅτι καὶ παῖς ὢν
d. ἠπίσω, καὶ ὅτ' ἐγίγνου, καὶ ὅτ' ἐφύου· καὶ πρὶν αὐτὸν γενέσθαι, καὶ πρὶν οὐρανὸν καὶ γῆν γενέσθαι, ἠπίσω ἅπαντα, εἴπερ ἀεὶ ἐπίσασαι. καὶ ναὶ μὰ Δία, ἔφη, αὐτὸς ἀεὶ ἐπισήσῃ, καὶ ἅπαντα, ἂν ἐγὼ βούλωμαι. Ἀλλὰ βουληθείης, ἦν δ' ἐγὼ, ὦ πολύτιμε Εὐθύδημε, εἰ δὴ τῷ ὄντι ἀληθῆ λέγεις. ἀλλ' οὔ σοι πάνυ πιστεύω ἱκανῶς εἶναι, εἰ μή σοι συμβουληθείη ὁ ἀδελφός σου οὑτοσὶ Διονυσόδωρος· οὕτω δὲ, τάχα ἄν. εἰπετον δέ μοι, ἦν δ' ἐγώ.
e. τὰ μὲν γὰρ ἄλλα οὐκ ἔχω ὑμῖν πῶς ἀμφισβητοίην, οὕτως

scio. Hic rursus transgrederis, Socrates. Excipiatur, inquam, quod dictum est, Quaecunque scio. Ut excipias, inquit, nihil postulo. immo responde, possesne omnia scire, nisi scires omnia? Monstrum esset hoc, inquam. Adiice nunc iam, ait, quidquid lubet. cuncta namque scire fateris. Sic videor, inquam, postquam nullius momenti est illud, Quaecunque scio: omnia autem scio. Nonne & semper confessus es scire hoc quo scis; sive quando scis? seu quomodocunque placet. semper enim scire es confessus, ac omnia simul. constat ergo, quod puer sciebas, & quando genitus es, & quando natus: immo & antequam nascereris, & ante coeli terraeque ortum sciisti omnia, si modo semper scis. ac per Iovem semper scies, & omnia, si voluero. At voles, inquam, honorande nimium Euthydeme, siquidem omnino vera dicis. sed posse te non multum confido, nisi idem tecum velit frater iste tuus Dionysodorus. sic enim forte valebis. Dicite autem mihi. Cetera quomodo vobis non concedam nescio, tam mirabili atque nova sa-

εἰς σοφίαν τερατώδεσιν ἀνθρώποις, ὅπως οὐ πάντα ἐγὼ ἐπίσαμαι, ἐπειδή περ ὑμεῖς φατέ· τὰ δὲ τοιάδε πῶς Φῶ ἐπίσασθαι, Εὐθύδημε, ὡς ἀγαθοὶ ἄνδρες, ἀδικοί εἰσιν; φέρε εἰπὲ, τοῦτο ἐπίσαμαι; ἢ οὐκ ἐπίσαμαι; Ἐπίσασαι μέντοι, ἔφη. Τί; ἦν δ' ἐγώ. Ὅτι οὐκ ἀδικοί εἰσιν οἱ ἀγαθοί. Πάνυγε, ἦν δ' ἐγὼ, πάλαι. ἀλλ' οὐ τοῦτο ἐρωτῶ· ἀλλ' ὡς ἀδικοί εἰσιν οἱ ἀγαθοί, p. 297 a.
ποῦ ἐγὼ τοῦτο ἔμαθον. Οὐδαμοῦ, ἔφη ὁ Διονυσόδωρος. Οὐκ ἄρα ἐπίσαμαι, ἔφην, τοῦτο, ἐγώ. Διαφθείρεις, ἔφη, τὸν λόγον, ὁ Εὐθύδημος πρὸς τὸν Διονυσόδωρον· καὶ φανήσεται οὗτοσὶ οὐκ ἐπισάμενος· καὶ ἐπισήμων ἅμα ὢν καὶ ἀνεπισήμων. Καὶ ὁ Διονυσόδωρος ἠρυθρίασεν. Ἀλλὰ σὺ, ἦν δ' ἐγὼ, πῶς λέγεις, ὦ Εὐθύδημε; οὐ δοκεῖ σοι ὀρθῶς ὁ ἀδελφὸς λέγειν ὁ πάντα εἰδώς; Ἀδελφὸς γὰρ, ἔφη, ἐγώ εἰμι Εὐθυδήμου, b.
ταχὺ ὑπολαβὼν ὁ Διονυσόδωρος. Κἀγὼ εἶπον, Ἔασον, ὦ ἀγαθὲ, ἕως ἂν Εὐθύδημός με διδάξῃ ὡς ἐπίσαμαι τοὺς ἀγαθοὺς ἄνδρας ὅτι ἀδικοί εἰσι· καὶ μή μοι φθονήσῃς τοῦ μαθήματος. Φεύγεις, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος, καὶ οὐκ ἐθέλεις ἀποκρίνεσθαι. Εἰκότως γ', εἶπον ἐγώ. ἧττων γάρ εἰμι

pientia praediti estis, quo minus ego omnia sciam, quandoquidem vos asseritis. At talia quaedam qua ratione scire me dicam, Euthydeme, quod videlicet boni viri iniusti sint? Dic enim mihi, scione istud, an nescio? Scis utique, inquit. Quid, inquam? Quod viri boni iniusti non sunt. Iampridem sciebam hoc, inquam, verum non istud quaero, sed quod iniusti sunt viri boni, ubi didici? Nusquam, Dionysodorus ait. Non ergo, inquam, hoc scio. Tunc Euthydemus ad Dionysodorum conversus ait, Sermonem destruis: apparebitque iste si nesciat, sciens simul & nesciens. Dionysodorus quidem erubuit. Sed ego, Tu vero quid ais, Euthydeme? non videtur tibi frater tuus vera loqui, quum noverit omnia? Frater ego sum Euthydemi, Dionysodorus ait. Mitte isthaec, inquam, o bone vir, dum me Euthydemus doceat, quod sciam viros bonos iniustos esse: neque hanc mihi doctrinam invideas. Fugis, o Socrates, ait Dionysodorus, neque vis respondere. Non iniuria,

καὶ τοῦ ἑτέρου ὑμῶν· ὥστε πολλοῦ δέω μὴ οὐ δύο γε φεύγειν.
c. πολὺ γάρ που εἰμὶ φαυλότερος τοῦ Ἡρακλέους· ὃς οὐχ οἷός
τε ἦν τῇ τε ὕδρᾳ διαμάχεσθαι σοφιστρίᾳ οὔσῃ, καὶ διὰ τὴν
σοφίαν ἀνιείσῃ, εἰ μίαν κεφαλὴν ἀποτμηθείη τοῦ λόγου,
πολλὰς ἀντὶ τῆς μιᾶς. καὶ Καρκίνῳ ἑτέρῳ τινὶ σοφιστῇ, ἐκ
θαλάττης ἀφιγμένῳ, νεωστὶ, μοι δοκεῖν, καταπεπλευκότι· ὃς
ἐπειδὴ αὐτὸν ἐλύπει οὕτως, ἐκ τοῦ ἐπ' ἀριστερὰ λέγων καὶ
δάκνων, τὸν Ἰόλεων τὸν ἀδελφιδοῦν βοηθὸν ἐπεκαλέσατο· ὁ δὲ
d. αὐτῷ ἱκανῶς ἐβοήθησεν. ὁ δ' ἐμὸς Ἰόλεως Πατροκλῆς εἰ ἔλθοι,
πλέον ἂν θάτερον ποιήσειεν. Ἀπόκριναι δὴ, ἔφη ὁ Διονυσόδωρος, ὁπότε σοι ταῦτα ὕμνηται, πότερον ὁ Ἰόλεως τοῦ Ἡρακλέους μᾶλλον ἦν ἀδελφιδοῦς, ἢ σός. Κράτιστον τοίνυν μοι, ὦ Διονυσόδωρε, ἦν δ' ἐγὼ, ἀποκρίνασθαί σοι. οὐ γὰρ μὴ ἀνῇς ἐρωτῶν· σχεδόν τι ἐγὼ τοῦτ' εὖ οἶδα φθονῶν, καὶ διακωλύων ἵνα μὴ διδάξῃ με Εὐθύδημος ἐκεῖνο τὸ σοφόν. Ἀποκρίνου δὴ, ἔφη. Ἀποκρινοῦμαι δὴ, εἶπον, ὅτι τοῦ Ἡρακλέους ἦν ὁ Ἰόλεως
e. ἀδελφιδοῦς, ἐμὸς δ', ὡς ἐμοὶ δοκεῖν, οὐδ' ὁπωστιοῦν. οὐ γὰρ

inquam, fugio: nam cum alterutro veſtrum ſim imbecillior, cur non duos fugiam? Hercule quidem multo ſum imbecillior, qui pugnare ſimul non valui adverſus hydram ſophiſticam, cui propter ſapientiam pro uno ſermonis capite amputato, multa repullulabant: ac etiam adverſus Cancrum ſophiſtam quendam ex mari adventantem, & nuper, ut arbitror, advectum navi: a quo cum Hercules ad ſiniſtram angeretur, verbisque acriter morderetur, nepotis ſui Iolai auxilium imploravit; qui ſummopere illi ſuccurrit: meus autem Iolaus Patrocles ſi venerit, longe aliter faciet. Reſponde ergo, inquit Dionyſodorus, poſtquam ipſe haec praedicas, utrum Iolaus Herculis magis fratris filius, quam tuus, fuerit. Operae pretium fore arbitror, ut tibi reſpondeam, Dionyſodore. neque enim deſineres ſciſcitari, & propter invidiam quandam interturbare, ne Euthydemus ſapiens illud me doceat. Reſponde igitur, inquit. Reſpondeo, inquam, Iolaum Herculis fratris filium fuiſſe: meum autem, ut videtur, nequaquam.

Πατροκλῆς ἦν αὐτῷ πατὴρ, ὁ ἐμὸς ἀδελφός. ἀλλὰ παραπλήσιον μὲν τοὔνομα Ἰφικλῆς, ὁ Ἡρακλέους ἀδελφός. Πατροκλῆς δὲ, ἦ δ' ὅς, σός; Πάνυγ', ἔφην ἐγὼ, ὁμομήτριός γε, οὐ μέντοι ὁμοπάτριος. Ἀδελφὸς ἄρα ἐστί σοι, καὶ οὐκ ἀδελφός. Οὐχ ὁμοπάτριός γε, ὦ βέλτιστε, ἔφην· ἐκείνου μὲν γὰρ Χαιρέδημος ἦν πατὴρ, ἐμὸς δὲ, Σωφρονίσκος. πατὴρ δὲ ἦν, ἔφη, Σωφρονίσκος καὶ Χαιρέδημος; Πάνυγ' ἔφην· ὁ μέν γε, ἐμός· ὁ δὲ, ἐκείνου. Οὐκοῦν, ἦ δ' ὅς, ἕτερος ἦν Χαιρέδημος τοῦ πατρός; Τοὐμοῦ γ', ἔφην ἐγώ. Ἆρ' οὖν πατὴρ ἦν, ἕτερος ὢν πατρός; ἦ σὺ εἶ ὁ αὐτὸς τῷ λίθῳ; Δέδοικα μὲν ἔγωγ', ἔφην, μὴ Φανῶ ὑπὸ σοῦ ὁ αὐτός· οὐ μέντοι μοι δοκῶ. Οὐκοῦν ἕτερος εἶ, ἔφη, τοῦ λίθου; Ἕτερος μέντοι. Ἄλλοτι οὖν ἕτερος, ἦ δ' ὅς, ὢν λίθου, οὐ λίθος εἶ; καὶ ἕτερος ὢν χρυσοῦ, οὐ χρυσὸς εἶ; Ἔστι ταῦτα. Οὐκοῦν καὶ ὁ Χαιρέδημος, ἔφη, ἕτερος ὢν πατρὸς, οὐκ ἂν πατὴρ εἴη. Ἔοικεν, ἦν δ' ἐγὼ, οὐ πατὴρ εἶναι. Εἰ γὰρ δή που, ἔφη, πατήρ ἐστιν ὁ Χαιρέδημος, ὑπολαβὼν ὁ Εὐθύδημος, πάλιν αὖ ὁ Σωφρονίσκος, ἕτερος ὢν πατρὸς, οὐ πατήρ

p. 298 a. b.

neque enim pater ipsi Patrocles fuit frater meus, sed aliquis nomine proximus Iphicles Herculis frater. Patrocles autem, inquit, tuus? Nimirum, inquam, sed ex matre eadem, non patre. Frater ergo tibi est, inquit, & non frater. Non eodem ex patre, inquam, vir optime. illius enim pater Chaeredemus, Sophroniscus autem meus. Pater autem, inquit, erat Sophroniscus atque Chaeredemus? Omnino, ille meus, hic illius. Nonne Chaeredemus alius quam pater erat? Alius scilicet quam pater meus. Numquid pater erat, cum alius quam pater esset? an tu idem es, quod lapis? Verebar, inquam, ne idem te asserente viderer: mihi vero non videor. Nonne igitur alius es, quam lapis? Alius certe. Quod si alius es quam lapis, non es lapis: & si alius quam aurum, non es aurum. Sic est, inquam. An non eadem ratione Chaeredemus, quum alius sit quam pater, pater non erit? Videtur, inquam, non esse pater. Ad haec Euthydemus adiecit, Si enim non pater est Chaeredemus, rursus & Sophroniscus, cum alius sit quam pa-

ἐξιν. ὥστε σὺ, ὦ Σώκρατες, ἀπάτωρ εἶ. Καὶ ὁ Κτήσιππος ἐκδεξάμενος, Ὁ δὲ ὑμέτερος, ἔφη, αὖ πατὴρ οὐ ταυτὰ ταῦτα πέπονθεν; ἕτερός ἐξιν τοὐμοῦ πατρός; Πολλοῦ γ', ἔφη, δεῖ, ὁ Εὐθύδημος. Ἀλλὰ, ἦ δ' ὅς, ὁ αὐτός; Ὁ αὐτὸς μέντοι. Οὐκ ἂν συμβουλεύμην. Ἀλλὰ πότερον, ὦ Εὐθυδημε, ἐμὸς μόνον
c. ἐστὶ πατὴρ, ἢ καὶ τῶν ἄλλων ἀνθρώπων; Καὶ τῶν ἄλλων, ἔφη. ἢ οἴει τὸν αὐτὸν, πατέρα ὄντα, οὐ πατέρα εἶναι; Ὥμην ἔγωγε, ἔφη ὁ Κτήσιππος. Τι δέ; ἦ δ' ὅς, χρυσὸν ὄντα, μὴ χρυσὸν εἶναι; ἢ ἄνθρωπον ὄντα, μὴ ἄνθρωπον; Μὴ γὰρ, ἔφη ὁ Κτήσιππος, ὦ Εὐθύδημε, τὸ λεγόμενον, οὐ λίνον λίνῳ συνάπτεις. δεινὸν γὰρ λέγεις πρᾶγμα, εἰ ὁ σὸς πατὴρ, πάντων ἐστὶ πατήρ. Ἀλλ' ἔξιν, ἔφη. Πότερον ἀνθρώπων; ἦ δ' ὅς ὁ Κτήσιππος, ἢ καὶ ἵππων, ἢ καὶ τῶν ἄλλων πάντων ζώων;
d. Πάντων, ἔφη. Ἦ καὶ μήτηρ, ἡ μήτηρ; Καὶ ἡ μήτηρ γε. Καὶ τῶν ἐχίνων ἄρα, ἔφη, ἡ σὴ μήτηρ μήτηρ ἐστὶ τῶν θαλαττίων. Καὶ ἡ σή γ', ἔφη. Καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν κωβιῶν, καὶ κυναρίων καὶ χοιριδίων. Καὶ γὰρ σὺ, ἔφη. Καὶ πρὸς ἄρα σοὶ

ter, non est pater. Quapropter sine patre es, o Socrates. Sermonem vero susciptens Ctesippus intulit, At vestro patri non eadem acciderunt: & alius est quam pater meus? Longe abest, Euthydemus ait. Num idem? Idem sane. Non consentiem. Sed utrum meus, Euthydeme, pater est dumtaxat, an & ceterorum hominum? Et ceterorum insuper. aut putas eundem hominem patrem existentem non esse patrem? Putaram equidem, Ctesippus inquit. An & aurum, inquit, aurum existens, non esse aurum? & hominem existentem hominem non esse? Tum Ctesippus, Non, ut fertur, Euthydeme, lino linum connectis. rem enim gravem dicis, si pater tuus omnium pater est. Est tamen, inquit. Utrum hominum dumtaxat, inquit Ctesippus, an equorum etiam, ceterorumque animalium omnium? Omnium prorsus. An & mater tua, mater omnium? Et mater. Ergo tua mater echinorum marinorum mater est. Et tua, inquit. Et tu rursus frater es gobiorum, catulorum, & porcellorum. Et tu, inquit. Quin etiam tibi pater est canis. Et tibi

πατήρ ἐστι καὶ κύων. Καὶ γὰρ σοὶ, ἔφη. Αὐτίκα δέ γε, ἦ δ' ὃς ὁ Διονυσόδωρος, ἂν μοι ἀποκρίνῃ, ὦ Κτήσιππε, ὁμολογήσεις ταῦτα. εἰπὲ γάρ μοι, ἔστι σοι κύων; Καὶ μάλα πονηρὸς, ἔφη ὁ Κτήσιππος. Ἔστιν οὖν αὐτῷ κυνίδια; Καὶ μάλ', ἔφη, ἕτερα τοιαῦτα. Οὐκοῦν πατήρ ἐστιν αὐτῶν ὁ κύων. Ἐγω- e.
γέ τοι εἶδον, ἔφη, αὐτὸν ὀχεύοντα τὴν κυνα. Τί οὖν; οὐ σός ἐστιν ὁ κύων; Πάνυγε, ἔφη. Οὐκοῦν πατὴρ ὢν, σός ἐστιν. ὥστε σὸς πατὴρ γίγνεται ὁ κυων, καὶ σὺ κυναρίων ἀδελφός. Καὶ αὖθις ταχὺ ὑπολαβὼν ὁ Διονυσόδωρος, ἵνα μὴ πρότερόν τι εἴπῃ ὁ Κτήσιππος, Καὶ ἔτι γέ μοι μικρὸν, ἔφη, ἀπόκριναι· τύπτεις τὸν κύνα τοῦτον; Καὶ ὁ Κτήσιππος γελάσας, Νὴ τοὺς θεούς, ἔφη. οὐ γὰρ δύναμαί σε. Οὐκοῦν τὸν σαυτοῦ πατέρα, ἔφη, τύπτεις. Πολὺ μέντοι, ἔφη, δικαιότερον τὸν ὑμετέρον πατέρα p.
τύπτοιμι, ὅτι μαθὼν σοφοὺς υἱεῖς οὕτως ἔφυσεν. ἀλλ' ἤ που, 299
ὦ Εὐθύδημε, ἔφη ὁ Κτήσιππος, πόλλ' ἀγαθὰ ἀπὸ τῆς ὑμετέρας σοφίας ταύτης ἀπολέλαυκεν ὁ πατὴρ ὁ ὑμέτερός τε καὶ ὁ τῶν κυνιδίων. Ἀλλ' οὐδὲν δεῖται πολλῶν ἀγαθῶν, ὦ Κτήσιππε, οὔτ' ἐκεῖνος, οὔτε σύ. Οὐδὲ σὺ, ἦ δ' ὃς, ὦ Εὐθύδημε,

insuper. Hic Dionysodorus, Si mihi respondere, Ctesippe, volueris, faciam ut ista concedas. dic age, est tibi canis? Et malus admodum canis, Ctesippus ait. Habet catulos? Tales habet multos. An non illorum pater est canis? Prorsus. vidi namque illum cum cane matre coëuntem. Nonne tuus est canis? Est. Nonne igitur pater existens, tuus est? quare tuus pater fit canis, tuque catulorum frater. Sed ne quid Ctesippus prius obiiceret, repente adiecit Dionysodorus: Paulum quid ultra responde. Canem hunc verberas? Arridens Ctesippus ait, verbero. te enim nequeo. An non igitur tuum patrem verberas? Longe, respondit, iustius esset, ut patrem vestrum verberarem, qui disciplinam quandam adeptus, adeo sapientes filios genuit. Sed numquid, o Euthydeme, multa bona ex vestra sapientia vester & catulorum pater est consecutus? Neque ille bonis multis indiget, o Ctesippe, neque tu. Neque tu etiam, Euthydeme, neque alius quisquam hominum, inquit.

αὐτός. Οὐδὲ ἄλλός γε οὐδεὶς ἀνθρώπων. εἰπὲ γάρ μοι, ὦ Κτήσιππε, εἰ ἀγαθὸν νομίζεις εἶναι ἀσθενοῦντι φάρμακον πιεῖν,
b. ἢ οὐκ ἀγαθὸν εἶναί σοι δοκεῖ, ὅταν δέηται· ἢ εἰς πόλεμον ὅταν ἴῃ, ὅπλα ἔχοντα μᾶλλον ἰέναι, ἢ ἄνοπλον. Ἔμοιγε, ἔφη. καίτοι οἶμαί τι σὲ τῶν καλῶν ἐρεῖν. Σὺ ἄρισα εἶσῃ, ἔφη· ἀλλ' ἀποκρίνου. ἐπειδὴ γὰρ ὡμολόγεις ἀγαθὸν εἶναι, φάρμακον, ὅταν δέῃ, πίνειν ἀνθρώπῳ, ἄλλοτι τοῦτο ἀγαθὸν ὡς πλεῖστον δεῖ πίνειν, καὶ καλῶς ἐκεῖ ἕξει, ἐάν τις αὐτὸ τρίψας, ἐγκεράσῃ ἑλλεβόρου ἅμαξαν; Καὶ ὁ Κτήσιππος εἶπε, Πάνυγε
c. σφόδρα, ὦ Εὐθύδημε, ἐὰν ᾖ γε ὁ πίνων ὁ σὸς ἀνδριὰς ὁ ἐν Δελφοῖς. Οὐκοῦν, ἔφη, καὶ ἐν τῷ πολέμῳ ἐπειδὴ ἀγαθόν ἐστιν ὅπλα ἔχειν, ὡς πλεῖστα δεῖ ἔχειν δόρατά τε καὶ ἀσπίδας, ἐπειδή περ ἀγαθόν ἐστι; Μάλα δή που, ἔφη ὁ Κτήσιππος. σὺ δ' οὐκ οἴει, ὦ Εὐθύδημε, ἀλλὰ μίαν, καὶ ἓν δόρυ; Ἔγωγε. Ἦ καὶ τὸν Γηρυόνην ἂν, ἔφη, καὶ τὸν Βριάρεων οὕτω σὺ ὁπλίσαις; ἐγὼ δὲ ᾠμην σε δεινότερον εἶναι, ἅτε ὁπλομάχην ὄντα,

Dic etenim, Cteſippe, mihi, utrum bonum eſſe cenſeas vel aegrotanti pharmacum bibere, quando indiget, an non? vel homini pugnaturo bonum eſſe ut armatus prodeat, an inermis? Arbitror equidem, inquit. nempe exſpecto aliquid abs te egregium. Ipſe videbis optime, inquit. Verum reſponde, poſtquam confeſſus es bonum eſſe, quando res poſtulat, pharmacum bibere, numquid hoc bonum quam plurimum oportet bibere? optimumque erit, ſi quis terat & infundat poculo hellebori tantum, quantum curru aliquo vehitur? Prorſus ita, Cteſippus ait, ſi tantus ſit qui bibiturus eſt, quanta eſt ſtatua Delphica. Nonne ſimiliter & in bello, inquit, ſi bonum eſt armis indui, plurima arma habenda ſunt, iaculorumque & clypeorum circumferenda eſt ſarcina? quandoquidem id bonum eſt. Et maxime quidem, Cteſippus ait. Tu vero non putas, Euthydeme, ſed unum dumtaxat iaculum eſſe ferendum? Equidem, inquit. Ita Geryonem, inquit, Briareumque armares? ego autem putavi robuſtiorem te eſſe, ſociumque ſimiliter iſtum, utpote viros armigeros. Euthydemus quidem

καὶ τόνδε τὸν ἑταῖρον. Καὶ ὁ μὲν Εὐθυδημος ἐσίγησεν· ὁ δὲ
Διονυσόδωρος πρὸς τὰ πρότερον ἀποκεκριμένα τῷ Κτησίππῳ d.
ἤρετο, Οὐκοῦν καὶ χρυσίον, ἦ δ' ὅς, ἀγαθὸν δοκεῖ σοι εἶναι
ἔχειν; Πάνυ· καὶ ταῦτά γε, πολύ, ἔφη ὁ Κτήσιππος. Τί οὖν;
ἀγαθὸν σὺ δοκεῖ σοι χρήματα ἀεί τ' ἔχειν καὶ πανταχοῦ;
Σφόδρα, ἔφη. Οὐκοῦν καὶ τὸ χρυσίον ἀγαθὸν ὁμολογεῖς εἶναι;
Ὡμολογήκαμεν οὖν, ἦ δ' ὅς. Οὐκοῦν ἀεὶ δεῖ αὐτὸ ἔχειν, καὶ
πανταχοῦ, καὶ ὡς μάλιστα ἐν ἑαυτῷ; καὶ εἴη ἂν εὐδαιμονέ-
στατος, εἰ ἔχοι χρυσίου μὲν τρία τάλαντα ἐν τῇ γαστρὶ, τάλαν- e.
τον δ' ἐν τῷ κρανίῳ, στατῆρα δὲ χρυσοῦ ἐν ἑκατέρῳ τῷ ὀφθαλ-
μῷ; Φασί γε οὖν, ὦ Εὐθύδημε, ἔφη ὁ Κτήσιππος, τούτους
εὐδαιμονεστάτους εἶναι Σκυθῶν καὶ ἀρίστους ἀνδρας, οἳ χρυσίον
τε ἐν τοῖς κρανίοις ἔχουσι πολὺ τοῖς ἑαυτῶν, ὥσπερ σὺ νῦν δὴ
ἔλεγες τὸν κύνα τὸν πατέρα· καὶ ὃ θαυμασιώτερόν γε ἔτι, ὅτι
καὶ πίνουσιν ἐκ τῶν ἑαυτῶν κρανίων κεχρυσωμένων, καὶ ταῦ-
τα ἐντὸς καθορῶσι, τὴν ἑαυτῶν κορυφὴν ἐν ταῖς χερσὶν ἔχον-
τες. Πότερον δὲ ὁρῶσιν, ἔφη ὁ Εὐθύδημος, καὶ Σκύθαι τε καὶ p.
οἱ ἄλλοι ἄνθρωποι τὰ δυνατὰ ὁρᾶν, ἢ τὰ ἀδύνατα; Τὰ δυ- 300
a.

tacuit. Dionysodorus autem adversus ea quae primum Ctesippus responderat, intulit: Bonum tibi esse videtur aurum habere? Valde quidem, respondit Ctesippus. An non & habere pecunias semper, atque ubique? Maxime, inquit. Nonne bonum esse aurum confiteris? Confessi iam sumus. Nonne semper ipsum habere, & ubique oportet, & in seipso quam maxime? & fuerit beatissimus, qui tria auri talenta in ventre habeat, talentum unum sub capitis osse, staterem autem, id est nummum quendam, & pondus auri in utroque oculo. Ferunt quidem, o Euthydeme, inquit Ctesippus, apud Scythas eos felicissimos optimosque viros esse, qui in sui capitis ossibus aurum multum continent, quemadmodum tu paulo ante canem dicebas patrem: quodque magis est mirum, suis ex capitibus deauratis bibunt, & haec introspiciunt, verticem frontemque suam manibus attollentes. Ad haec Euthydemus, Utrum Ctesippe vident & Scythae, & ceteri homines, quae possunt vi-

νατὰ δή που. Οὐκοῦν καὶ σὺ, ἔφη, κἀγώ. ὁρᾷς οὖν τὰ ἡμέτερα ἱμάτια; Ναί. Δυνατὰ οὖν ὁρᾶν ἐσὶ ταῦτα. Ὑπερφυῶς, ἔφη ὁ Κτήσιππος. Τί δέ; ἦ δ' ὅς. Μηδέν. Σὺ δ' ἴσως οὐκ οἴει ὁρᾶν αὐτά· οὕτως ἡδὺς εἶ. Ἀλλά μοι δοκεῖς, Εὐθύδημε, οὐ καθεύδων ἐπικεκοιμῆσθαι, καὶ οἷόν τε λέγοντα μηδὲν λέγειν,
b. καὶ σὺ τοῦτο ποιεῖν. Ἦ γὰρ οὐχ οἷόν τε, ἔφη ὁ Διονυσόδωρος, σιγῶντα λέγειν; Οὐδ' ὁπωστιοῦν, ἦ δ' ὃς ὁ Κτήσιππος. Ἆρ' οὐδὲ λέγοντα σιγᾶν; Ἔτι ἧττον, ἔφη. Ὅταν οὖν λίθους λέγῃς, καὶ ξύλα, καὶ σιδήρια, οὐ σιγῶντα λέγεις; Οὔκουν, εἴγε ἐγὼ, ἔφη, παρέρχομαι ἐν τοῖς χαλκείοις· ἀλλὰ φθεγγόμενα καὶ βοῶντα μέγιστον τὰ σιδήρια λέγεται ἐάν τις ἅψηται. ὥστε τοῦτο μὲν ὑπὸ σοφίας ἔλαθες οὐδὲν εἰπών. ἀλλ' ἔτι μοι τὸ ἕτερον ἐπιδείξατον, ὅπως οὗ ἐσι λέγοντα σι-
c. γᾶν. Καί μοι ἐδόκει ὑπεραγωνιᾶν ὁ Κτήσιππος, διὰ τὰ παιδικά. Ὅταν σιγᾷς, ἔφη ὁ Εὐθύδημος, οὐ πάντα σιγᾷς; Ἔγωγε, ἦ δ' ὅς. Οὐκοῦν καὶ τὰ λέγοντα σιγᾷς, εἴπερ τῶν

dere, vel quae non poſſunt? Quae poſſunt ſane. Nonne & tu? Et ego ſimiliter. Viden' noſtras veſtes? Video. Poſſunt igitur hae videre? Mirifice, Cteſippus ait. Quid porro? inquit. Nihil. Ipſe vero non putas has videre? uſque adeo iucundus es vir. Videris mihi, Euthydeme, quodammodo extra ſomnum obdormiſſe, poſſeque te puto dicentem nihil dicere. Et tu hoc facere videris. Numquid impoſſibile eſt, Dionyſodorus ait, tacentem dicere? Impoſſibile, Cteſippus inquit. Dicentem vero tacere? Poſſibile multo minus. Quando igitur lapidem dicis, nonne tacentem dicis? & quando lignum & ferrum, ſimiliter? Haud ſilere tibi ferrea concedam, Cteſippus ait. nam ſi quis pulſet, ſonare illa quidem, & reboare dicuntur. Quare quam nihil dicas propter ſapientiam, hic non ſatis animadvertiſti. Sed quod reſtat, oſtendite, poſſibile videlicet eſſe, dicentem tacere. Certe mihi viſus eſt tunc vehementer Cteſippus propter amicum contendere. Quando ſiles, inquit Euthydemus, nonne omnia ſiles? Equidem. Nonne & rem quamlibet dicentem ſiles? ſiquidem illa quae di-

ἁπάντων ἐστὶ τὰ λέγοντα. Τί δέ; ἔφη ὁ Κτήσιππος, οὐ σιγᾷ πάντα; Οὐ δήπου, ἔφη ὁ Εὐθύδημος. Ἀλλ' ἆρα, ὦ βέλτιστε, λέγει τὰ πάντα; Τά γε δή που λέγοντα· ἀλλὰ, ἦ δ' ὅς, οὐ τοῦτο ἐρωτῶ· ἀλλὰ, τὰ πάντα σιγᾷ, ἢ λέγει; Οὐδέτερα, καὶ ἀμφότερα, ἔφη ὑφαρπάσας ὁ Διονυσόδωρος. εὖ γὰρ οἶδα d. ὅτι τῇ ἀποκρίσει οὐχ ἕξεις ὅ, τι χρῇ. Καὶ ὁ Κτήσιππος, ὥσπερ εἰώθει, μέγα πάνυ ἀνακαγχάσας, Ὦ Εὐθύδημε, ἔφη, ὁ ἀδελφός σου ἐξημφοτέρικε τὸν λόγον, καὶ ἀπόλωλέ τε καὶ ἥττηται. Καὶ ὁ Κλεινίας πάνυ ἥσθη καὶ ἐγέλασεν· ὥστε ὁ Κτήσιππος ἐγένετο πλείων ἢ δεκαπλάσιος. ὁ δ' ἐδόκει μοι, ἅτε πανοῦργος ὢν ὁ Κτήσιππος, παρ' αὐτῶν τούτων αὐτὰ ταῦτα παρηκηκόει. οὐ γάρ ἐστιν ἄλλων τοιαύτη σοφία τῶν νῦν ἀνθρώπων. Κἀγὼ εἶπον, Τί γελᾷς, ὦ Κλεινία, ἐπὶ σπου- e. δαίοις οὕτω πράγμασι καὶ καλοῖς; Σὺ γὰρ ἦθη τί πώποτε εἶδες, ὦ Σώκρατες, καλὸν πρᾶγμα; ἔφη ὁ Διονυσόδωρος. Ἔγωγε, ἔφην, καὶ πολλά γε, ὦ Διονυσόδωρε. Ἆρα ἕτερα ὄντα τοῦ καλοῦ; ἔφη, ἢ ταυτὰ τῷ καλῷ; Κἀγὼ ἐν παντὶ

cunt, in numero omnium computantur. Quid vero, interrogavit Cteſippus, non ſilent omnia? Non, ait Euthydemus. An loquuntur omnia, vir optime? Immo certe, quae loquuntur. Non iſtud quaerebam, inquit, ſed utrum omnia ſileant vel loquantur. Tunc ſubripiens ſermonem Dionyſodorus ait, Neutra & utraque. certe enim ſcio, te quid huic reſponſioni obiicias, ignoraturum. Statim Cteſippus, ut ſolet, effuſus in riſum clamavit, O Euthydeme, frater tuus ſermonem in utramque partem tranſtulit, & perdidit, & victus eſt. Clinias quoque admodum delectatus arriſit: adeo ut Cteſippus decuplo amplior redderetur. Viſus autem mihi eſt Cteſippus, utpote veterator, haec ipſa illis per aſtutiam extorſiſſe. neque enim ſapientia talis apud alios eſt noſtri temporis homines. Et ego dicebam, quid rides, o Clinia, in rebus tam ſeriis, tamque pulchris? Tu vero, o Socrates, inquit Dionyſodorus, vidiſtine unquam tam pulchram rem? Multas equidem, inquam, o Dionyſodore. Numquid alias, inquit, quam ipſum pulchrum? an easdem? Ego vero paſſim haeſi-

p. ἐγενόμην ὑπὸ ἀπορίας. καὶ ἠγούμην δίκαια πεπονθέναι ὅτι
301 a. ἔγρυξα· ὅμως δὲ ἕτερα ἔφην αὐτοῦ γε τοῦ καλοῦ. πάρεσι μέντοι ἑκάστῳ αὐτῶν κάλλός τι. Ἐὰν οὖν, ἔφη, παραγένηται σοι βοῦς, βοῦς εἶ· καὶ ὅτι νῦν ἐγώ σοι πάρειμι, Διονυσόδωρος εἶ. Εὐφήμει τοῦτό γε, ἦν δ' ἐγώ. Ἀλλὰ τίνα τρόπον, ἔφη, ἑτέρου ἑτέρῳ παραγενομένου, τὸ ἕτερον, ἕτερον ἂν εἴη;
b. Ἆρα τοῦτο, ἔφην ἐγὼ, ἀπορεῖς; ἤδη δὲ τοῖν ἀνδροῖν τὴν σοφίαν ἐπεχείρουν μιμεῖσθαι, ἅτε ἐπιθυμῶν αὐτῆς. Πῶς γὰρ οὐκ ἀπορῶ, ἔφη, καὶ ἐγὼ καὶ οἱ ἄλλοι ἅπαντες ἄνθρωποι ὃ μὴ ἐσι; Τί λέγεις, ἦν δ' ἐγὼ, ὦ Διονυσόδωρε; οὐ τὸ καλὸν, καλόν ἐσι; καὶ τὸ αἰσχρὸν, αἰσχρόν; Ἐὰν ἔμοιγε, ἔφη, δοκῇ. Οὐκοῦν δοκεῖ; Πάνυγε, ἔφη. Οὐκοῦν καὶ τὸ ταυτὸν, ταυτόν· καὶ τὸ ἕτερον, ἕτερον. οὐ γὰρ δή που τόγε ἕτερον, ταυτόν. Ἀλλ' ἔγωγε οὐδ' ἂν παῖδα ᾠμην τοῦτο
c. ἀπορῆσαι ὡς οὐ τὸ ἕτερον, ἑτερόν ἐσιν. Ἀλλ', ὦ Διονυσόδωρε, τοῦτο μὲν ἐκὼν παρῆκας· ἔπειτα ἀλλά μοι δοκεῖτε ὥσπερ οἱ δημιουργοὶ, οἷς ἔκαστα προσήκει ἀπεργάζεσθαι, καὶ

tavi: nec iniuria me id perpeſſum fuiſſe ſum arbitratus, quippe qui tacere diutius non potuerim: reſpondi tamen, alias eſſe quam ipſum pulchrum, pulchritudinem tamen ſingulis quandam adeſſe. Si tibi adſit bos, inquit, numquid ipſe bos eris? & quia ego tibi nunc adſum, Dionyſodorus es? Bona, inquam, verba quaeſo. Sed ille, Quo pacto alterum adeſt alteri, cum alterum ſit, & alterum? Numquid tu, inquam, de hoc dubitas? Nempe iam illorum imitari ſapientiam contendebam, utpote cupiditate illius accenſus. Cur non dubitem, inquit, & ego, & ceteri omnes, de eo quod nequaquam exiſtit? Quid ais, inquam, Dionyſodore? nonne pulchrum pulchrum eſt, & turpe turpe? Si mihi videatur, inquit. Nonne videtur? Prorſus, inquit. Nonne & idem idem eſt, inquam, & alterum ſimiliter alterum? non tamen quod eſt alterum, idem? At ego nec puerum quidem ſuſpicari hoc arbitrabar, quin quod alterum eſt, ſit alterum. Verum, o Dionyſodore, ſponte id omiſiſti. videmini autem mihi tanquam artifices, quibus convenit

ὑμεῖς τὸ διαλέγεσθαι παγκάλως ἀπεργάζεσθαι. Οἶσθα οὖν ὅ, τι προσήκει ἑκάστοις τῶν δημιουργῶν πρῶτον τίνα χαλκεύειν προσήκει; Οἶδα ἔγωγε ὅτι χαλκέα. Τί δὲ κεραμεύειν; Κεραμέα. Τί δὲ σφάττειν τε καὶ ἐκδέρειν, καὶ τὰ μικρὰ κρέα κατακόψαντα ἕψεῖν καὶ ὀπτᾶν; Μάγειρον, ἦν δ' ἐγώ. d. Οὐκοῦν ἐάν τις, ἔφη, τὰ προσήκοντα πράττῃ, ὀρθῶς πράξει. Μάλιστα. Προσήκει δέ γε, ὡς φῂς, τὸν μάγειρον κατακόπτειν καὶ ἐκδέρειν. ὡμολόγησας ταῦτα, ἢ οὔ; Ὡμολόγησα, ἔφην, ἀλλὰ συγγνώμην μοι ἔχε. Δῆλον τοίνυν, ἦ δ' ὅς, ὅτι ἄν τις σφάξας τὸν μάγειρον καὶ κατακόψας ἑψήσῃ καὶ ὀπτήσῃ, τὰ προσήκοντα ποιήσει καὶ ἐὰν τὸν χαλκέα τις αὐτὸν χαλκεύῃ, καὶ τὸν κεραμέα κεραμεύῃ, καὶ οὗτος τὰ προσήκοντα πράξει. Ὦ Πόσειδον, ἦν δ' ἐγὼ, ἤδη κολο- e. φῶνα ἐπιτίθης τῇ σοφίᾳ. ἆρά μοι ποτὲ αὕτη παραγενήσεται ὥστέ μοι οἰκεία γενέσθαι; Ἐπιγνοίης ἂν αὐτὴν, ὦ Σώκρατες, ἔφη, οἰκείαν γενομένην; Ἐὰν σύ γε βούλῃ, ἔφην ἐγὼ, δηλονότι. Τί δέ; ἦ δ' ὅς, τὰ σαυτοῦ οἴει γιγνώσκειν; Εἰ μή

peragere ſingula, diſputandi rationem decore tranſigere atque tradere. Noſtin', inquit, quid ſingulis opificibus peragere conveniat? principio quidem ſcis quem deceat aere cudere? Fabrum, inquam, aerarium. Quem vero luto fingere? Figulum. Quem rurſus iugulare, atque excoriare, & in fruſta inciſas carnes aſſare, vel elixare? Coquum. Nonne quisquis convenientia facit, recte facit? Maxime, inquam. Convenit autem, ut ais, coquum, inquit, concidere & excoriare. conceſſiſti haec, necne? Conceſſi, inquam: ſed ignoſce, precor. Conſtat igitur, inquit, ſi quis iugulans & incidens coquum elixet aſſetve, convenientia facere. quin etiam ſi quis fabrum aerarium aere cudat, & figulum fingat, decentia ſimiliter operabitur. O Neptune, inquam, iam ſapientiae illi veſtrae colophonem impoſuiſti. numquid iſta mihi quandoque ſic aderit ut propria ſiat? Cognoſceresne, inquit, ipſam, o Socrates, propriam iam effectam? Si ipſe velis, inquam, ego quidem. Quid porro, inquit, tua putas cognoſcere? Equidem, inquam, niſi forte tu

τι σὺ ἄλλο λέγεις. ἀπὸ σοῦ γὰρ δεῖ ἄρχεσθαι, τελευτᾶν δ' εἰς Εὐθύδημον τόνδε. Ἆρ' οὖν, ἔφη, ταῦτα ἡγῇ σὰ εἶναι ὧν ἂν ἄρξῃς, καὶ ἐξῇ σοι αὐτοῖς χρῆσθαι ὅ, τι ἂν βούλῃ; οἷον,
p. βοῦς καὶ πρόβατα, ἆρ' ἂν ἡγοῖο ταῦτα σὰ εἶναι, ἃ σοι
302 ἐξείη καὶ ἀποδόσθαι, καὶ δοῦναι, καὶ θῦσαι ὅτῳ βούλει
a. θεῶν; ἃ δ' ἂν μὴ οὕτως ἔχῃ, οὐ σά; Κἀγὼ (ᾠδειν γὰρ ὅτι ἐξ αὐτῶν καλόν τι ἀνακύψοιτο τῶν ἐρωτημάτων, καὶ ἅμα βουλόμενος ὀτιτάχις ἀκοῦσαι) Πάνυ μὲν οὖν, ἔφην, οὕτως ἔχει· τὰ τοιαῦτα ἐστὶ μόνα ἐμά. Τί δέ; ζῶα, ἔφη, οὐ ταῦτα καλεῖς ἃ ἂν ψυχὴν ἔχῃ; Ναί, ἔφην. Ὁμολογεῖς
b. οὖν τῶν ζώων ταῦτα μόνα εἶναι σὰ, περὶ ἃ ἂν σοι ἐξουσία ᾖ πάντα ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐγὼ ἔλεγον; Ὁμολογῶ. Καὶ ὃς, εἰρωνικῶς πάνυ ἐπισχών, ὡς τι μέγα σκοπούμενος, Εἰπέ μοι, ἔφη, ὦ Σώκρατες, ἔστι σοι Ζεὺς πατρῷος; Καὶ ἐγὼ ὑποπτεύσας ἥξειν τὸν λόγον ἧπερ ἐτελεύτησεν, ἀπορόν τινα προφὴν ἐφευγόν τε καὶ ἐσρεφόμην ἤδη, ὥσπερ ἐν δικτύῳ εἰλημμένος, Οὐκ ἔστιν, ἦν δ' ἐγὼ, ὦ Διονυσόδωρε. Παλαί-

aliud dixeris. abs-te namque oportet incipere, in hunc autem Euthydemum desinere. An non tua illa esse putas, inquit, quorum es dominus, tibique uti arbitratu tuo licet, ut boves & oves? haecne tua existimas, quae vendere potes, atque largiri, & cuivis deorum vovere? quae vero non potes, non tua? Ego vero, arbitratus praeclaram aliquam inde quaestionem exoriturum, & audiendi aviditate protinus inflammatus, Prorsus ita est, inquam. talia nempe sola mea sunt. Numquid animalia, inquit, nominas illa quae animam habent? Illa ipsa, inquam. Fateris igitur ex animalibus illa dumtaxat esse tua, circa quae potes haec omnia facere, quae modo dicebam? Fateor, inquam. Hic ille ironice admodum seipsum continuit, quasi magnum quiddam contemplaturus: deinde ait, Dic age mihi, o Socrates, estne tibi Iupiter patrius? Atqui ego suspicatus eo rediturum esse sermonem quo devenit, & per ambiguum quoddam diverticulum secedens, rete, quo velut implicitus iam eram, effugi, respondique, Non est, o Dionysodore. Miser,

πωρος ἄρα τὶς σύ γε ἄνθρωπος εἶ· καὶ οὐδὲ Ἀθηναῖος, ᾧ μήτε θεοὶ πατρῷοί εἰσιν, μήτε ἱερὰ, μήτε ἄλλο μηδὲν καλὸν c.
καὶ ἀγαθόν. Ἔα, ἦν δ' ἐγὼ, ὦ Διονυσόδωρε, εὐφήμει τε καὶ μὴ χαλεπῶς με προδίδασκε. ἔστι γὰρ ἔμοιγε καὶ βωμοὶ, καὶ ἱερὰ οἰκεῖα καὶ πατρῷα, καὶ τἄλλα ὅσά περ τοῖς ἄλλοις Ἀθηναίοις τῶν τοιούτων. Εἶτα τοῖς ἄλλοις, ἔφη, Ἀθηναίοις οὐκ ἔστι Ζεὺς ὁ πατρῷος; Οὐκ ἔστιν, ἦν δ' ἐγὼ, αὕτη ἡ ἐπωνυμία Ἰώνων οὐδενὶ, οὐδ' ὅσοι ἐκ τῆς δε πόλεως ἀπῳκισμένοι εἰσὶν, οὐδ' ἡμῖν· ἀλλὰ Ἀπόλλων πατρῷος, διὰ τὴν d.
τοῦ Ἴωνος γένεσιν. Ζεὺς δ' ἡμῖν πατρῷος μὲν οὐ καλεῖται, ἕρκειος δὲ καὶ φράτριος, καὶ Ἀθηνᾶ φρατρία. Ἀλλ' ἀρκεῖ γε, ἔφη ὁ Διονυσόδωρος· ἔστι γάρ σοι, ὡς ἔοικεν, Ἀπόλλων τε καὶ Ζεὺς καὶ Ἀθηνᾶ. Πάνυ, ἦν δ' ἐγώ. Οὐκοῦν καὶ οὗτοι σοι θεοὶ ἂν εἶεν, ἔφη. Πρόγονοι, ἦν δ' ἐγὼ, καὶ δεσπόται. Ἀλλ' οὖν σοί γε, ἔφη. ἦ οὐ σοὺς ὡμολόγηκας αὐτοὺς εἶναι; Ὡμολόγηκα, ἔφην. τί γὰρ πάθω; Οὐκοῦν, ἔφη, καὶ ζῶά εἰσιν οὗτοι οἱ θεοί. ὡμολόγηκας γὰρ, ὅσα ψυχὴν ἔχει, e.
ζῶα εἶναι. ἢ οὗτοι οἱ θεοὶ οὐκ ἔχουσι ψυχήν; Ἔχουσιν, ἦν

inquit, homo es, neque Athenienſis, cui neque dii patrii ſunt, neque ſacra, neque aliud quidquam praeclarum atque magnificum. Mitte, inquam, iſta Dionyſodore, ne male omineris, neque acriter erudias. Sunt enim mihi & arae, & ſacra domeſtica patriaque, & alia, quaecunque id genus Athenienſibus adſunt. Ceteris, inquit, Athenienſibus eſt patrius Iupiter? Non eſt, inquam, apud Ionas talis cognatio, neque apud eos, qui hac ex urbe manarunt, neque apud nos: ſed Apollo patrius, propter Ionis genituram. Iupiter autem nobis patrius non vocatur, protector urbis tamen & curator tribus eſt dictus, & tribus curatrix Minerva. Sat eſt, inquit Dionyſodorus. eſt enim tibi, ut videtur, Apollo, Iupiter, & Minerva. Omnino. An non tui iſti erunt dii? progenitores videlicet, atque domini? Nonne tui? An non tuos eſſe confeſſus es? Confeſſus ſum, inquam. quid tum? Nonne animalia iſti dii ſunt, inquit? conceſſiſti enim quaecunque animam habent, animalia eſſe. iſtis

δ' ἐγώ. Οὐκοῦν καὶ ζῶά εἰσιν; Ζῶα, ἔφην. Τῶν δέ γε ζώων, ἔφη, ὡμολόγηκας ταῦτ' εἶναι σὰ, ὅσα ἂν σοι ἐξῇ καὶ δοῦναι, καὶ ἀποδόσθαι, καὶ θῦσαι ἂν θεῷ ὅτῳ ἂν βουλῇ. Ὡμολόγηκα, ἔφην. οὐκ ἔστι γάρ μοι ἀνάδυσις, ὦ Εὐθύδημε. Ἴθι δή μοι εὐθύς, ἦ δ' ὅς, εἰπὲ, ἐπειδὴ σὸν ὁμολογεῖς εἶναι τὸν Δία, καὶ τοὺς ἄλλους θεούς, ἆρα ἔξεστί σοι αὐτοὺς ἀπο-
p. δόσθαι, ἢ δοῦναι, ἢ ἄλλ' ὅ, τι ἂν βούλῃ χρῆσθαι ὥσπερ τοῖς
303 a. ἄλλοις ζώοις; Ἐγὼ μὲν οὖν, ὦ Κρίτων, ὥσπερ πληγεὶς ὑπὸ τοῦ λόγου, ἄφωνος ἐκείμην· ὁ δὲ Κτήσιππός μοι ἰὼν ὡς βοηθήσων, Πύπαξ ὦ Ἡράκλεις, ἔφη, καλοῦ λόγου. Καὶ ὁ Διονυσόδωρος, Πότερον οὖν, ἔφη, ὁ Ἡρακλῆς πύπαξ ἐστὶν, ἢ ὁ πύπαξ Ἡρακλῆς; Καὶ ὁ Κτήσιππος, Ὦ Πόσειδον, ἔφη, δεινῶν λόγων. ἀφίσαμαι· ἀμάχῳ τῷ ἀνδρε. Ἐνταῦθα μέν-
b. τοι, ὦ φίλε Κρίτων, οὐδεὶς ὅστις οὐ τῶν παρόντων ὑπερεπήνεσε τὸν λόγον· καὶ τῷ ἀνδρε γελῶντε καὶ κροτοῦντε καὶ χαίροντε, ὀλίγου παρετάθησαν. ἐπὶ μὲν γὰρ τοῖς ἔμπροσθεν,

vero dii non habent animam? Habent utique, inquam. Sunt igitur animalia? Sunt certe. Ex animalibus autem illa tua esse dicebas, quorum apud te esset potestas, ut pro arbitrio venderes, largireris, diisque dicares. Recusare, Euthydeme, non possum, quin ista concesserim. Statim ille sic intulit: postquam tuum esse Iovem, tuosque esse & alios fateris deos, licetne tibi vendere illos, atque largiri, & pro libidine tua, ut animalia cetera quae tua sunt, tractare? Ego igitur, Crito, tanquam sermone percussus, obmutui. Ctesippus autem succurrere mihi conatus ait, Papae, pro Hercules, praeclarum sermonem! Ad quem Dionysodorus, Utrum Hercules papaeus est, an papaeus Hercules? Tunc Ctesippus ait, Pro Neptune, fortes durosque sermones! desisto iam, inexpugnabiles viri sunt. Hic profecto, amice Crito, nullus praesentium continere ultra se potuit, quin illorum orationem laudibus summis extolleret: & hospites illi Dionysodorus Euthydemusque risu, plausu, & laetitia exultantes gestientesque ferme resoluti sunt. In superioribus namque, dum singula proferebantur, soli eorum sectato-

ἐφ' ἑκάστοις πᾶσι παγκάλως ἐθορύβουν μόνοι οἱ τοῦ Εὐθυδήμου ἑταῖροι· ἐνταῦθα δὲ, ὀλίγου καὶ οἱ κίονες οἱ ἐν τῷ Λυκείῳ ἐθορύβησάν τ' ἐπὶ τοῖν ἀνδροῖν, καὶ ἥσθησαν. ἐγὼ μὲν οὖν καὶ αὐτὸς οὕτω διετέθην, ὥστε ὁμολογεῖν μηδένας πώποτε τῶν ἀνθρώπων ἰδεῖν οὕτω σοφούς· καὶ παντάπασι καταδουλωθεὶς c. ὑπὸ τῆς σοφίας αὐτοῖν, ἐπὶ τὸ ἐπαινεῖν τε καὶ ἐγκωμιάζειν αὐτὼ ἐτραπόμην· καὶ εἶπον, Ὦ μακάριοι σφὼ τῆς θαυμασῆς φύσεως, οἳ τοσοῦτον πρᾶγμα οὕτω ταχὺ καὶ ἐν ὀλίγῳ χρόνῳ ἐξειργάσασθον. πολλὰ μὲν οὖν καὶ ἄλλα οἱ λόγοι ὑμῶν καλὰ ἔχουσιν, ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε· ἐν δὲ τοῖς, καὶ τοῦτο μεγαλοπρεπέστερον, ὅτι τῶν πολλῶν ἀνθρώπων καὶ τῶν σεμνῶν δὴ καὶ δοκούντων τὶ εἶναι, οὐδὲν ὑμῖν μέλει, ἀλλὰ τῶν ὁμοίων ὑμῖν μόνον. ἐγὼ γὰρ εὖ οἶδα ὅτι d. τούτους τοὺς λόγους πάνυ μὲν ἂν ὀλίγοι ἀγαπῷεν ἄνθρωποι ὅμοιοι ὑμῖν· οἱ δ' ἄλλοι οὕτως ἀγνοοῦσιν αὐτούς, ὥστ' εὖ οἶδ' ὅτι αἰσχυνθεῖεν ἂν μᾶλλον ἐξελέγχοντες τοιούτοις λόγοις τοὺς ἄλλους, ἢ αὐτοὶ ἐξελεγχόμενοι. καὶ τόδε αὖ ἕτερον δημοτικόν τι καὶ πρᾷον ἐν τοῖς λόγοις, ὅτι ὅταν μὴ φῆτε

res protinus applaudebant. hic autem paene ipsae quoque Lycaei columnae conclamare, plaudere, gestireque videbantur. Ego quidem sic affectus fui, ut assererem, nullos unquam homines pari sapientia me vidisse. Atqui & illorum sapientiae penitus mancipatus, laudare illos & celebrare summopere coepi. O viri, inquam, ob miras dotes naturae beati, quippe qui rem tantam tam facile, tamque brevi tempore absolvistis! Multa quidem & alia sunt in vestris sermonibus, Euthydeme Dionysodoreque, praeclara: in quibus id praecipue magnificum est, quod nulla vobis cura est aut vulgi, aut etiam illustrium hominum, aut qui aliquo in pretio habentur; sed similium duntaxat. Equidem certo scio, paucos esse qui id genus sermonum diligant, & eos quidem vobis similes: ceteri autem sic illos ignorant spernuntque, ut erubescant vehementius, si ceteros illis convincant, quam si ipsi ab aliis convincantur. Hoc praeterea populare & mansuetum vestri sermones habent, quod

καλὸν εἶναι μηδὲν μήτε ἀγαθὸν πρᾶγμα, μήτε λευκὸν, μηδ' ἄλλο τῶν τοιούτων μηδὲν, μήτε τοπαράπαν ἑτέρων ἕτερον,
e. ἀτεχνῶς μὲν τῷ ὄντι ξυῤῥάπτετε τὰ ῥήματα τῶν ἀνθρώπων, ὥσπερ καὶ φατέ· ὅτι δ' οὐ μόνον τὰ τῶν ἄλλων, ἀλλὰ δόξαιτε ἂν καὶ τὰ ὑμέτερα αὐτοὶ, τοῦτο πάνυ χαρίεν τέ ἐσι, καὶ τὸ ἐπαχθὲς τῶν λόγων ἀφαιρεῖται. τὸ δὲ δὴ μέγιστον, ὅτι ταῦτα οὕτως ἔχει ὑμῖν καὶ τεχνικῶς ἐξεύρηται, ὥστε πάνυ ὀλίγῳ χρόνῳ ὁντινοῦν ἂν μαθεῖν ἀνθρώπων. ἔγνων ἔγωγε, καὶ τῷ Κτησίππῳ τὸν νοῦν προσέχω ὡς ταχὺ ὑμᾶς
p. ἐκ τοῦ παραχρῆμα μιμεῖσθαι οἷόσ' ἦν. τούτου μὲν οὖν τοῦ
304 πράγματος σφῶϊν τὸ σοφὸν, πρὸς μὲν τὸ ταχὺ παραδιδόναι,
a. καλὸν, ἐναντίον δ' ἀνθρώπων διαλέγεσθαι, οὐκ ἐπιτήδειον. ἀλλ' ἄγε μοι πείθησθε, εὐλαβήσεσθε μὴ πολλῶν ἐναντίον λέγειν, ἵνα μὴ ταχὺ ἐκμαθόντες, ὑμῖν μὴ εἰδῶσι χάριν· ἀλλὰ μάλιςα μὲν αὐτὼ πρὸς ἀλλήλω μόνω διαλέγεσθον· εἰ δὲ μὴ, εἴπερ ἄλλου του ἐναντίον, ἐκείνου μόνου ὃς ἂν ὑμῖν διδῷ ἀργύριον. τὰ αὐτὰ δὲ ταῦτα, ἐὰν σωφρονῆτε, καὶ τοῖς μαθηταῖς

quum dicitis rem nullam bonam esse vel malam, neque albam; neque aliud quidquam talium, neque omnino aliquid ab aliis; revera, quemadmodum gloriamini, hominum ora plane obstruitis. Quia vero non aliorum tantum ora, sed vestra insuper: gratiosa res est, & sermonis odium offensionemque audientium devitatis. Maximum vero hoc est, quod haec usque adeo vobis artificiose sunt adinventa atque instituta, ut brevi cuilibet tradere valeatis. Cognovi equidem, & Ctesippo mentem adhibeo, consideroque, quam subito imitari vos coeperit. Huius rei mysterium quam ociissime docere posse praeclarum est: neque tamen operae pretium fore videtur, ut coram multis hominibus differatis: immo vero, si mihi credideritis, cavebitis prorsus, ne in multorum coetu loquamini; ne forte quamprimum ista percipientes, gratias nequaquam habeant. Ista igitur inter vos tantum invicem communicate: neque alius quisquam ea, nisi argento expositio, audiat. Idem quoque, si sapitis, vestris discipulis consuletis, ne unquam cum aliis

συμβουλεύσετε, μηδὲ ποτε μηδενὶ ἀνθρώπων διαλέγεσθαι, ἀλλ' b.
ἢ ὑμῖν τε καὶ αὐτοῖς. τὸ γὰρ σπάνιον, ὦ Εὐθύδημε, τίμιον· τὸ δὲ ὕδωρ εὐωνότατον, ἄριστον ὄν, ὡς ἔφη Πίνδαρος. ἀλλ' ἄγετε, ἦν δ' ἐγὼ, ὅπως κἀμὲ καὶ Κλεινίαν τόνδε παραδέξησθον. Ταῦτα, ὦ Κρίτων, καὶ ἄλλ' ἄττα ἔτι βραχέα διαλεχθέντες, ἀπῆμεν. σκόπει οὖν ὅπως συμφοιτήσῃς παρὰ τὼ ἄνδρε. ὡς ἐκεῖνω φατὸν οἴω τ' εἶναι διδάξαι τὸν ἐθέλοντ' ἀργύριον διδόναι· καὶ οὔτε φύσιν οὔθ' ἡλικίαν ἐξείργειν οὐδεμίαν. ὃ δὲ c.
καὶ σοι μάλιστα προσήκει ἀκοῦσαι, ὅτι οὐδὲ τοῦ χρηματίζεσθαι φατὸν διακωλύειν οὐδὲν, μὴ οὐ παραλαβεῖν ὄντινοῦν εὐπετῶς τὴν σφετέραν σοφίαν. ΚΡ. Καὶ μήν, ὦ Σώκρατες, φιλήκοος μὲν ἔγωγε, καὶ ἡδέως ἄντι μάθοιμι· κινδυνεύω μέντοι κἀγὼ εἷς εἶναι τῶν οὐχ ὁμοίων Εὐθυδήμῳ, ἀλλ' ἐκείνων ὧν δὴ καὶ σὺ ἔλεγες, τῶν ἥδιον ἂν ἐξελεγχομένων ὑπὸ τῶν τοιούτων λόγων ἢ ἐξελεγχόντων. ἀτὰρ γελοῖον μέν μοι δοκεῖ d.
εἶναι τὸ νουθετεῖν σε, ὅμως δὲ ἅ γ' ἤκουον, ἐθέλω σοι ἀπαγγεῖλαι. τῶν ἀφ' ὑμῶν ἀπιόντων οἶσθ' ὅτι προσελθών τις μοὶ

quam ſecum atque vobiſcum de his loquantur. Quod enim rarum, Euthydeme, id honorandum. aqua enim viliſſimo pretio emitur, cum res ſit natura pretioſiſſima, ut ait Pindarus. Sed agite, inquam, Cliniam hunc meque ſuſcipite. Cum haec, o Crito, & alia quaedam brevia diſſeruiſſemus, abivimus. Delibera igitur, qui mecum una ad hos viros accedas. nam pollicentur omnes ſe docturos, quicunque argentum dare parati ſint: neque ingenium ullum vel aetatem excipiunt. quod vero tibi maxime audire expedit, aiunt nihil cumulandae pecuniae ſtudium prohibere, quo minus quivis ſapientiam illorum facile percipere poſſit. *Cr.* Equidem, o Socrates, audiendi cupidus ſum, & libentiſſime diſcerem. videor tamen & ipſe eorum unus eſſe, qui Euthydemi ſimiles non ſunt, ſed illorum potius, quos tu paulo ante dicebas, qui captiunculis huiuscemodi redargui malunt ab aliis, quam alios redarguere. Enimvero ridiculus eſſem, ſi admonere te pergerem: nihil tamen prohibet, quae ex iis, qui coetu ſoluto a vobis diſceſſerunt, au-

περιπατοῦντι, ἀνὴρ οἰόμενος πάνυ εἶναι σοφὸς, τούτων τὶς τῶν περὶ τοὺς λόγους τοὺς εἰς τὰ δικαστήρια δεινῶν, Ὦ Κρίτων, ἔφη, οὐδὲν ἀκροᾷ τῶνδε τῶν σοφῶν; Οὐ μὰ τὸν Δία, ἦν δ' ἐγώ. οὐ γὰρ οἷόστ' ἦν προσὰς κατακούειν, ὑπὸ τοῦ ὄχλου. Καὶ μὴν, ἔφη, ἄξιόν γ' ἦν ἀκοῦσαι. Τί; ἦν δ' ἐγώ. Ἵνα
e. ἤκουσας ἀνδρῶν διαλεγομένων, οἳ νῦν σοφώτατοί εἰσι τῶν περὶ τοὺς τοιούτους λόγους. Κἀγὼ εἶπον, Τί οὖν ἐφαίνοντό σοι; Τί δὲ ἄλλο, ἦ δ' ὅς, ἢ ἅπερ ἀεὶ ἄν τις τῶν τοιούτων ἀκούσαι ληρούντων, καὶ περὶ οὐδενὸς ἀξίων ἀναξίαν σπουδὴν ποιουμένων. οὕτωσὶ γάρ πως καὶ εἶπε τοῖς ὀνόμασι. Καὶ ἐγὼ, Ἀλλὰ μέντοι, ἔφην, χάριεν γέτοι πρᾶγμά ἐσιν ἡ φιλοσοφία. Ποῖον, ἔφη, χάριεν, ὦ μακάριε; οὐδενὸς μὲν οὖν ἄξιον.
p. ἀλλὰ καὶ εἰ νῦν παρεγένου, πάνυ ἄν σε οἶμαι αἰσχυνθῆναι
305 a. ὑπὲρ τοῦ σεαυτοῦ ἑταίρου. οὕτως ἦν ἄτοπος, ἐθέλων ἑαυτὸν παρέχειν ἀνθρώποις οἷς οὐδὲν μέλει ὅ, τι ἂν λέγωσι, παντὸς δὲ ῥήματος ἀντέχονται. καὶ οὗτοι, ὅπερ ἄρτι ἔλεγον, ἐν τοῖς κρατίσοις εἰσὶ τῶν νῦν. ἀλλὰ γὰρ, ὦ Κρίτων, ἔφη, τὸ πρᾶγ-

divi, tibi nunc referre. Deambulanti mihi obvius factus eorum quispiam, qui in iudicialibus causis excellere plurimum aestimantur: O Crito, inquit, nihil ex istis sapientibus audivisti? Nihil per Iovem, inquam. audire enim me affectantem frequens turba tumultusque prohibuit. Res tamen, inquit, auditu digna. Cur, inquam? Ut audisses eos homines disputantes, qui in hoc sermonum genere ceteris praestant. Ad hunc ego, Quid tibi visum est, inquam? Quid aliud, inquit ille, quam quae semper ex iis hominibus audiuntur, dum nugantur, ac de rebus nullius momenti indigno quodam studio invicem altercantur? Nominatim hac oratione est usus. Tunc ego: Verumtamen gratiosa res est philosophia. Quam gratiosum, inquit, o beate, quod nullius est pretii? Atqui si paulo ante interfuisses, erubuisses, ut arbitror, amici tui gratia: qui usque adeo ineptus erat, ut seipsum tradere hominibus cuperet, quibus nihil pensi est quid loquantur, sed singula captant, obiiciuntque vocabula; cum tamen illi, ut supra dicebam, ceteros tales

μα αὐτὸ καὶ οἱ ἄνθρωποι ἐπὶ τῷ πράγματι διατρίβοντες, πάνυ φαῦλοί εἰσι καὶ καταγέλαστοι. ἐμοὶ δὲ, ὦ Σώκρατες, τὸ πρᾶγμα ἐδόκει οὐκ ὀρθῶς ψέγειν οὔτ' οὖτος, οὔτ' εἴτις b. ἄλλος ψέγει. τὸ μέντοι ἐθέλειν διαλέγεσθαι τοιούτοις ἐναντίον πολλῶν ἀνθρώπων, ὀρθῶς μοι ἐδόκει μέμφεσθαι. ΣΩ. Ὦ Κρίτων, θαυμάσιοι εἰσὶν οἱ τοιοῦτοι ἄνδρες· ἀτὰρ οὔπω οἶδα ὅ, τι μέλλω ἐρεῖν. ποτέρων ἦν ὁ προσελθών σοι, καὶ μεμφόμενος τὴν φιλοσοφίαν; πότερον τῶν ἀγωνίσασθαι δεινῶν ἐν τοῖς δικαστηρίοις ῥήτωρ τις, ἢ τῶν τοὺς τοιούτους εἰσπεμπόντων, ποιητὴς λόγων οἷς οἱ ῥήτορες ἀγωνίζονται; ΚΡ. Ἥκιστα, νὴ τὸν Δία, ῥήτωρ· οὐδὲ οἶμαι πώποτ' αὐτὸν ἐπὶ c. δικαστήριον ἀναβεβηκέναι, ἀλλ' ἐπαΐειν αὐτόν φασι περὶ τοῦ πράγματος, νὴ τὸν Δία, καὶ δεινὸν εἶναι, καὶ δεινοὺς λόγους συντιθέναι. ΣΩ. Ἤδη μανθάνω περὶ τούτων· καὶ αὐτὸς νῦν δὴ ἔμελλον λέγειν. οὗτοι γάρ εἰσι μὲν, ὦ Κρίτων, οὓς ἔφη Πρόδικος μεθόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ. οἴονται δ' εἶναι πάντων σοφώτατοι ἀνθρώπων· πρὸς δὲ τῷ εἶναι, καὶ

noſtrae aetatis viros excellant. Profecto, o Crito, & ſtudium hoc viliſſimum eſt, & qui in eo verſantur, ridiculi. Mihi tamen, o Socrates, haud recte rem ipſam improbare viſus eſt ille, vel quisquis alius improbet. Quod autem in coetu multorum cum talibus viris diſputare quis ſtudeat, merito vituperaſſe ille mihi videtur. *So.* O Crito, admiratione digni ſunt hi viri. verum nondum, quod dicturus ſum, novi. Quorum ex numero erat, qui tibi obvius philoſophiam vituperabat? utrum orator quispiam ex his, qui in iudiciali concertatione valent? an ex iis, qui tales edunt conſcribuntque orationes, quibus oratores in iudicio certant? *Cr.* Minime quidem orator: neque arbitror illum in iudicio unquam oraſſe: ſed rem ipſam iudicialem optime intelligere ferunt, & elegantes orationes componere. *So.* Teneo iam. atqui & ipſe idem modo dicturus eram. Nempe hi ſunt, o Crito, quos Prodicus inter Philoſophum civilemque virum confines ſtatuit. putant hi quidem ſe eſſe omnium ſapientiſſimos, & videri praeterea tales apud quam-

δοκεῖν πάνυ παρὰ πολλοῖς. ὥστε παρὰ πᾶσιν εὐδοκιμεῖν, ἐμ-
d. ποδὼν σφίσιν εἶναι οὐδένας ἄλλους, ἢ τοὺς περὶ φιλοσοφίαν
ἀνθρώπους. ἡγοῦνται οὖν, ἐὰν τούτους εἰς δόξαν καταστήσω-
σιν μηδενὸς δοκεῖν ἀξίους εἶναι, ἀναμφισβητήτως ἤδη παρὰ
πᾶσι τὰ νικητήρια εἰς δόξαν οἴσεσθαι σοφίας πέρι. εἶναι μὲν
γὰρ τῇ ἀληθείᾳ σφᾶς σοφωτάτους· ἐν δὲ τοῖς ἰδίοις λόγοις
ὅταν ἀπολημφθῶσιν, ὑπὸ τῶν ἀμφὶ Εὐθύδημον κολούεσθαι.
σοφοὶ δὲ ἡγοῦνται εἶναι, πάνυ εἰκότως. μετρίως μὲν γὰρ φι-
λοσοφίας ἔχειν, μετρίως δὲ πολιτικῶν, πάνυ ἐξ εἰκότος λό-
e. γου. μετέχειν γὰρ ἀμφοτέρων ὅσον ἔδει, ἐκτὸς δὲ ὄντες κιν-
δύνων καὶ ἀγώνων καρποῦσθαι τὴν σοφίαν. ΚΡ. Τί οὖν; δο-
κοῦσί σοι τι, ὦ Σώκρατες, λέγειν; ΣΩ. Οὐ γάρ τοι. ΚΡ. Ἀλλ'
ὅγε λόγος ἔχει τινὰ εὐπρέπειαν τῶν ἀνδρῶν. ΣΩ. Καὶ γὰρ
ἔχει ὄντως, ὦ Κρίτων, εὐπρέπειαν μᾶλλον ἢ ἀλήθειαν. οὐ
P. γὰρ ῥᾴδιον αὐτοὺς πεῖσαι ὅτι καὶ ἀνθρώποι, καὶ τἆλλα πάν-
306 a. τα ὅσα μεταξὺ τινοῖν δυοῖν ἐστι, καὶ ἀμφοτέροιν τυγχάνει
μετέχοντα, ὅσα καὶ ἐκ κακοῦ καὶ ἀγαθοῦ, τοῦ μὲν βελτίω,

plurimos: solos autem philosophos impedimento sibi esse, quo minus ab omnibus aeque probentur. Censent itaque, si communem adversus philosophos opinionem hanc divulgent, quod nullius pretii sint, sine controversia sapientiae gloriam se apud omnes summam reportaturos. esse namque se revera sapientissimos: sed in privatis sermonibus, quum Euthydemi sectatores adversantur, impediri. Quod vero sapientes sint, ex eo consentaneum videri volunt, quod satis habeant philosophiae, satis etiam civilis peritiae, & quantum oportet sint utriusque participes, & extra turbulentos civilium negotiorum tumultus positi, sapientiae fructibus iucunde fruantur. *Cr.* Numquid dicere aliquid, o Socrates, tibi viri isti videntur? *So.* Nequaquam. *Cr.* Verumtamen horum hominum sermo habet aliquid verisimile. *So.* Habet, ut dicis, o Crito, verisimilitudinem potius, quam veritatem. Neque facile illis persuaderi potest, quod & homines, & cetera omnia, quaecunque duorum quorundam media sunt, & utrorumque partici-

τοῦ δὲ χείρω γίγνεται· ὅσα δὲ ἐκ δυοῖν ἀγαθοῖν μὴ πρὸς ταυτὸν, ἀμφοῖν χείρω, πρὸς ὃ ἂν ἑκάτερον ἦ χρησὸν ἐκείνων ἐξ ὧν συνετέθη. ὅσα δὲ ἐκ δυοῖν κακοῖν συντεθέντα μὴ πρὸς τὸ αὐτὸ ὄντοιν, ἐν τῷ μέσῳ ἐστὶ, ταῦτα μόνα βελτίω ἑκατέρου ἐκείνων ἐστὶν ὧν ἀμφοτέρων μέρος μετέχουσι. εἰ μὲν b.
οὖν ἡ φιλοσοφία ἀγαθόν ἐστι καὶ ἡ πολιτικὴ πρᾶξις, πρὸς ἄλλο δὲ ἑκάτερα, οὗτοι δ' ἀμφοτέρων μετέχοντες, τούτων ἐν μέσῳ εἰσὶν, οὐδὲν λέγουσιν· ἀμφοτέρων γάρ εἰσι φαυλότεροι· εἰ δὲ ἀγαθὸν καὶ κακὸν, τῶν μὲν βελτίους, τῶν δὲ χείρους. εἰ δὲ κακὰ ἀμφότερα, οὕτως ἂν τι λέγοιεν ἀληθὲς, ἄλλως δ' οὐδαμῶς. οὐκ ἂν οὖν οἶμαι αὐτοὺς ὁμολογῆσαι c.
οὔτε κακὼ αὐτὼ ἀμφοτέρω εἶναι, οὔτε τὸ μὲν, κακὸν, τὸ δὲ, ἀγαθόν· ἀλλὰ τῷ ὄντι οὗτοι ἀμφοτέρων μετέχοντες, ἀμφοτέρων ἥττους εἰσὶ πρὸς ἑκάτερον, πρὸς ὃ ἥ τε πολιτικὴ καὶ ἡ φιλοσοφία ἀξίω λόγου ἐσόν· καὶ τριτοι ὄντες τῇ ἀληθείᾳ, ζητοῦσι πρῶτοι δοκεῖν εἶναι. συγγινώσκειν μὲν οὖν αὐτοῖς

pant, ita ſe habeant, ut quae ex malo & bono ſint, hoc quidem meliora, illo deteriora fiant: quae vero ex duobus bonis non ad idem conducentibus, utriſque deteriora ad opus illud peragendum, ad quod ſpectant utraque illa quibus fit compoſitio. Quae autem ex duobus malis ſunt conſtituta, non ad idem tendentibus, haec ſola meliora ſunt utriſque illis quorum participant. Si ergo philoſophia bona eſt, & civilis actio bona, ſed ad aliud atque aliud utraque conferens, & hi utrorumque horum participes, utrorumque in medio ſunt conſtituti, nihil concludunt: nam utriſque deteriores ſunt. Sin autem unum quidem horum bonum, malum vero alterum, hoc quidem meliores, illo deteriores. Quod ſi utrumque malum, ita demum vera dicerent, aliter vero nequaquam. Neque vero confeſſuros illos arbitror, mala eſſe utraque, neque unum quidem bonum, malum vero alterum. ſed profecto utrorumque hi participes utriſque ineptiores ſunt ad illud, ad quod & philoſophia & civilis actio pertinet: & cum tertium locum teneant, primum uſurpare non dubitant. Ignoſcendum quidem

χρὴ τῆς ἐπιθυμίας, καὶ μὴ χαλεπαίνειν. ἡγεῖσθαι μέντοι τοιούτους εἶναι οἷοί εἰσι. πάντα γὰρ ἄνδρα χρὴ ἀγαπᾶν, ὅσ-
d. τις καὶ ὁτιοῦν λέγει ἐχόμενον φρονήσεως πρᾶγμα, καὶ ἀνδρείως ἐπεξιὼν διαπονεῖται. ΚΡ. Καὶ μήν, ὦ Σώκρατες, καὶ αὐτὸς περὶ τῶν υἱέων (ὥσπερ ἀεὶ πρός σε λέγω) ἐν ἀπορίᾳ εἰμὶ, τί δεῖ αὐτοῖς χρήσασθαι. ὁ μὲν οὖν νεώτερος, ἔτι καὶ σμικρός ἐστι· Κριτόβουλος δ' ἤδη ἡλικίαν ἔχει, καὶ δεῖταί τινος ὅστις αὐτὸν ὀνήσει. ἐγὼ μὲν οὖν, ὅταν σοι ξυγγένωμαι, οὕτω διατίθεμαι ὥστέ μοι δοκεῖν μανίαν εἶναι τὸ ἕνεκα τῶν παίδων, ἄλλων μὲν πολλῶν σπουδὴν τοιαύτην ἐσχηκέναι,
e. καὶ περὶ τοῦ γάμου, ὅπως ἐκ γενναιοτάτης ἔσονται μητρὸς, καὶ περὶ τῶν χρημάτων, ὅπως ὡς πλουσιώτατοι, αὐτῶν δὲ περὶ παιδείας ἀμελῆσαι. ὅταν δὲ εἴς τινα ἀποβλέψω τῶν φασκόντων ἂν παιδεῦσαι ἀνθρώπους, ἐκπέπληγμαι. καί μοι δοκεῖ εἷς ἕκαστος αὐτῶν σκοπουῦντι πάνυ ἀλλόκοτος εἶναι, ὡς
p. γε πρός σε τἀληθῆ εἰρῆσθαι. ὥστε οὐκ ἔχω ὅπως προτρέπω
307 a. τὸ μειράκιον ἐπὶ φιλοσοφίαν. ΣΩ. Ὦ φίλε Κρίτων, οὐκ οἶσθα ὅτι ἐν παντὶ ἐπιτηδεύματι οἱ μὲν φαῦλοι, πολλοὶ, καὶ

illorum desiderio, neque indignandum: tales tamen esse censendi, quales & sunt. Nam unumquemque diligere debemus, qui modo prudentiae particeps aliquid dicit, & viriliter peragit. *Cr.* Equidem, o Socrates, ut saepe tecum loquor, ambigo, qua ratione filios meos educem. Minor quidem natu tenerior est adhuc quam exigat disciplina: Critobulus autem adultus est iam, & aliquo indiget, cuius opera proficiat. Quoties tecum loquor, ita prorsus afficior, ut existimem insaniam esse, filiorum gratia per cetera occupatum esse, ut circa coniugium, nempe qui ex matre generosissima nascantur, deinde ut amplum illis patrimonium relinquatur: illorum autem educationem negligere. Verum cum ad eos respicio, qui erudire homines profitentur, absterreor: mihique consideranti unusquisque illorum longe ab ea re, quam praedicat, alienus esse videtur. & ut verum tibi fatear, non habeo quo pacto filium meum ad philosophiam exhorter & provocem. *So.* O amice Crito, an igno-

οὐδενὸς ἄξιοι, οἱ δὲ σπουδαῖοι, ὀλίγοι, καὶ τοῦ παντὸς ἄξιοι; ἐπεὶ γυμναστικὴ οὐ καλὸν δοκεῖ σοι εἶναι, καὶ χρηματιστικὴ καὶ ῥητορικὴ καὶ στρατηγία; ΚΡ. Ἔμοιγε πάντως δή που. ΣΩ. Τί οὖν; ἐν ἑκάστῃ τούτων τοὺς πολλοὺς πρὸς ἕκαστον τὸ ἔργον οὐ καταγελάστους ὁρᾷς; ΚΡ. Ναὶ μὰ τὸν Δία· καὶ μάλα ἀληθῆ λέγεις. ΣΩ. Ἦ οὖν τούτου ἕνεκα αὐτός τε φεύξῃ πάντα τὰ ἐπιτηδεύματα, καὶ τῷ υἱεῖ οὐκ ἐπιτρέψεις; ΚΡ. Οὐκοῦν δικαιόν γε, ὦ Σώκρατες. ΣΩ. Μὴ τοίνυν ὅ γε οὐ χρὴ ποίει, ὦ Κρίτων· ἀλλ' ἐάσας χαίρειν τοὺς ἐπιτηδεύοντας φιλοσοφίαν, εἴτε χρηστοὶ εἰσιν, εἴτε πονηροὶ, αὐτὸ τὸ πρᾶγμα βασανίσας καλῶς γε καὶ εὖ, ἐὰν μέν σοι φαίνηται φαῦλον ὄν, πάντ' ἄνδρα ἀπότρεπε, μὴ μόνον τοὺς υἱεῖς· ἐὰν δὲ φαί- c. νηται οἷον οἶμαι αὐτὸ ἐγὼ εἶναι, θαῤῥῶν δίωκε, καὶ ἄσκει, τὸ λεγόμενον δὴ τοῦτο, αὐτός τε καὶ τὰ παιδία.

ΤΕΛΟΣ ΤΟΥ ΕΥΘΥΔΗΜΟΥ.

ras, in quovis ſtudio viles & nullius pretii homines permultos eſſe: probos vero paucos; eoſque maximo in pretio habendos eſſe? Nonne tibi videtur pulchrum quiddam eſſe gymnaſtica, mercatura, rhetorica, res militaris? *Cr.* Mihi certe. *So.* Nonne vides in unaquaque harum artium multos ad opus unumquodque ineptos & deridendos? *Cr.* Ita eſt: ac vera nimium loqueris. *So.* Ergo hac de cauſa ſtudiane fugies omnia, & illa filio diſſuadebis? *Cr.* Haud decet, o Socrates. *So.* Cave ergo, ne quod dedecet, agas, o Crito. Mitte curam hanc, utrum boni ſint homines philoſophiae ſtudioſi, vel mali: rem vero ipſam diligenter examina. Si inquirenti res prava videbitur, non ſolum filios, ſed omnes homines abſterreto. ſin autem tibi talis, qualis & mihi, apparet, ſequere eam viriliter, & exerce, atque ad idem ſtudium filios cohortare.

FINIS EUTHYDEMI.

ΠΡΩΤΑΓΟΡΑΣ

ΠΡΟΤΑΤΟΡΑΣ

ΠΡΩΤΑΓΟΡΑΣ
Η
ΣΟΦΙΣΤΑΙ.
Ἐνδεικτικός.

PROTAGORAS
SIVE
SOPHISTAE.
Ad oſtentationem comparatus.

ARGUMENTUM.

Huius diſputationis idem eſt cum Euthydemo ſcopus & argumentum: nempe ut inanes Sophiſtarum ſpeculationes deteganter, conſpectoque faſtu & vanitate contemnantur, & procul reiiciantur. Proponuntur hic nonnullae opiniones ex verae philoſophiae quidem penu depromtae, ſed ita, ut adulterinis quibusdam pigmentis inficiantur. Primaria quaeſtio eſt, An virtus diſci poſſit? quod quidem affirmat Protagoras: ſed dum ad ſuae illius opinionis probationem ſe accingit, ita agit, ut in varias contrarietatum anguſtias ſe inducat, & infructuoſis diſputationibus temere omnia permiſceat: atque adeo non verae ſcientiae artifex & magiſter, ſed futilium nugarum effictor merito videatur. Fuit enim Platonis conſilium, ſophiſtarum naenias traducere his exemplis, ut illos tanquam verae philoſophiae corruptores deteſtemur, & ab illis plane abhorreamus. Hinc etiam praeclara quaedam documenta haurire licet, ex quibus haec ſunt: Sapientiam non eſſe nudam aut imaginariam rerum cognitionem, aut quae perperam & vitioſe agat: Non eſſe quidquam iucundum quod non ſit bonum: Verae ſcientiae caput eſſe, ut vitam ex virtute componamus: Adulterinae & fucatae ſcientiae notam eſſe, quum verba tantum adhibentur, nulla utilitas ad vitam bene inſtituendam redit.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΕΤΑΙΡΟΣ, ΣΩΚΡΑΤΗΣ, ΙΠΠΟΚΡΑΤΗΣ, ΠΡΩΤΑΓΟΡΑΣ, ΑΛΚΙΒΙΑΔΗΣ, ΚΑΛΛΙΑΣ, ΚΡΙΤΙΑΣ, ΠΡΟΔΙΚΟΣ, ΙΠΠΙΑΣ.

p. 309 a. Πόθεν, ὦ Σώκρατες, φαίνῃ; ἢ δηλαδὴ ὅτι ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ πρώην ἰδόντι καλὸς μὲν ἐφαίνετο ἀνὴρ ἔτι· ἀνὴρ μέντοι, ὦ Σώκρατες (ὡς γ' ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι) καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος. ΣΩ. Εἶτα τί τοῦτο; οὐ σὺ μέντοι Ὁμήρου b. ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου; ἣν νῦν Ἀλκιβιάδης ἔχει; ΕΤ. Τί οὖν ταυτῦ ἢ παρ' ἐκείνου φαίνῃ; καὶ πῶς πρός σε ὁ νεανίας διάκειται; ΣΩ. Εὖ ἔμοιγε ἐδοξεν· οὐχ ἥκιστα δὲ καὶ τῇ νῦν ἡμέρᾳ. καὶ γὰρ πολλὰ ὑπὲρ ἐμοῦ εἶπε, βοηθῶν ἐμοί· καὶ οὖν ἄρτι ἀπ' ἐκείνου ἔρχομαι. ἄτοπον μέντοι τί σοι ἐθέλω εἰπεῖν. παρόντος γὰρ ἐκείνου,

DIALOGI PERSONAE

FAMILIARIS, SOCRATES, HIPPOCRATES, PROTAGORAS, ALCIBIADES, CALLIAS, CRITIAS, PRODICUS, HIPPIAS.

UNDENAM, o Socrates, prodis? an videlicet a venatione illa redis, ad quam Alcibiadis pulchritudo provocare te solet? Nam nuper contemplanti mihi visus est pulcher vir: iam vir inquam, qui possit scilicet inter nos ipsos censeri, utputa cui per genas plurima lanugo iam serpit. *So.* Esto: quid tum? an non probas Homerum, qui, gratissima est, inquit, primae lanuginis aetas? eam vero nunc Alcibiades agit. *Fam.* At in praesentia numquid ab illo prodis? & quomodo erga te nunc affectus est adolescens? *So.* Bene quidem, hodie praesertim, mihi visus est. nam mihi saepe hodie in dicendo succurrit: & ab illo nunc venio. Ac mirabile tibi quiddam refe-

οὔτε προσεῖχον τὸν νοῦν, ἐπελανθανόμην τε αὐτοῦ θαμά. ΕΤ. Καὶ τί ἂν γεγονὸς εἴη περί σε κἀκεῖνον τοσοῦτον πρᾶγμα; οὐ γὰρ δή που τινὶ καλλίονι ἐνέτυχες ἄλλῳ ἢ γε τῇδε τῇ c. πόλει. ΣΩ. Καὶ πολύ γε. ΕΤ. Τί φῄς; ἀξῳ, ἢ ξένῳ; ΣΩ. Ξένῳ. ΕΤ. Ποδαπῷ; ΣΩ. Ἀβδηρίτῃ. ΕΤ. Καὶ οὕτως καλός τις ὁ ξένος ἐδοξέ σοι εἶναι, ὥστε τοῦ Κλεινίου υἱέος καλλίων σοι φανῆναι; ΣΩ. Πῶς δ' οὐ μέλλει, ὦ μακάριε, τὸ σοφώτατον κάλλιον φαίνεσθαι; ΕΤ. Ἀλλ' ἢ σοφῷ τινι ἡμῖν, ὦ Σώκρατες, ἐντυχὼν πάρει; ΣΩ. Καὶ σοφωτάτῳ μὲν οὖν δήπου τῶν γε νῦν· εἰ σοι δοκεῖ σοφώτατος εἶναι Πρωταγό- d. ρας. ΕΤ. Ὦ τί λέγεις· Πρωταγόρας ἐπιδεδήμηκε; ΣΩ. Τρίτην γε ἤδη ἡμέραν. ΕΤ. Καὶ ἄρτι ἄρα ἐκείνῳ συγγεγονὼς ἥκεις; ΣΩ. Πάνυγε πολλὰ καὶ εἰπὼν καὶ ἀκούσας. p. 310. ΕΤ. Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν; εἰ μή σε τι a. κωλύει, καθιζόμενος ἐνταυθοῖ, ἐξαναζήσας τὸν παῖδα τουτονί. ΣΩ. Πάνυ μὲν οὖν· καὶ χάριν γε εἴσομαι, ἐὰν ἀκούητε. ΕΤ. Καὶ μὴν καὶ ἡμεῖς σοι, ἐὰν λέγῃς. ΣΩ. Διπλῆ ἂν

ram: praesentem illum minime intuebar, & alio intendens ad eum vix advertebam. *Fam.* Quidnam tanti fuit, ut te ab illo diverteret? neque enim formosior ullus e nostris civibus adesse poterat. *So.* Immo aderat quidam admodum pulchrior. *Fam.* Quid ais? civisne? an peregrinus? *So.* Peregrinus. *Fam.* Cuias. *So.* Abderites. *Fam.* Numquid adeo insigni forma praeditus tibi visus est peregrinus ille, ut Cliniae filio formosior tibi visus sit? *So.* Quid prohibet, o beate, quo minus quod sapientius est, sit & pulchrius? *Fam.* An forte a sapientis cuiusdam colloquio venis? *So.* Sapientissimi profecto omnium nostrae aetatis hominum, si modo sapientissimus tibi aliorum omnium Protagoras esse videtur. *Fam.* En quid ais? numquid huc accessit Protagoras? *So.* Nudiustertius. *Fam.* An modo cum illo fuisti? *So.* Modo: & multa locutus sum, audivi etiam multa. *Fam.* Non tu illa nobis refers? Nisi quid prohibet, sedere hic licet. tibi quidem puer iste cedet. *So.* Referam equidem, & gratiam insuper, si audieris, habebo. *Fam.* Et nos ti-

εἴη ἡ χάρις. ἀλλ' οὖν ἀκούετε. Τῆς παρελθούσης νυκτὸς ταυτησὶ, ἔτι βαθέος ὄρθρου, Ἱπποκράτης ὁ Ἀπολλοδώρου υἱὸς, Φάσωνος δὲ ἀδελφὸς, τὴν θύραν τῇ βακτηρίᾳ πάνυ σφόδρα
b. ἔκρουε· καὶ ἐπειδὴ αὐτῷ ἀνέῳξέ τις, εὐθὺς εἴσω ἧει ἐπειγόμενος, καὶ τῇ φωνῇ μέγα λέγων, Ὦ Σώκρατες, ἔφη, ἐγρήγορας, ἢ καθεύδεις; Καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ, Ἱπποκράτης, ἔφην, οὗτος. μή τι νεώτερον ἀγγέλλεις; Οὐδέν γ', ἦ δ' ὅς, εἰ μὴ ἀγαθά γε. Εὖ ἂν λέγοις, ἦν δ' ἐγώ. ἔσι δὲ τί; καὶ τοῦ ἕνεκα τηνικάδε ἀφίκου; Πρωταγόρας, ἔφη, ἥκει σὰς παρ' ἐμοί. Πρώην, ἔφην ἐγώ· σὺ δὲ ἄρτι πέπυσαι; Νὴ τοὺς
c. θεοὺς, ἔφη, ἐσπέρας γε. καὶ ἅμα ἐπιψηλαφήσας τοῦ σκίμποδος, ἐκαθέζετο παρὰ τοὺς πόδας μου· καὶ εἶπεν, Ἑσπέρας δῆτα, μάλα γε ὀψὲ ἀφικόμενος ἐξ Οἰνόης. ὁ γάρτοι παῖς με ὁ Σάτυρος ἀπέδρα· καὶ δῆτα μέλλων σοι φράζειν ὅτι διωξόμην αὐτὸν, ὑπό τινος ἄλλου ἐπελαθόμην. ἐπειδὴ δὲ ἦλθον, καὶ δεδειπνηκότες ἦμεν, καὶ ἐμέλλομεν ἀναπαύεσθαι, τότε μοι ἀδελφὸς λέγει ὅτι ἥκει Πρωταγόρας. καὶ ἔτι μὲν ἐνεχεί-

bi, si dicas. *So.* Duplex igitur erit gratia. audite igitur. Superiori nocte ante lucis exortum Hippocrates Apollodori filius frater Phasonis ostium meum baculo vehementer pulsavit: & cum ostium aliquis aperuisset, repente ingressus est, properans & magna voce clamitans, Dormis, o Socrates, an vigilas? Ego autem eius voce agnita, Hippocrates hic est, inquam. o Hippocrates, numquid novi? Nihil, inquit, nisi gratum nuntiaturus advenio. Optime, inquam. sed quid istud? quae te huc causa appulit? Protagoras inquit venit, & prope me divertit. Tum ego, Ille iampridem venit: tu vero modo audisti? Vesperi profecto, inquit ille: scabellumque in tenebris manu contrectans ad pedes meos subsedit: adiecitque, Hesterno vesperi sero admodum ex Oenoe reversus; puer enim meus Satyrus aufugerat: cumque persequi me illum significare tibi vellem, alio quodam interveniente oblitus sum. At cum venissem, coenatique essemus, & somno nos dare vellemus, tunc primum nuntiat frater venisse Protagoram. Illico ad te properare tentavi,

ρησα εὐθὺς παρά σε ἰέναι, ἔπειτά μοι λίαν πόρρω ἔδοξε τῶν νυκτῶν εἶναι. ἐπειδὴ δὲ τάχιςά με ἐκ τοῦ κόπου ὁ ὕπνος ἀνῆκεν, εὐθὺς ἀναςὰς, οὕτω δεῦρο ἐπορευόμην. Καὶ ἐγὼ γιγνώσκων αὐτοῦ τὴν ἀνδρείαν καὶ τὴν πτοίησιν, Τί οὖν σοι, ἦν δ' ἐγὼ, τοῦτο; μῶν τι σὲ ἀδικεῖ Πρωταγόρας; Καὶ ὃς γελάσας, Νὴ τοὺς θεοὺς, ἔφη, ὦ Σώκρατες, ὅτι γε μόνος ἐςὶ σοφὸς, ἐμὲ δὲ οὐ ποιεῖ. Ἀλλὰ ναὶ μὰ Δία, ἔφην ἐγὼ, ἂν αὐτῷ δίδως ἀργύριον, καὶ πείθῃς ἐκεῖνον, ποιήσει καί σε σοφόν. Εἰ γὰρ, ἦ δ' ὅς, ὦ Ζεῦ καὶ θεοὶ, ἐν τούτῳ εἴη· ὡς οὔτ' ἂν τῶν ἐμῶν ἐπιλιποιμι οὐδὲν, οὔτε τῶν φίλων. ἀλλ' αὐτὰ ταῦτα καὶ νῦν ἥκω παρά σε, ἵνα ὑπὲρ ἐμοῦ διαλεχθῇς αὐτῷ. ἐγὼ γὰρ ἅμα μὲν καὶ νεώτερός εἰμι, ἅμα δὲ, οὐδὲ ἑώρακα Πρωταγόραν πώποτε, οὐδ' ἀκήκοα οὐδέν. ἔτι γὰρ παῖς ἦ ὅτε τοπρῶτον ἐπεδήμησεν. ἀλλὰ γὰρ, ὦ Σώκρατες, πάντες τὸν ἄνδρα ἐπαινοῦσι, καί φασι σοφώτατον εἶναι λέγειν. ἀλλὰ τί οὐ βαδίζομεν παρ' αὐτὸν, ἵνα ἔνδον καταλάβωμεν; καταλύει δ', ὡς ἐγὼ ἤκουσα, παρὰ Καλλίᾳ τῷ Ἱππονίκου. ἀλλ' ἴωμεν. Καὶ ἐγὼ εἶπον, Μήπω, ἀγαθὲ, ἐκεῖσε ἴωμεν. πρωΐ

d.

e.

p. 311 a.

sed intempesta nox detinuit. Somno autem experrectus, laboreque levatus, mox ad te huc adventavi. Ego vero viri magnanimitatem stuporemque animadvertens, Quid hoc ad te, inquam? num aliqua te iniuria Protagoras afficit? Tum ille subridens, Sane, inquit, propterea quod solus est sapiens, me vero non efficit sapientem. *So.* Immo certe & te sapientem reddet, si mercede illi oblata persuaseris. *Hip.* O Iuppiter atque ceteri dii, neque meis neque amicorum rebus parcerem, modo id me consecuturum confiderem: atque idcirco te nunc adeo, ut apud eum pro me intercedas. Ego enim & iunior sum, & Protagoram nunquam nec vidi nec audivi. puer enim tunc eram cum huc primum accessit. Virum quidem hunc omnes, o Socrates, laudant, & in dicendo sapientissimum ferunt. Sed cur non properamus ad eum, ut domi illum conveniamus? divertit autem, ut audivi, apud Calliam Hipponici filium. verum eamus. *So.* Nondum, o bone vir, inquam, illuc

γάρ ἐστιν· ἀλλὰ δεῦρο ἐξαναστῶμεν εἰς τὴν αὐλήν, καὶ περιϊόντες αὐτοῦ διατρίψωμεν, ἕως ἂν Φῶς γένηται. εἶτα ἰωμεν. καὶ γὰρ ταπολλὰ Πρωταγόρας ἔνδον διατρίβει. ὥστε θαρρεῖ, καταληψόμεθα αὐτὸν, ὡς τὸ εἰκὸς, ἔνδον. Μετὰ ταῦτα ἀναστάντες εἰς τὴν αὐλὴν περιήειμεν· καὶ ἐγὼ ἀποπειρώμενος τοῦ
b. Ἱπποκράτους τῆς ῥώμης, διεσκόπουν αὐτὸν, καὶ ἠρώτων, Εἰπέ μοι, ἔφην, ὦ Ἱππόκρατες, παρὰ Πρωταγόραν νῦν ἐπιχειρεῖς ἰέναι, ἀργύριον τελῶν ἐκείνῳ μισθὸν ὑπὲρ σεαυτοῦ· ὡς παρὰ τίνα ἀφιξόμενος; καὶ τίς γεγνόμενος; ὥσπερ ἂν εἰ ἐπενόεις παρὰ τὸν σαυτοῦ ὁμώνυμον ἐλθὼν Ἱπποκράτη τὸν Κῶον, τὸν τῶν Ἀσκληπιαδῶν, ἀργύριον τελεῖν ὑπὲρ σαυτοῦ μισθὸν ἐκείνῳ, εἴτις σὲ ἤρετο, Εἰπέ μοι, μέλλεις τελεῖν, ὦ
c. Ἱππόκρατες, Ἱπποκράτει μισθόν· ὡς τίνι ὄντι; τί ἂν ἀπεκρίνω; Εἶπον ἄν, ἔφη, ὅτι ὡς ἰατρῷ. Ὡς τις γεγνησόμενος; Ὡς ἰατρὸς, ἔφη. Εἰ δὲ παρὰ Πολύκλειτον τὸν Ἀργεῖον ἢ Φειδίαν τὸν Ἀθηναῖον ἐπενόεις ἀφικόμενος μισθὸν ὑπὲρ σαυτοῦ τελεῖν ἐκείνοις, εἴτις σὲ ἤρετο, τελεῖν τοῦτο τὸ ἀργύριον

eundum. nam adhuc ſummum mane eſt. ſed eamus ad aulam, ubi deambulabimus quoad aurora luceſcat: poſtea Protagoram ipſum adibimus. etenim vel plurimum Protagoras domi verſatur. Quapropter confide, domi namque illum comperiemus. His dictis, ſurreximus, & in aulam profecti ſumus: ac volens ipſe fiduciae eius periculum facere, intuitus ſum diligenter, atque ita interrogavi: Dic age, o Hippocrates, ad Protagoram nunc vis adire, mercedem pro te illi daturus? Ad qualem hominem vadis? & ipſe qualis ex eo vir evaſurus? Quemadmodum ſi ad Hippocratem tibi cognominem Coum illum Aeſculapii ſtirpe natum proficiſci velles, pro te mercedem erogaturus, & aliquis quaereret, Dic mihi, o Hippocrates, mercedem Hippocrati dabis? qualinam homini, & cuius ratione? quid reſponderes? *Hip.* Ut medico. *So.* Qualis & ipſe futurus, id eſt, cuius gratia? *Hip.* Ut medicus evaſurus. *So.* Sin autem aut Polycletum Argivum, aut Phidiam Athenienſem adires, mercede pro te illis oblata, & ali-

ὡς τίνι ὄντι ἐν νῷ ἔχεις Πολυκλείτῳ τε καὶ Φειδίᾳ; τί ἂν ἀπεκρίνω; Εἶπον ἂν ὡς ἀγαλματοποιοῖς. Ὡς τίς δὲ γ' ἐγνσόμενος αὐτός; Δηλονότι ἀγαλματοποιός. Εἶεν, ἦν δ' ἐγώ. παρὰ δὲ δὴ Πρωταγόραν νῦν ἀφικόμενοι ἐγώ τε καὶ σὺ, d.
ἀργύριον ἐκείνῳ μισθὸν ἕτοιμοι ἐσόμεθα τελεῖν ὑπὲρ σοῦ· ἂν μὲν ἐξικνῆται τὰ ἡμέτερα χρήματα, καὶ τούτοις πείθωμεν αὐτόν· εἰ δὲ μή, καὶ τὰ τῶν φίλων προσαναλίσκοντες. εἰ οὖν τις ἡμᾶς περὶ ταῦτα οὕτω σφόδρα σπουδάζοντας ἔροιτο, Εἰπέ μοι, ὦ Σώκρατές τε καὶ Ἱππόκρατες, ὡς τίνι ὄντι τῷ Πρωταγόρᾳ ἐν νῷ ἔχετε χρήματα τελεῖν; τί ἂν αὐτῷ ἀπο-
κριναίμεθα; τί ὄνομα ἄλλο γε λεγόμενον περὶ Πρωταγόρου e.
ἀκούομεν, ὥσπερ περὶ Φειδίου, ἀγαλματοποιὸν, καὶ περὶ Ὁμήρου, ποιητήν; τι τοιοῦτον περὶ Πρωταγόρου ἀκούομεν; Σοφιστὴν δή τοι ὀνομάζουσί γε, ὦ Σώκρατες, τὸν ἄνδρα εἶναι, ἔφη. Ὡς σοφιστῇ ἄρα ἐρχόμεθα τελοῦντες τὰ χρήματα; Μάλιστα. Εἰ οὖν καὶ τοῦτο τίς σε προσέροιτο, Αὐτὸς δὲ δὴ ὡς τί γενησόμενος ἔρχῃ παρὰ τὸν Πρωταγόραν; Καὶ ὃς εἶπεν

quis percontaretur, qualibus hominibus, & qua ratione Polycleto, & Phidiae argentum offers? quid ad haec? *Hip.* Tanquam sculptoribus. *So.* Tu vero qualis homo futurus? *Hip.* Sculptor videlicet. *So.* Attende, obsecro. ad Protagoram nunc ego ac tu proficiscimur, & argentum tui gratia dare illi parati sumus, si modo pecuniae nostrae sufficient, & si impetrare licet: si minus, amicorum insuper pecunias erogabimus. Si quis ergo nos ad haec adeo properantes interroget, Dicite mihi quaeso, o Socrates & Hippocrates, qualinam homini, & qua ratione Protagorae pecunias tribuere cogitatis? quid illi responderemus? quodnam potissimum Protagorae cognomentum audivimus? Phidiam quidem sculptorem nominant; Homerum vero poetam: Protagoram autem quemnam? *Hip.* Sophistam, o Socrates, virum hunc appellant. *So.* Ergo tanquam ad sophistam mercede conducendum pergimus? *Hip.* Maxime. *So.* Si quispiam te interroget, qua mente, & qualis evasurus ipse Protagoram adeas, quid ad illum? Hic Hippo-

p. ἐρυθριάσας (ἤδη γὰρ ὑπέφαινέ τι ἡμέρας, ὥστε καταφανῆ
312 αὐτὸν γενέσθαι) Εἰ μέν τι τοῖς ἔμπροσθεν ἔοικεν, δῆλον ὅτι
a. σοφιστὴς γενησόμενος. Σὺ δὲ, ἦν δ' ἐγὼ, πρὸς θεῶν, οὐκ ἂν
αἰσχύνοιο εἰς τοὺς Ἕλληνας αὐτὸν σοφιστὴν παρέχων; Νὴ
τὸν Δία, ὦ Σώκρατες· εἴπερ γε ἃ διανοοῦμαι χρὴ λέγειν.
Ἀλλ' ἄρα, ὦ Ἱππόκρατες, μὴ οὐ τοιαύτην ὑπολαμβάνεις
σοῦ τὴν παρὰ Πρωταγόρου μάθησιν ἔσεσθαι, ἀλλ' οἵα περ
b. ἡ παρὰ τοῦ γραμματιστοῦ ἐγένετο, καὶ κιθαριστοῦ, καὶ παι-
δοτρίβου. τούτων γὰρ σὺ ἑκάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς
δημιουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ
τὸν ἐλεύθερον πρέπει. Πάνυ μὲν οὖν μοι δοκεῖ, ἔφη, τοιαύτη
μᾶλλον εἶναι ἡ παρὰ Πρωταγόρου μάθησις. Οἶσθα οὖν ἃ
μέλλεις νῦν πράττειν; ἢ σε λανθάνει; ἦν δ' ἐγώ. Τοῦ πέρι;
Ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ παρασχεῖν θεραπεῦσαι
c. ἀνδρὶ, ὡς φῂς, σοφιστῇ· ὅ, τι δέ ποτε ὁ σοφιστής ἐστι, θαυμά-
ζοιμ' ἂν εἰ οἶσθα. καίτοι εἰ τοῦτ' ἀγνοεῖς, οὐδὲ ὅτῳ παραδί-
δως τὴν ψυχὴν οἶσθα· οὔτ' εἰ ἀγαθῷ, οὔτ' εἰ κακῷ πράγ-

crates erubuit: iam enim aurora pauliſper illuxerat, quo vultus eius patere poterat. reſpondit deinde, Ut ſupra dicta concludunt, profecto tanquam ſophiſta & ipſe futurus. *So.* Te vero, per deos, non pudet inter Graecos ſophiſtam praebere? *Hip.* Vehementer, o Socrates, ſi quod ſentio proferendum eſt. *So.* Sed enim vide, o Hippocrates, ne forte alio tendat tuum hoc Protagoricae artis ſtudium, quam ut ſophiſta efficiaris: quemadmodum grammatici ludum, citharoedique, atque gymnaſtici, non artis ipſius exercendae gratia frequentaſti, ſed quadam potius aviditate diſcendi, ut privatum ac liberum hominem decet. *Hip.* Talis omnino ſtudii mei apud Protagoram ratio futura videtur. *So.* Sciſne igitur, quid nunc facturus ſis? an te fugit? *Hip.* Qua de re? *So.* Animi tui curam viro, ut ais, ſophiſtae es commiſſurus. Quid autem ſophiſta ſit ſi ſcias, ſummopere admirabor. quod ſi ignoras, neſcis quale ſit iſtud, bonumne an malum, cui operam impendere ſtudes. *Hip.* Scire equidem arbitror. *So.* Dic ergo,

ματι. Οἶμαί γ', ἔφη, εἰδέναι. Λέγε δὴ τί ἡγῇ εἶναι τὸν σοφιστήν. Ἐγὼ μέν, ἦ δ' ὅς, ὥσπερ τοὔνομα λέγει, τοῦτον εἶναι τὸν τῶν σοφῶν ἐπιστήμονα. Οὐκοῦν, ἦν δ' ἐγὼ, τοῦτο μὲν ἔξεστι λέγειν καὶ περὶ ζωγράφων καὶ περὶ τεκτόνων, ὅτι οὗτοί εἰσιν οἱ τῶν σοφῶν ἐπιστήμονες· ἀλλ' εἴτις ἔροιτο ἡμᾶς τῶν τί σοφῶν εἰσὶν οἱ ζωγράφοι ἐπιστήμονες, εἴποιμεν ἂν που d. αὐτῷ, ὅτι τῶν πρὸς τὴν ἀπεργασίαν τὴν τῶν εἰκόνων, καὶ τἄλλα οὕτως. εἰ δέ τις ἐκεῖνο ἔροιτο, ὁ δὲ σοφιστὴς τῶν τί σοφῶν ἐστι; τί ἂν ἀποκρινοίμεθα αὐτῷ; ποίας ἐργασίας ἐπιστάτης; τί ἂν εἴποιμεν αὐτὸν εἶναι; Ὦ Σώκρατες, ἐπιστάτην τοῦ ποιῆσαι δεινὸν λέγειν. Ἴσως ἄν, ἦν δ' ἐγὼ, ἀληθῆ λέγοιμεν, οὐ μέντοι ἱκανῶς γε. ἐρωτήσεως γὰρ ἔτι ἡ ἀπόκρισις ἡμῖν δεῖται, περὶ ὅτου ὁ σοφιστὴς δεινὸν ποιεῖ λέγειν· ὥσπερ ὁ κιθαριστὴς δεινὸν δή που ποιεῖ λέγειν περὶ οὕπερ καὶ ἐπιστήμονα, e. περὶ κιθαρίσεως. ἦ γάρ; Ναι. Εἶεν. ὁ δὲ δὴ σοφιστὴς περὶ τίνος δεινὸν ποιεῖ λέγειν; δηλονότι περὶ οὕπερ καὶ ἐπίσταται. Εἰκός γε. Τί δή ἐστι τοῦτο περὶ οὗ αὐτός τε ἐπιστήμων ἐστὶν ὁ

quid ſophiſtam eſſe cenſes? *Hip.* Arbitror eſſe hunc, ut nomen ſignificat, qui res ad ſapientiam pertinentes intelligit. *So.* Idem quoque de pictoribus ac fabris licet dicere, eos eſſe videlicet qui res ad ſapientiam pertinentes intelligunt. Verum ſi quis de pictoribus peteret, ad quarum rerum ſapientiam: reſponderemus utique, ad efficiendarum imaginum ſapientiam; ſimiliterque de ceteris. Et ſi eodem modo de ſophiſta interrogaremur, qualem eius ſapientiam eſſe reſponderemus? cuius artis praeceptorem? *Hip.* Praeceptorem, o Socrates, eloquentiae, facultatiſque dicendi. *So.* Vere ſic forſitan diceremus, non tamen ſufficienter. Reſponſio enim illa interrogationem aliam exigit, quibuſnam de rebus dicendi peritos ſophiſta homines reddat. Citharista nempe iiſdem dicendis aptos facit, in quibus & eruditos, in pulſanda videlicet cithara. nonne? *Hip.* Certe. *So.* At vero ſophiſta, quam dicendi facultatem praeſtat? quibus de rebus? patet, quod de his quae intelligit. *Hip.* Veriſimile id quidem. *So.* Quid ergo iſtud eſt, quod

σοφιστὴς καὶ τὸν μαθητὴν ποιεῖ; Μὰ Δί', ἔφη, οὐκέτι ἔχω
p. σοι λέγειν. Καὶ ἐγὼ εἶπον μετὰ τοῦτο, Τί οὖν οἶσθα εἰς
313 a. οἷόν τινα κίνδυνον ἔρχῃ ὑποβήσων τὴν ψυχήν; ἢ, εἰ μὲν τὸ σῶμα ἐπιτρέπειν σὲ ἔδει τῳ, διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρὸν, πολλὰ ἂν περιεσκέψω εἴτ' ἐπιτρεπτέον, εἴτε οὔ· καὶ εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγῇ τὴν ψυχὴν, καὶ ἐν ᾧ πάντ' ἐστὶ τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου·
b. περὶ δὲ τούτου, οὔτε τῷ πατρὶ, οὔτε τῷ ἀδελφῷ ἐπεκοινώσω, οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενὶ, εἴτ' ἐπιτρεπτέον, εἴτε καὶ οὔ, τῷ ἀφικομένῳ τούτῳ ξένῳ τὴν σὴν ψυχήν; ἀλλ' ἑσπέρας ἀκούσας, ὡς φῄς, ὀρθριος ἦκων, περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιῇ, εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ, εἴτε μὴ, ἕτοιμος δ' εἶ ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ τῶν φίλων χρήματα, ὡς ἤδη διεγνωκὼς ὅτι πάντως συνεστέον Πρωταγόρᾳ· ὃν οὔτε γιγνώσκεις, ὡς φῄς, οὔτε διείλεξαι

& ipse sophista intelligit, & alios docet? *Hip.* Ignoro hercle. *So.* An non vides, quanto discrimini animum tuum subdas? numquid si corpus tuum eidem discrimini suppositurus esses, quo vel in melius verti, vel in deterius posset, non prius alicui tantum te periculum facturo committeres, quam diligenter considerasses, committendumne sit an non: amicos quinetiam, & propinquos diu de hoc ipso consuluisses? Cum vero animum tuum pluris facis quam corpus, & ex eius vel morbo, vel integritate tua omnia contingat vel male, vel bene habere: committendus sit an non huic hospiti animus, nec patrem, nec fratrem, neque quenquam nostrum, qui tibi amici ac familiares sumus, consuluisti: sed cum hesterno vesperi adventum illius audiveris, ad eum summo mane properas, nullo de hoc consilio habito, credere teipsum illi debeas, necne. immo & tuas omnes, & amicorum pecunias erogare paratus es, quasi iam cognoveris omnino esse Protagorae adhaerendum, quem neque vidisti unquam, ut ais, neque es al-

οὐδεπώποτε. σοφιστὴν δ' ὀνομάζεις, τὸν δὲ σοφιστὴν, ὅ, τι ποτέ c.
ἐστι, φαίνῃ ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν ἐπιτρέπειν; Καὶ ὃς
ἀκούσας, Ἔοικεν, ἔφη, ὦ Σώκρατες, ἐξ ὧν σὺ λέγεις. Ἆρ'
οὖν, ὦ Ἱππόκρατες, ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις ἢ
κάπηλος τῶν ἀγωγίμων, ἀφ' ὧν ψυχὴ τρέφεται; Φαίνεταί
γ' ἐμοιγε τοιοῦτός τις· τρέφεται δὲ ψυχὴ, ὦ Σώκρατες,
τίνι; Μαθήμασι δή που, ἦν δ' ἐγώ. καὶ ὅπως γε μὴ, ὦ
ἑταῖρε, ὁ σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ, ἐξαπατήσῃ ἡμᾶς, ὥσπερ
οἱ περὶ τὴν τοῦ σώματος τροφὴν, ὁ ἔμπορός τε καὶ κάπηλος. d.
καὶ γὰρ οὗτοί που ὧν ἀγοῦσιν ἀγωγίμων οὔτε αὐτοὶ ἴσασιν
ὅ, τι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα, ἐπαινοῦσι δὲ πάντα
πωλοῦντες· οὔτε οἱ ὠνούμενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ
γυμναστικὸς ἢ ἰατρὸς ὤν. οὕτω δὴ καὶ οἱ τὰ μαθήματα περιά-
γοντες κατὰ τὰς πόλεις, καὶ πωλοῦντες καὶ καπηλεύοντες
τῷ ἀεὶ ἐπιθυμοῦντι, ἐπαινοῦσι μὲν πάντα ἃ πωλοῦσι, τάχα
δ' ἄν τινες, ὦ ἄριστε, καὶ τούτων ἀγνοοῖεν ὧν πωλοῦσιν ὅ, τι
χρηστὸν ἢ πονηρὸν πρὸς τὴν ψυχήν· ὡς δ' αὕτως καὶ οἱ ὠνού- e.
μενοι παρ' αὐτῶν, ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ

locutus. Sophiſtam vocas illum: & quid ſophiſta ſit aperte neſcis, cui teipſum es dediturus. *Hip.* Vera loqui videris, o Socrates. *So.* Nonne ſophiſta eſt, o Hippocrates, mercator quidam, & caupo victualium quorundam, quibus animus alitur? *Hip.* Talis mihi ſane videtur. verum quibus alitur animus? *So.* Diſciplinis. ſed cavendum eſt, o amice, ne dum laudat ſophiſta quae vendit, nos decipiat, ut faciunt qui corporis epulas vendunt, mercatores quidem & caupones. Laudant illi quidem ſua omnia, neque intelligunt, utrum ſalubria ſint an noxia corpori quae vendunt: idque ignorant & illi qui emunt; niſi forte illorum aliquis medicus ſit, aut gymnaſticus. Haud ſecus illi qui diſciplinas varias per urbes venales circumferunt, & cauponantes eis qui emere cupiunt, laudant omnia quae vendunt. ac fortaſſis eorum nonnulli ignorant ſaepe, quid utile animo ſit, quidve inutile ex his quae vendunt: ſimiliter quoque qui ab illis emunt; niſi illorum aliquis ſit animi me-

ἰατρικὸς ὤν. εἰ μὲν οὖν σὺ τυγχάνεις ἐπιςήμων τούτων τί χρηςὸν καὶ πονηρὸν, ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ Πρωταγόρου, καὶ παρ' ἄλλου ὁτουοῦν· εἰ δὲ μὴ,
p. ὅρα, ὦ μακάριε, μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κιν-
314 δυνεύῃς. καὶ γὰρ δὴ καὶ πολὺ μείζων κίνδυνος ἐν τῇ τῶν
a. μαθημάτων ὠνῇ ἢ ἐν τῇ τῶν σιτίων. σιτία μὲν γὰρ καὶ ποτὰ πριάμενον παρά του καπήλου καὶ ἐμπόρου, ἔξεσιν ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν· καὶ πρὶν δέξασθαι αὐτὰ εἰς τὸ σῶμα, πιόντα ἢ φαγόντα, καταθέμενον οἴκαδε, ἔξεσι συμβουλεύσασθαι, παρακαλέσαντα τὸν ἐπαΐοντα, ὅ, τι τε ἐδεςέον καὶ ποτέον, καὶ ὅ, τι μή· καὶ ὁπόσα, καὶ ὁπότε. ὥστε ἐν τῇ ὠνῇ οὐ μέγας ὁ κίνδυνος. μαθήματα δὲ οὐκ ἔξιν ἐν ἄλλῳ
b. ἀγγείῳ ἀπενεγκεῖν, ἀλλ' ἀνάγκη, καταθέντα τὴν τιμὴν, τὸ μάθημα ἐν αὐτῇ τῇ ψυχῇ λαβόντα καὶ μαθόντα, ἀπιέναι ἢ βεβλαμμένον ἢ ὠφελημένον. ταῦτα οὖν σκοπώμεθα καὶ μετὰ τῶν πρεσβυτέρων ἡμῶν· ἡμεῖς γὰρ ἔτι νέοι, ὥστε τοσοῦτον πρᾶγμα διελέσθαι. νῦν μέντοι ὥσπερ ὡρμήσαμεν

dicus. Si ergo intelligis ipse quid ex his profit, quidve obsit, tuto emere a Protagora & ab alio quovis potes. alioquin cave, o beate adolescens, ne in summum iacturae discrimen, quae tibi carissima sunt, deducas. Nam longe gravius periculum est in disciplinis quam in cibis emendis. Etenim qui a caupone, aut mercatore, esculenta emit & poculenta, potest antequam his vescatur, in aliis quibusdam vasculis illa domum deferre, ibique deposita diligenter examinare, & advocato aliquo istarum rerum perito, quid edendum bibendumve sit, quid non, quantumque, & quando, deliberare. quamobrem haud grave est in emendo periculum. Disciplinas autem non licet alio in vase transferre, sed necesse est, ut qui emit eas animo capiat, & relicto pretio habeat, intra se ferens, vel inquinatus iam, vel ad meliora provectus. Haec itaque cum senioribus utroque nostrum discutiamus. iuniores namque nos sumus quam exigat tantae rei iudicium. In praesentia tamen pergamus quo coepimus, virumque hunc audia-

ἴωμεν, καὶ ἀκούσωμεν τοῦ ἀνδρός· ἔπειτα ἀκούσαντες, καὶ ἄλλοις ἀνακοινωσώμεθα. καὶ γὰρ οὐ μόνος Πρωταγόρας αὐτόθι ἐστίν, ἀλλὰ καὶ Ἱππίας ὁ Ἠλεῖος· (οἶμαι δὲ καὶ Πρόδικον τὸν Κεῖον) καὶ ἄλλοι πολλοὶ καὶ σοφοί. Δόξαν ἡμῖν ταῦτα, ἐπορευόμεθα· ἐπειδὴ δὲ ἐν τῷ προθύρῳ ἐγενόμεθα, ἐπισχάντες περί τινος λόγου διελεγόμεθα, ὃς ἡμῖν κατὰ τὴν ὁδὸν ἐνέπεσεν. ἵν' οὖν μὴ ἀτελὴς γένοιτο, ἀλλὰ διαπερανάμενοι, οὕτως εἰσιοιμεν, ἐῶντες ἐν τῷ προθύρῳ διελεγόμεθα, ἕως συνεωμολογήσαμεν ἀλλήλοις. δοκεῖ οὖν μοι, ὁ θυρωρὸς, εὐνοῦχός τις, κατήκουεν ἡμῶν· κιδυνεύει δὲ, διὰ τὸ πλῆθος τῶν σοφιστῶν, ἄχθεσθαι τοῖς φοιτῶσιν εἰς τὴν οἰκίαν. ἐπειδὴ γοῦν ἐκρούσαμεν τὴν θύραν, ἀνοίξας καὶ ἰδὼν ἡμᾶς, Ἔα, ἔφη, σοφισαί τινες. οὐ σχολὴ αὐτῷ. Καὶ ἅμα ἀμφοῖν ταῖν χεροῖν τὴν θύραν πάνυ προθύμως ὡς οἷόν τ' ἦν ἐπήραξε, καὶ ἡμεῖς πάλιν ἐκρούομεν. καὶ ὃς ἐγκεκλεισμένης τῆς θύρας ἀποκρινόμενος εἶπεν, Ὦ ἄνθρωποι, ἔφη, οὐκ ἀκηκόατε ὅτι οὐ σχολὴ αὐτῷ; Ἀλλ' ὦ γαθὲ, ἔφην ἐγὼ, οὔτε παρὰ Καλλίαν ἥκομεν, οὔτε σοφισταί ἐσμεν· ἀλλὰ θαῤῥεῖ Πρωταγόραν γάρ τοι δεόμενοι ἰδεῖν ἤλθομεν. εἰσάγγειλον οὖν. μόγις οὖν ποτε ἡμῖν

mus: quo audito cum aliis communicabimus. neque enim Protagoras ibi solus adest, sed etiam Elienſis Hippias, & Prodicus, ut arbitror, Chius, aliique permulti viri, & admodum ſapientes. Placuerunt haec nobis, atque perreximus. Et ingreſſi veſtibulum ſermonem quendam, in quem inter eundum forte incideramus, tractavimus. qui ne imperfectus relinqueretur, in veſtibulo colloquentes eo progreſſi ſumus, dum diſputando nobis conveniret. Audivit autem, ut arbitror, nos Eunuchus quidam ianitor: ſed propter ſophiſtarum iſtuc frequentiam venientibus iraſcebatur. Pulſavimus: aperuit. Cum nos vidiſſet, Sunt, inquit, ſophiſtae quidam. haud otium illi. ſimulque utriſque manibus nixus oſtium clauſit. Pulſavimus iterum. ſed illic clauſis foribus, Non auditis, inquit, otium illi non eſſe? O bone vir, inquam, neque ad Calliam venimus, neque ſophiſtae ſumus. ſed confide: Protagora indigemus, videre illum cupimus. hoc nuntiato. Vix igitur

ἄνθρωπος ἀνέῳξε τὴν θύραν. ἐπειδὴ δὲ εἰσήλθομεν, κατέλαβομεν Πρωταγόραν ἐν τῷ προστόῳ περιπατοῦντα. ἑξῆς δ' αὐτῷ συμπεριεπάτουν, ἐκ μὲν τοῦ ἑπὶ θάτερα, Καλλίας ὁ Ἱππονίκου, καὶ ὁ ἀδελφὸς αὐτοῦ ὁ ὁμομήτριος, Πάραλος ὁ Περικλέους, καὶ Χαρμίδης ὁ Γλαύκωνος· ἐκ δὲ τοῦ ἑπὶ θάτερα, ὁ ἕτερος τοῦ Περικλέους Ξάνθιππος, καὶ Φιλιππίδης ὁ Φιλομήλου, καὶ Ἀντίμοιρος ὁ Μενδαῖος, ὅσπερ εὐδοκίμει μάλιστα τῶν Πρωταγόρου μαθητῶν, καὶ ἐπὶ τέχνῃ ἐμάνθανεν, ὡς σοφιστὴς ἐσόμενος. τούτων δὲ οἱ ὄπισθεν ἠκολούθουν ἐπακούοντες τῶν λεγομένων, τὸ μὲν πολὺ ξένοι ἐφαίνοντο, οὓς ἄγει ἐξ ἑκάστων πόλεων ὁ Πρωταγόρας, δι' ὧν διεξέρχεται, κηλῶν τῇ φωνῇ, ὥσπερ Ὀρφεύς· οἱ δὲ, κατὰ τὴν φωνὴν ἕποντο κεκηλημένοι. ἦσαν δέ τινες καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ. τοῦτον τὸν χορὸν μάλιστα ἔγωγε ἰδὼν ἥσθην, ὡς καλῶς εὐλαβοῦντο μηδέποτε ἐμποδὼν ἐν τῷ ἔμπροσθεν εἶναι Πρωταγόρου· ἀλλ' ἐπειδὴ αὐτὸς ἀναστρέφοι, καὶ οἱ μετ' ἐκείνου, εὖ πως καὶ ἐν κόσμῳ περιεσχίζοντο οὗτοι οἱ ἐπήκοοι ἔνθεν καὶ

p 315 a. b.

tandem fores patefecit. Ingressi, Protagoram offendimus in vestibulo porticus deambulantem. Sequebantur eum multi, hinc quidem Callias Hipponici filius, & germanus eius ex matre Paralus Pericle natus, & Charmides Glauconis: inde vero alter Periclis filius Xanthippus, & Philippides Philomeli, & Antimoerus Mendaeus, qui inter omnes Protagorae auditores insignior habebatur, discebatque ea mente facultatem illam, ut & ipse sophista futurus eadem quandoque profiteretur. A tergo praeterea sequebantur alii auscultantes Protagoram, quorum plurimi peregrini esse videbantur, quos ex singulis urbibus, per quas circumvagatur ille, congregat, mulcens eos voce, tanquam Orpheus quidam, & alliciens. illi vero vocem passim deliniti, sequuntur. Aderant & nostrates quidam in eo choro. Hunc ego chorum cum contemplarer, ordo me illius mirifice oblectabat. diligenti siquidem cautione singuli observabant, ne passu Protagoram anteirent: sed cum retro pedem verteret, pedissequi auditores apte nimium, & in cir-

ἔνθεν· καὶ ἐν κύκλῳ περιϊόντες, ἀεὶ εἰς τὸ ὄπισθεν καθίζαντο κάλλιστα. τὸν δὲ μετεισενόησα, ἔφη Ὅμηρος, Ἱππίαν τὸν Ἠλεῖον, καθήμενον ἐν τῷ καταντικρὺ προσόῳ ἐν θρόνῳ. περὶ c. αὐτὸν δ' ἐκάθηντο ἐπὶ βάθρων Ἐρυξίμαχός τε ὁ Ἀκουμένου καὶ Φαῖδρος ὁ Μυρρινούσιος, καὶ Ἄνδρων ὁ Ἀνδροτίωνος· καὶ τῶν ξένων, πολῖταί τε αὐτοῦ, καὶ ἄλλοι τινές. ἐφαίνοντο δὲ περὶ φύσεώς τε καὶ μετεώρων ἀστρονομικὰ ἅττα διερωτᾶν τὸν Ἱππίαν, ὁ δ' ἐν θρόνῳ καθήμενος, ἑκάστοις αὐτῶν διέκρινε καὶ διεξῄει τὰ ἐρωτώμενα. καὶ μὲν δὴ καὶ Τάνταλόν γε ἐσεῖδον. ἐπεδήμει γὰρ ἄρα Πρόδικος ὁ Κεῖος, ἦν δὲ ἐν οἰ- d. κήματι τινι, ᾧ πρότου μὲν ὡς ταμιείῳ ἐχρῆτο Ἱππόνικος, νῦν δὲ ὑπὸ τοῦ πλήθους τῶν καταλυόντων ὁ Καλλίας καὶ τοῦτο ἐκκενώσας, ξένοις κατάλυσιν πεποίηκεν. ὁ μὲν οὖν Πρόδικος ἔτι κατέκειτο, ἐγκεκαλυμμένος ἐν κωδίοις τισὶ καὶ ῥώμασι, καὶ μάλα πολλοῖς, ὡς ἐφαίνετο. παρεκάθηντο δὲ αὐτῷ ἐπὶ ταῖς πλησίον κλίναις Παυσανίας τε ὁ ἐκ Κεραμέων, καὶ μετὰ Παυσανίου νέον ἔτι μειράκιον, ὡς μὲν ἐγῷμαι,

culum utrinque diviſi, ita cedebant, ut poſteri ſemper eſſent. Hunc poſt vidi, ut verbis Homeri loquar, Hippiam Elienſem in adverſo porticus veſtibulo in throno ſedentem. circa quem per ſubſellia nonnulli ſedebant, Eryximachus Acumeni filius, Phaedruſque Myrrhinuſius, & Andron Androtione genitus, aliique nonnulli partim cives, partim etiam peregrini: qui de rebus naturae ſublimibus, aſtrorumque progreſſibus interrogare Hippiam videbantur. ille autem in throno ſedens dubitationes ſingulis enodabat. Vidi praeterea Tantalum. aderat porro & Prodicus Chius, qui in tabernaculum quoddam ſeceſſerat, quo pro penu iam antea Hipponicus uti conſueverat: ſed ut omnis confluentium hoſpitum turba exciperetur, angulum illum quoque extractis obſoniis Callias hoſpitibus habitandum dederat. Prodicus igitur villoſis ſtramentis, & quidem multis, ut videbatur, involutus, iſtic adhuc recumbebat. Sedibus autem illi proximis conſidebant, Pauſanias Ceramenſis, & penes eum adoleſcentulus quidam optimo, ut mihi quidem videtur, ingenio

e. καλόν τε κἀγαθὸν τὴν φύσιν· τὴν δ' οὖν ἰδέαν πάνυ καλός. ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ εἶναι Ἀγάθωνα· καὶ οὐκ ἂν θαυμάζοιμι εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν. τοῦτό τ' ἦν τὸ μειράκιον, καὶ τὼ Ἀδειμάντω ἀμφοτέρω, ὅ, τε Κήπιδος καὶ ὁ Λευκολοφίδου, καὶ ἄλλοι τινὲς ἐφαίνοντο. περὶ δὲ ὧν διελέγοντο οὐκ ἐδυνάμην ἔγωγε μαθεῖν ἔξωθεν, καίπερ λιπαρῶς ἔχων ἀκούειν τοῦ Πρωδίκου· πάνσοφος γάρ μοι δοκεῖ
p. ἀνὴρ εἶναι καὶ θεῖος. ἀλλὰ διὰ τὴν βαρύτητα τῆς φωνῆς
316 βόμβός τις ἐν τῷ οἰκήματι γιγνόμενος, ἀσαφῆ ἐποίει τὰ
a. λεγόμενα. καὶ ἡμεῖς μὲν ἄρτι εἰσεληλύθειμεν· κατόπιν δὲ ἡμῶν ἐπεισῆλθον Ἀλκιβιάδης τε ὁ καλὸς (ὡς φῂς σὺ, καὶ ἐγὼ πείθομαι) καὶ Κριτίας ὁ Καλλαίσχρου. Ἡμεῖς οὖν ὡς εἰσήλθομεν, ἔτι μικρὰ ἄττα διατρίψαντες, καὶ ταῦτα διαθεασάμενοι, προσῆμεν πρὸς τὸν Πρωταγόραν· καὶ ἐγὼ εἶπον, Ὦ
b. Πρωταγόρα, πρός σέ τοι ἤλθομεν ἐγώ τε καὶ Ἱπποκράτης οὗτος. Πότερον, ἔφη, μόνῳ βουλόμενοι διαλεχθῆναι, ἢ καὶ μετὰ τῶν ἄλλων; Ἡμῖν μὲν, ἦν δ' ἐγὼ, οὐδὲν διαφέρει· ἀκούσας δὲ οὗ ἕνεκα ἤλθομεν, αὐτὸς σκέψαι. Τί οὖν δή ἐστιν,

& generosa indole praeditus, nomine, ut audivi, Agathon: neque mirum apud me erat, quod hic Pausaniae amatus esset. erat ibidem & Adimantus uterque, tum Cepidis, tum Leucolophidis filius, aliique permulti. Verum de quibus differebant, haud satis percipere foris potui, quamquam vehementer audire Prodicum affectabam. sapientissimus enim divinusque vir mihi esse videtur: sed sonitus quidam ex vocis ipsius gravitate sub fornice continue revolutus, verba singula confundebat. E vestigio post ingressum nostrum intravit Alcibiades ille pulcher, ut & ipse ais, & ego credo, & Critias Callaeschri filius. Nos autem, cum ingressi de quibusdam una disseruissemus, eaque essemus spectacula contemplati, accessimus ad Protagoram. Deinde, o Protagora, inquam, certa de causa ad te ego & Hippocrates huc venimus. *Prot.* Numquid seorsum ab aliis mecum loqui vultis? an coram omnibus? *So.* Nobis quidem perinde est: sed cum audiveris quam ob causam venimus, ipse

ἔφη, οὗ ἕνεκα ἥκετε; Ἱπποκράτης ὅδε, ἔστι μὲν τῶν ἐπιχωρίων, Ἀπολλοδώρου υἱὸς, οἰκίας μεγάλης τε καὶ εὐδαιμονος· αὐτὸς δὲ τὴν φύσιν δοκεῖ ἐναμιλλος εἶναι τοῖς ἡλικιώταις. ἐπιθυμεῖν δέ μοι δοκεῖ ἐλλόγιμος γενέσθαι ἐν τῇ πόλει. τοῦτο c.
δὲ οἴεται οἱ μάλιστα γενέσθαι εἰ σοι συγγένοιτο. ταῦτ' οὖν ἤδη σὺ σκόπει, πότερον περὶ αὐτῶν μόνος οἴει δεῖν διαλέγεσθαι πρὸς μόνους, ἢ μετ' ἄλλων. Ὀρθῶς, ἔφη, προμηθῇ, ὦ Σώκρατες, ὑπὲρ ἐμοῦ. ξένον γὰρ ἄνδρα καὶ κατιόντα εἰς πόλεις μεγάλας, καὶ ἐν ταύταις πείθοντα τῶν νέων τοὺς βελτίστους, ἀπολείποντας τὰς τῶν ἄλλων συνουσίας, καὶ οἰκείων καὶ ὀθνείων, καὶ πρεσβυτέρων καὶ νεωτέρων, ἑαυτῷ συνεῖναι, ὡς βελτίους ἐσομένους διὰ τὴν ἑαυτοῦ συνουσίαν, χρὴ εὐλα- d.
βεῖσθαι τὸν ταῦτα πράττοντα. οὐ γὰρ σμικροὶ περὶ αὐτὰ φθόνοι τε γίγνονται, καὶ ἄλλαι δυσμένειαί τε καὶ ἐπιβουλαί. ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιὰν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν, φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς, πρόσχημα ποιεῖσθαι καὶ προκαλύπτεσθαι τοὺς μὲν, ποίησιν (οἷον Ὁμηρόν τε καὶ Ἡσίοδον

videris. *Prot.* Quid ergo iſtud eſt, cuius gratia huc acceſſiſtis? *So.* Hippocrates hic noſtras eſt, Apollodori filius, nobili atque felici genere ortus. ipſe vero cum aequalibus ſuis de virtute contendit, aemulatione concitus: cupitque in republica vir illuſtris evadere, atque huius rei compotem fore ſe ſperat conſuetudine tua. Vide igitur, utrum de hoc ſolos tecum, an coram aliis conſultare nos deceat. *Prot.* Recte mihi, o Socrates, conſulis. prudenti namque cautione indiget peregrinus is, qui amplas urbes perluſtrans, claris ubique iuvenibus perſuadet, ut relicta aliorum omnium, tam ſuorum, quam alienigenarum, tam ſenum, quam iuvenum conſuetudine, ſibi ſoli adhaereant, tanquam ipſius conſuetudine praeſtantiores aliis omnibus evaſuri. invidiae namque adverſum eum inſurgunt, multaeque malevolentiae & inſidiae. Ego vero artem ſophiſticam antiquam eſſe aio: priſcos autem viros in ea peritos, invidiam hanc offenſionemque veritos, aliarum artium ſpecie diſſimulaſſe: partim

καὶ Σιμωνίδην) τοὺς δὲ αὖ, τελετάς τε καὶ χρησμῳδίας· τοὺς
ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον. ἐνίους δέ τινας ᾠήθημαι καὶ
γυμναστικήν· οἷον Ἶκκος τε ὁ Ταραντῖνος, καὶ ὁ νῦν ἔτι ὢν
e. οὐδενὸς ἧττων σοφιστὴς Ἡρόδικος ὁ Σηλυμβριανὸς, τὸ δὲ ἀρ-
χαῖον Μεγαρεύς. μουσικὴν δὲ Ἀγαθοκλῆς τε ὁ ὑμέτερος
πρόσχημα ἐποιήσατο, μέγας ὢν σοφιστὴς, καὶ Πυθοκλείδης ὁ
Κεῖος, καὶ ἄλλοι πολλοί. οὗτοι πάντες, ὥσπερ λέγω, φοβη-
θέντες τὸν φθόνον, ταῖς τέχναις ταύταις παραπετάσμασιν
p. ἐχρήσαντο· ἐγὼ δὲ τούτοις ἅπασι κατὰ τοῦτο εἶναι οὐ ξυμ-
317 φέρομαι. ἡγοῦμαι γὰρ αὐτοὺς οὔ τι διαπράξασθαι ὃ ἐβουλή-
a. θησαν. οὐ γὰρ λαθεῖν τῶν ἀνθρώπων τοὺς δυναμένους ἐν ταῖς
πόλεσι πράττειν ὧνπερ ἕνεκα ταῦτ' ἐξι τὰ προσχήματα. ἐπεὶ
οἵ γε πολλοί, ὡς ἔπος εἰπεῖν, οὐδὲν αἰσθάνονται· ἀλλ' ἅττ'
ἂν οὗτοι διαγγέλλωσι, ταῦτα ὑμνοῦσι. τὸ οὖν ἀποδιδράσκον-
τα μὴ δυνασθαι ἀποδρᾶναι, ἀλλὰ καταφανῆ εἶναι, πολλὴ
b. μωρία καὶ τοῦ ἐπιχειρήματος, καὶ πολὺ δυσμενεξέρους παρέ-

quidem poëmatis ſpecie, ut Homerus fecit, & Heſiodus, & Simonides; partim vero ſub ſacrorum oraculorumque appellatione, ut Orpheus, & Muſaeus, eorumque etiam ſectatores. audivi praeterea, nonnullos eam artem appellaſſe gymnaſticam: quod Iccus Tarentinus feciſſe videtur, & qui adhuc ſupereſt ſophiſta nullo inferior Selybrianus Herodicus, qui priſca origine genus a Megarenſibus ducit. Agathocles quinetiam, ſophiſta doctiſſimus, & Pithoclides Chius aliique permulti, ſub muſicae artis velamine ſophiſticam facultatem occuluerunt. Hi omnes, velut dixi, & ob devitandam invidiam vehementer nomen diſſimularunt, & ſub artium aliarum praetextu ſophiſticam artem occuluerunt. Ego autem ab his omnibus in hoc diſſentio: neque conducere verſutias iſtas exiſtimo. Neque enim voti compotes eos fieri arbitror. nam viri in civitate praeſtantes, diſſimulationes eiuſmodi omnes intelligunt. vulgus autem quodammodo non advertit, ſed ea laudat, quae ipſi praedicant. Subterfugiendi vero ſtudium iſtud cum non aſſequitur quod molitur, inertem indicat fugientem,

χεσθαι ἀνάγκη τοὺς ἀνθρώπους. ἡγοῦνται γὰρ τὸν τοιοῦτον πρὸς τοῖς ἄλλοις καὶ πανοῦργον εἶναι. ἐγὼ οὖν τούτων τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα· καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι, καὶ παιδεύειν ἀνθρώπους· καὶ εὐλάβειαν ταύτην οἶμαι βελτίω ἐκείνης εἶναι, τὸ ὁμολογεῖν μᾶλλον ἢ ἔξαρνον εἶναι· καὶ ἄλλας πρὸς ταύτῃ ἔσκεμμαι. ὥστε, σὺν θεῷ εἰπεῖν, μηδὲν δεινὸν πάσχειν διὰ τὸ ὁμολογεῖν σοφιστὴς εἶναι. καίτοι πολλά c.
γε ἔτη ἤδη εἰμὶ ἐν τῇ τέχνῃ. καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοι ἔσιν· οὐδενὸς ὅτου οὐ πάντων ἂν ὑμῶν καθ' ἡλικιαν πατὴρ εἴην. ὥστε πολύ μοι ἥδιόν ἐσιν, εἴτι βούλεσθε, περὶ τούτων ἁπάντων ἐναντίον τῶν ἔνδον ὄντων τὸν λόγον ποιεῖσθαι. Καὶ ἐγὼ (ὑπώπτευσα γὰρ βούλεσθαι αὐτὸν τῷ τε Προδίκῳ καὶ τῷ Ἱππίᾳ ἐνδείξασθαι, καὶ καλλωπίσασθαι, ὅτι ἐραςαὶ αὐτοῦ ἀφιγμένοι εἴημεν) Τί οὖν, ἐφὴν ἐγὼ, οὐ καὶ Πρόδικον καὶ Ἱππίαν ἐκαλέσαμεν, καὶ τοὺς μετ' αὐτῶν, ἵνα d.
ἐπακουσωσιν ἡμῶν; Πάνυ μὲν οὖν, ἔφη ὁ Πρωταγόρας. Βούλεσθε οὖν, ὁ Καλλίας ἔφη, συνέδριον κατασκευάσωμεν, ἵνα

& advertentes homines reddit infenſiores. exiſtimant enim praeter cetera hunc verſutum ſeductoremque eſſe. Ego igitur contrariam quandam viam ſum ingreſſus. Confiteor me eſſe ſophiſtam, alioſque docere: & hac ingenua confeſſione, tutius quam diſſimulatione illa, vitari invidiam cenſeo. Aliis praeterea rationibus mihi proſpexi, ut nihil mali, adiuvante deo, ob ſophiſticae profeſſionem ſim paſſus, licet multos annos facultatem hanc exercuerim. Sum equidem grandis natu, & cuiuſque veſtrum aetate pater eſſe poſſem. Quamobrem gratiſſimum mihi erit, ſi de iis mecum, audientibus omnibus qui intus ſunt, verba facere velitis. Hic ego eum ſuſpicatus oſtentare & iactare ſe apud Prodicum & Hippiam velle, quod eius ſapientiae aviditate inflammati ad eum audiendum profecti eſſemus, Cur non, inquam, Prodicum atque Hippiam, & eos qui hos comitantur, huc advocamus, ut & ipſi nos audiant? *Prot.* Advocemus. Vultis igitur, Callias inquit, ſedes hic paremus, ut diſſeratis ſedentes? Conſenſimus omnes. Laeti autem nos

καθεζόμενοι διαλέγησθε; Ἐδόκει χρῆναι. ἅσμενοι δὲ πάντες ἡμεῖς, ὡς ἀκουσόμενοι ἀνδρῶν σοφῶν, καὶ αὐτοί τε ἀντιλαβόμενοι τῶν βάθρων καὶ τῶν κλινῶν κατεσκευάζομεν παρὰ τὸν Ἱππίαν. ἐκεῖ γὰρ προϋπῆρχε τὰ βάθρα. ἐν δὲ τούτῳ Καλ-
e. λίας τε καὶ Ἀλκιβιάδης ἡκέτην, ἄγοντε τὸν Πρόδικον, ἀναστήσαντες ἐκ τῆς κλίνης καὶ τοὺς μετὰ τοῦ Προδικου. ἐπειδὴ δὲ πάντες συνεκαθεζόμεθα, Πρωταγόρας, Νῦν δὴ ἂν, ἔφη, λέγοις, ὦ Σώκρατες, ἐπειδὴ καὶ οἵδε πάρεισι, περὶ ὧν ὀλίγῳ πρότερον μνείαν ἐποιοῦ πρὸς ἐμὲ ὑπὲρ τοῦ νεανίσκου. Καὶ ἐγὼ
p. εἶπον ὅτι, Ἡ αὐτή μοι ἐστὶν ἀρχὴ, ὦ Πρωταγόρα, ἥπερ ἄρτι
318 a. περὶ ὧν ἀφικόμην. Ἱπποκράτης γὰρ ὅδε τυγχάνει ὢν ἐν ἐπιθυμίᾳ τῆς σῆς συνουσίας. ὅ, τι οὖν αὐτῷ ἀποβήσεται, ἐάν σοι συνῇ, ἡδέως ἂν φησι πυθέσθαι. τοσοῦτος ὄγε ἡμέτερος λόγος. Ὑπολαβὼν οὖν ὁ Πρωταγόρας εἶπεν, Ὦ νεανίσκε, ἔσαι τοίνυν σοι, ἐὰν ἐμοὶ συνῇς, ἧ ἂν ἡμέρᾳ ἐμοὶ συγγένῃ, ἀπιέναι οἴκαδε βελτίονι γεγονότι, καὶ ἐν τῇ ὑστεραίᾳ ταυτὰ ταῦτα καὶ ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι. Καὶ
b. ἐγὼ ἀκούσας εἶπον, Ὦ Πρωταγόρα, τοῦτο μὲν οὐδὲν θαυμαστὸν λέγεις, ἀλλὰ εἰκός· ἐπεὶ κἂν σὺ, καίπερ τηλικοῦτος ὢν καὶ οὕτω σοφὸς, εἴτις σε διδάξειεν ἃ μὴ τυγχάνεις ἐπιστάμε-

omnes, quippe viros ſapientes audituri, ſcamna unuſquiſque apprehendimus, & iuxta Hippiam confeſtim apparavimus. ibi enim plurima erant ſubſellia. Ibi Callias & Alcibiades veniunt, Prodicumque & qui cum eo iſtic erant ſecum adducentes. Poſtquam igitur conſedimus omnes, Repete, o Socrates, inquit Protagoras, his praeſentibus quae me paulo ante pro adoleſcente hoc obſecrabas. Eodem igitur, inquam, exordio, quo ſupra, utamur. Hippocrates hic adhaerere tibi vehementer exoptat: verum quidnam ſit ex hac conſuetudine tua reportaturus, libenter audiret. haec noſtra erat oratio. *Prot.* O adoleſcens, nunquam accedes ad me, quin abeas doctior, ſinguliſque diebus amplius ampliuſque proficies. *So.* Haud mirum hoc, o Protagora: ſic enim convenit: quandoquidem & tu tam grandis natu, tamque ſapiens, ſi quae neſcis ab aliquo diſceres,

νος, βελτίων ἂν γένοιο. ἀλλὰ μὴ οὕτως· ἀλλ' ὥσπερ ἂν εἰ αὐτίκα μεταβαλὼν τὴν ἐπιθυμίαν Ἱπποκράτης ὅδε ἐπιθυμήσειε τῆς συνουσίας τούτου τοῦ νεανίσκου τοῦ νῦν ἐπιδημοῦντος νεωστί, Ζευξίππου τοῦ Ἡρακλεώτου, καὶ ἀφικόμενος παρ' αὐτὸν, ὥσπερ παρά σε νῦν, ἀκούσειεν αὐτοῦ ταυτὰ ταῦτα ἅπερ σοῦ· ὅτι ἑκάσης ἡμέρας ξυνὼν αὐτῷ, βελτίων c.
ἔσαι, καὶ ἐπιδώσει· εἰ αὐτὸν ἐπανέροιτο, Τί δὴ φὴς βελτίω ἔσεσθαι, καὶ εἰς τί ἐπιδώσειν; εἴποι ἂν αὐτῷ Ζεύξιππος, ὅτι πρὸς γραφικήν· κἂν εἰ Ὀρθαγόρᾳ τῷ Θηβαίῳ συγγενόμενος, ἀκούσας ἐκείνου ταυτὰ ταῦτα ἅπερ σοῦ, ἐπανέροιτο αὐτὸν εἰς ὅ, τι βελτίων καθ' ἡμέραν ἔσαι συγγιγνόμενος ἐκείνῳ, εἴποι ἂν ὅτι εἰς αὐλησιν· οὕτω δὴ καὶ σὺ εἰπὲ τῷ νεανίσκῳ, καὶ ἐμοὶ ὑπὲρ τούτου ἐρωτῶντι, Ἱπποκράτης ὅδε Πρωταγόρᾳ d.
συγγενόμενος, ᾗ ἂν ἡμέρᾳ συγγένηται, βελτίων ἄπεισι γενόμενος, καὶ τῶν ἄλλων ἡμερῶν ἑκάσης οὕτως ἐπιδώσει εἰς τί, ὦ Πρωταγόρα, καὶ περὶ τοῦ; Καὶ ὁ Πρωταγόρας ἐμοῦ ταῦτα ἀκουσας, Σύ τε καλῶς, ἔφη, ἐρωτᾷς, ὦ Σώκρατες, καὶ ἐγὼ τοῖς καλῶς ἐρωτῶσι χαίρω ἀποκρινόμενος. Ἱπποκράτης γὰρ παρ' ἐμὲ ἀφικόμενος, οὐ πείσεται ἅπερ ἂν ἔπαθεν

praestantior abires. At vero non id dumtaxat exquirimus. Sed perinde ac si Hippocrates hic mutata sententia versari cum adolescente hoc nuper huc profecto Zeuxippo cuperet, Heracleti filio, eumque eodem quo nunc te pacto aggressus, eadem ex illo quae ex te audiret, videlicet pulchre apud se quotidie profecturum esse, Zeuxippum roget, qua potissimum in re profecturus sit, respondeat utique, In arte pingendi: & Orthagoram Thebanum si conveniat, audiatque ex illo eadem quae abs te audivit, percontetur ex eo, qua in re praestantior quotidie fieret cum illo conversans, In tibiarum sono, Orthagoras respondeat: eodem modo & tu adolescenti huic mihique pro illo petenti responde. Ais enim, Hippocratem, siquidem Protagorae adhaerebit, in dies doctiorem fore. qua tandem in re? declara. Tum Protagoras, Scite interrogas tu quidem, o Socrates: & ego his qui probe interrogant, gaudeo respondere.

ἄλλῳ τῳ σύγγενόμενος τῶν σοφιστῶν. οἱ μὲν γὰρ ἄλλοι λω-
e. βῶνται τοὺς νέους. τὰς γὰρ τέχνας αὐτοὺς πεφευγότας,
ἄκοντας πάλιν ἄγοντες ἐμβάλλουσιν εἰς τὰς τέχνας, λο-
γισμούς τε καὶ ἀστρονομίαν, καὶ γεωμετρίαν, καὶ μουσικὴν
διδάσκοντες· (καὶ ἅμα εἰς τὸν Ἱππίαν ἀπέβλεψε) παρὰ δ' ἐμὲ
ἀφικόμενος, μαθήσεται οὐ περὶ ἄλλου του ἢ περὶ οὗ ἥκει. τὸ
δὲ μάθημα, ἐστὶν εὐβουλία περί τε τῶν οἰκείων, ὅπως ἂν ἄριστα
τὴν αὑτοῦ οἰκίαν διοικοῖ· καὶ περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς
p. πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν. Ἆρ', ἔφην
319 a. ἐγώ, ἕπομαί σου τῷ λόγῳ. δοκεῖς γάρ μοι λέγειν τὴν πολιτι-
κὴν τέχνην, καὶ ὑπισχνεῖσθαι ποιεῖν ἀνδρας ἀγαθοὺς πολίτας.
Αὐτὸ μὲν οὖν τοῦτό ἐστιν, ἔφη, ὦ Σώκρατες, τὸ ἐπάγγελμα
ὃ ἐπαγγέλλομαι. Ἢ καλὸν, ἦν δ' ἐγὼ, τέχνημα ἄρα κέκτη-
σαι, εἴπερ κέκτησαι. οὐ γὰρ ἄλλό τι πρός σε εἰρήσεται ἢ ἅπερ
νοῶ. ἐγὼ γὰρ τοῦτο, ὦ Πρωταγόρα, οὐκ ᾠμην διδακτὸν
b. εἶναι, σοὶ δὲ λέγοντι οὐκ ἔχω ὅπως ἂν ἀπιστῶ. ὅθεν δὲ ἡγοῦ-
μαι αὐτὸ οὐ διδακτὸν εἶναι, μηδ' ὑπ' ἀνθρώπων παρασκευαστὸν

Hippocrates quidem, si mecum versetur, in eum errorem non incidet, in quem procul dubio incidisset cum sophistis aliis conversatus. alii siquidem iuvenibus obsunt. Invitos namque ad eas artes retrahunt, quas fugerant, arithmeticen, astronomiam, geometriam, musicam docentes. & Hippiam simul aspiciens addidit, Quisquis autem ad me venerit, solum id discet, cuius gratia venit: disciplina vero huiusmodi est, prudens in re familiari & republica consultatio, qua quis & domum recte gubernat, & civitatis negotia optime & dicendo transigit, & agendo. *So.* Intelligo quod vis, Protagora. civilem namque artem dicere mihi videris, & profiteri quod cives viros bonos facias. *Prot.* Hoc ipsum est, o Socrates, quod passim praedicas. *So.* O quam praeclarum nactus es artificium! si modo es nactus. nihil enim aliud erga te quam quod sentio proferendum. Id equidem, o Protagora, doceri non posse putaram. tibi tamen autumanti non praestare fidem non possum. Quam vero ob causam neque doceri, neque ab hominibus invi-

ἀνθρώποις, δίκαιός εἰμι εἰπεῖν. ἐγὼ γὰρ Ἀθηναίους, ὥσπερ καὶ
οἱ ἄλλοι Ἕλληνες, φημὶ σοφοὺς εἶναι· ὁρῶ οὖν, ὅταν συλλε-
γῶμεν εἰς τὴν ἐκκλησίαν, ἐπειδὰν μὲν περὶ οἰκοδομίας τι δέῃ
πρᾶξαι τὴν πόλιν, τοὺς οἰκοδόμους μεταπεμπομένους συμ-
βούλους περὶ τῶν οἰκοδομημάτων· ὅταν δὲ περὶ ναυπηγίας, c.
τοὺς ναυπηγούς· καὶ τἄλλα πάντα οὕτως ὅσα ἡγοῦνται μα-
θητά τε καὶ διδακτὰ εἶναι. ἐὰν δέ τις ἄλλος ἐπιχειρῇ αὐτοῖς
συμβουλεύειν ὃν ἐκεῖνοι μὴ οἴωνται δημιουργὸν εἶναι, κἂν
πάνυ καλὸς ᾖ καὶ πλούσιος, καὶ τῶν γενναίων, οὐδέν τι μᾶλ-
λον ἀποδέχονται, ἀλλὰ καταγελῶσι καὶ θορυβοῦσιν, ἕως ἂν
ἢ αὐτὸς ἀποσχῇ ὁ ἐπιχειρῶν λέγειν, καταθορυβηθείς, ἢ οἱ το-
ξόται αὐτὸν ἀφελκύσωσιν, ἢ ἐξαίρωνται, κελευόντων τῶν
πρυτάνεων. περὶ μὲν οὖν ὧν οἴονται ἐν τέχνῃ εἶναι, οὕτω δια-
πράττονται. ἐπειδὰν δέ τι περὶ τῆς πόλεως διοικήσεως δέῃ βου- d.
λεύσασθαι, συμβουλεύει αὐτοῖς ἀνιστάμενος περὶ τούτων ὁμοίως
μὲν τέκτων, ὁμοίως δὲ χαλκεὺς, σκυτοτόμος, ἔμπορος, ναύ-
κληρος· πλούσιος, πένης· γενναῖος, ἀγεννής. καὶ τούτοις οὐδεὶς

cem tradi cenſeam, aequum eſt, arbitror, ut dicam. Equidem, quod & ceteri Graeci teſtantur, Athenienſes viros ſapientes appello. Video igitur, quando concione congregata aliquid de aedificando deliberare vult civitas, aedificatorum conſilium de aedificiis expeti: & cum de navium fabrica, fabros navium accerſiri. idem quoque faciunt in ceteris omnibus, quaecunque doceri & diſci poſſe exiſtimant. Quod ſi quis alius de artis illius opere conſultare pergit, quem eius artis expertem eſſe putant, clariſſimus aliis in rebus ſit licet, ditiſſimuſque & nobiliſſimus, nihilo tamen magis admittunt, ſed exſibilant, exploduntque: quoad vel ipſe tumultu deterritus a dicendo deſiſtat, vel iubentibus magiſtratibus ſpiculatores ipſum aut extrudant protinus, aut transfigant. Id itaque in omnibus ad perceptionem artium pertinentibus obſervare conſueverunt. At cum de publica civitatis adminiſtratione conſultandum eſt, conſulit architectus aeque ac faber aerarius, aeque etiam cerdo, mercator, nauta, dives, pauper, ignobilis, nobilis: neque horum quiſquam quemquam ex-

τοῦτο ἐπιπλήττει, ὥσπερ τοῖς πρότερον, ὅτι οὐδαμόθεν μαθὼν, οὐδὲ ὄντος διδασκάλου οὐδενὸς αὐτῷ, ἔπειτα συμβουλεύειν ἐπιχειρεῖ. δῆλον γὰρ ὅτι οὐχ ἡγοῦνται διδακτὸν εἶναι. μὴ τοίνυν ὅτι τὸ κοινὸν τῆς πόλεως οὕτως ἔχει, ἀλλὰ ἰδίᾳ ἡμῖν οἱ σοφώ-
c. τατοι καὶ ἄριστοι τῶν πολιτῶν ταύτην τὴν ἀρετὴν ἣν ἔχουσιν οὐχ οἷοί τε ἄλλοις παραδιδόναι. ἐπεὶ Περικλῆς, ὁ τουτωνὶ τῶν νεανισκων πατὴρ, τουτους ἃ μὲν διδασκάλων εἶχετο, καλῶς
p. καὶ εὖ ἐπαιδευεν· ἃ δὲ αὐτὸς σοφὸς ἐξιν, οὔτε αὐτὸς παι-
320 a. δεύειν, οὔτε τῳ ἄλλῳ παραδιδωσιν· ἀλλ' αὐτοὶ περιΐοντες νέμονται, ὥσπερ ἄφετοι, ἐάν που αὐτόματοι περιτύχωσι τῇ ἀρετῇ. εἰ δὲ βούλει, Κλεινίαν τὸν Ἀλκιβιάδου τουτονὶ νεώτερον ἀδελφὸν ἐπιτροπεύων ὁ αὐτὸς οὗτος ἀνὴρ Περικλῆς, δεδιὼς περὶ αὐτοῦ μὴ διαφθαρῇ δὴ ὑπὸ Ἀλκιβιάδου, ἀποσπάσας ἀπὸ τούτου, καταθέμενος ἐν Ἀριφρονος ἐπαίδευε· καὶ πρὶν ἐξ μῆνας γεγονέναι, ἀπέδωκε τούτῳ, οὐκ ἔχων ὅ, τι χρήσαιτο
b. αὐτῷ. καὶ ἄλλους σοι παμπόλλους ἔχω λέγειν, οἳ αὐτοὶ ἀγαθοὶ ὄντες, οὐδένα πώποτε βελτίω ἐποίησαν, οὔτε τῶν οἰκείων,

plodit, ut in superioribus contingebat, quasi quod nusquam discatur, nulloque praeceptore percipiatur, consultare audeat. Constat enim, quod doceri posse non putant. Neque publice solum hoc, sed & privatim conspicitur. etenim qui civili sapientia pollent, virtutem hanc in alium transfundere nequeunt. Siquidem Pericles horum adolescentum pater, in his rebus quae sub magistro discuntur, diligenter eos erudivit: in his autem in quibus ipse sapit, neque ipse erudit, neque alteri cuiquam committit erudiendos: sed passim quasi pascentes sine custode pererrant, si forte casu quodam in hanc virtutem incidant. Idem quoque Pericles, cum esset Cliniae tutor fratris Alcibiadis huius minoris natu, illique metueret ab Alcibiade, ne forte consuetudine eius inquinaretur, segregavit eos, & Cliniam apud Ariphronem educavit: sed nondum sex inde mensibus exactis eum illi reddidit, cum quid ille faceret, nesciret. Multos praeterea commemorare possem, qui cum in republica excellentes viri essent, nullum tamen aut propinquorum, aut alienorum

εὔτε τῶν ἀλλοτρίων. ἐγὼ οὖν, ὦ Πρωταγόρα, εἰς ταῦτα ἀποβλέπων, οὐχ ἡγοῦμαι διδακτὸν εἶναι τὴν ἀρετήν· ἐπειδὴ δέ σου ἀκούω ταῦτα λέγοντος, κάμπτομαι, καὶ οἶμαί τί σε λέγειν, διὰ τὸ ἡγεῖσθαί σε πολλῶν μὲν ἔμπειρον γεγονέναι, πολλὰ δὲ μεμαθηκέναι, τὰ δὲ αὐτὸν ἐξευρηκέναι. εἰ οὖν ἔχεις ἐναργέστερον ἡμῖν ἐπιδεῖξαι ὡς διδακτόν ἐστιν ἡ ἀρετὴ, μὴ φθο- c.
νήσῃς, ἀλλ' ἐπίδειξον. Ἀλλ', ὦ Σώκρατες, ἔφη, οὐ φθονήσω. ἀλλὰ πότερον ὑμῖν, ὡς πρεσβύτερος νεωτέροις, μῦθον λέγων ἐπιδείξω, ἢ λόγῳ διεξελθών; Πολλοὶ οὖν αὐτῷ ὑπέλαβον τῶν παρακαθημένων ὁποτέρως βούλοιτο διεξιέναι. Δοκεῖ τοίνυν μοι, ἔφη, χαριέστερον εἶναι, μῦθον ὑμῖν λέγειν. Ἦν γάρ ποτε χρόνος ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν· ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ d.
θεοὶ γῆς ἔνδον, ἐκ γῆς καὶ πυρὸς μίξαντες, καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει. Προμηθέα δὲ παραιτεῖται Ἐπι-

unquam docuerunt. Equidem, o Protagora, dum haec animadverto, virtutem doceri posse diffido. Contra vero dum te audio haec asserentem, sententiam mutare cogor, & quae dicis haudquaquam arbitror contemnenda, existimans te & multarum rerum peritum esse, & pleraque tum didicisse, tum per teipsum reperisse. Ergo si potes clarius ostendere nobis, quod virtus doctrina aliqua comparetur, ostende obsecro, nec invideas. *Prot.* Haud invidebo, o Socrates. Sed utrum vobis tanquam senior iunioribus fabulam referam? an prosequar disputando? Tunc sane assidentium plurimi, utcunque mallet, dicere concesserunt. *Prot.* Gratiorem vobis fore fabulam arbitror. Olim quandoque dii soli erant, nulla vero mortalium genera. Sed cum tempus generationis fatale venisset, ipsa dii in terrae visceribus ex igni terraque finxerunt, intervenientibus iis, quae igni terraeque miscentur. Cum vero educere illa in lucem vellent, Prometheo Epimetheoque mandarunt, ut suas cuique vires & ornatum, prout deceret, distribuerent. Pro-

μηθεὺς αὐτὸς νεῖμαι· Νείμαντος δέ μου, ἔφη, ἐπίσκεψαι. καὶ
e. οὕτω πείσας, νέμει. νέμων δὲ, τοῖς μὲν ἰσχὺν ἄνευ τάχους
προσῆπτε, τοὺς δ' ἀσθενεστέρους τάχει ἐκόσμει· τοὺς δὲ ὥπλιζε,
τοῖς δ' ἄοπλον διδοὺς φύσιν, ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο
δύναμιν εἰς σωτηριαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἥμπισχε,
πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ἠῦξε μεγέθει,
p. τῷ δὲ αὐτῷ αὐτὰ ἔσωζε· καὶ τἄλλα οὕτως ἐπανισῶν ἔνεμε.
321 a. ταῦτα δὲ ἐμηχανᾶτο, εὐλάβειαν ἔχων μή τι γένος ἀϊῤῥωθείη.
ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς
τὰς ἐκ Διὸς ὥρας εὐμαρίαν ἐμηχανᾶτο, ἀμφιεννὺς αὐτὰ
πυκναῖς τε θριξὶ καὶ ῥωεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι
χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα· καὶ εἰς εὐνὰς ἰοῦσιν
ὅπως ὑπάρχῃ τὰ αὐτὰ ταῦτα ῥωμνὴ οἰκεία τε καὶ αὐτο-
b. φυὴς ἑκάῤῥῳ. καὶ ὑπὸ ποδῶν τὰ μὲν, ὁπλαῖς, τὰ δὲ, θριξὶ
καὶ δέρμασι στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις
ἄλλας ἐξεπόριζε· τοῖς μὲν, ἐκ γῆς βοτάνην, ἄλλοις δὲ, δέν-

metheum itaque rogavit Epimetheus, ut distributionis illius munus sibi concederet, distribuenti spectatorem se praeberet. Consensit Prometheus: distribuit ille. Quibusdam igitur robur absque celeritate dedit, quibusdam imbecillioribus velocitatem donavit: armavit nonnulla, inermibus autem aliud quoddam ad salutem machinamentum excogitavit. Quae enim exiguo corpore clauserat, partim per aërem pennis attolli, partim per terram subrepere iussit: quae vero in molem amplam auxerat, ea ipsa mole ad salutem suam munivit: similiterque in ceteris exaequans partitus est singula, adeo ut nullum genus penitus obscuraretur. Postquam ita instruxit, ut ne mutua populatione perirent, excogitare iam coepit suffugia, qua ratione quam facillime sub divo agere vitam possent. Itaque illa vel pilis confertissimis setisque, vel durissimis pellibus vestivit, quibus facile tum hiemis, tum aestus intemperiem tolerarent: & naturalia illis stramenta iisdem ex rebus cubiliaque paravit: pedibusque soleas addidit, ungulas, setas, callum, pelles itidem quam durissimas. Deinde alimenta aliis alia sup-

δρων καρπους, τοῖς δὲ, ῥίζας· ἔσι δ' οἷς ἔδωκεν εἶναι τροφὴν, ζώων ἄλλων βοράν. καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων, πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τοι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς, ἔλαθεν αὐτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα. λοιπὸν δὴ ἔτι ἀκόσμητον αὐτῷ ἦν τὸ τῶν ἀνθρώπων γένος, καὶ c. ἠπόρει ὅ, τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν· καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον, γυμνόν τε καὶ ἀνυπόδητον, καὶ ἄστρωτον καὶ ἄοπλον. ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἐδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεὺς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν d. πυρὶ (ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι) καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. τὴν μὲν οὖν

peditavit, quibusdam ex terra herbas, nonnullis arborum fructus, radices aliis. nec defuerunt, quibus daret e mutuo laniatu victum. Ceterum voracibus animalibus genus quodammodo sterile: ceteris autem, quae illorum ferocitati obnoxia sunt, foecundum dedit, ut hoc modo genus conservaretur. Cum vero non esset admodum sapiens Epimetheus, vires omnes insscius effudit in bruta: (neque advertit nihil ex tanta sibi elargitione superfore, quo genus nostrum deinde donaret.) Restabat ergo hominum genus immune & vacuum: itaque quo se verteret dubitabat. Dubitanti Prometheus adstitit partitionis illius spectator, viditque cetera animalia suis quaeque fulta muneribus bonisque referta, hominem autem nudum, inermem, calceorum, stramentorumque indigum. Iam vero imminebat fatalis ipse dies, qui hominem ex terra in lucem exire cogebat. Cumque aliam salutis humanae viam consultans Prometheus non inveniret, surripuit Vulcani Minervaeque artificiosam pariter cum igne sapientiam. neque enim fieri poterat, ut eam sine igne nancisceretur quis, vel etiam uteretur. Eam itaque sic hominum generi Prometheus intulit: atque ita sapientiam quae

περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε· τὴν δὲ πολιτικὴν
οὐκ εἶχεν. ἦν γὰρ παρὰ τῷ Διΐ. τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν
ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν
(πρὸς δὲ, καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν) εἰς δὲ τὸ τῆς
e. Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινὸν, ἐν ᾧ ἐφιλοτεχνείτην,
λαθὼν εἰσέρχεται· καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν
τοῦ Ἡφαίστου, καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς, δίδωσιν ἀν-
θρώπῳ· καὶ ἐκ τούτου, εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνε-
p. ται· Προμηθέα δὲ δι' Ἐπιμηθέα ὕστερον, ἥπερ λέγεται, κλοπῆς
322 δίκη μετῆλθεν. ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας,
a. πρῶτον μὲν, διὰ τὴν τοῦ θεοῦ συγγένειαν, ζώων μόνον θεοὺς
ἐνόμισε· καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα
θεῶν. ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχ-
νῃ· καὶ οἰκήσεις, καὶ ἐσθῆτας, καὶ ὑποδέσεις, καὶ στρωμνὰς,
καὶ τὰς ἐκ γῆς τροφὰς εὗρετο. οὕτω δὴ παρεσκευασμένοι κατ'
b. ἀρχὰς ἄνθρωποι, ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν. ἀπώλ-
λυντο οὖν ὑπὸ τῶν θηρίων, διὰ τὸ παντα χῇ αὐτῶν ἀσθενέστε-
ροι εἶναι. καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν

victum suppeditat consecuti sumus. Deerat hominibus adhuc sapientia civilis. Erat illa quidem apud Iovem: cuius arcem ascendere Prometheo nondum licebat. horribiles Iovis arcem circumstantes custodes Prometheum deterrebant. Ceterum communem Vulcani Minervaeque officinam, in qua artes excolebantur, clam ingressus furatus est igneam Vulcani artem, aliamque Minervae, atque homini tradidit: qua vivendi facultas obvenit. Prometheus autem, ut fertur, propter Epimetheum furti poenas dedit. Quoniam vero homo divinae sortis particeps effectus est, principio solus ob hanc cognationem deos esse putavit, arasque illis statuasque dicavit. deinde vocem & verba articulatim arte distinxit, aedes construxit, vestes calceosque confecit, stragulas elaboravit, ex terra alimenta collegit. Ita homines ab initio constituti sparsim vagabantur habitantque: nam urbes nondum construxerant. Ergo a feris, cum imbecilliores essent, passim laniabantur. artium enim facul-

ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής. πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. ἐζήτουν δὲ ἀθροίζεσθαι καὶ σώζεσθαι, κτίζοντες πόλεις. ὅτ' οὖν ἀθροισθείεν, ἠδίκουν ἀλλήλους, ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην· ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει c.
ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς, διὰ τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις. Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν, πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί. καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις; ἢ ἐπὶ πάντας νείμω; Ἐπὶ πάντας, ἔφη ὁ Ζεύς· καὶ πάντες d.
μετεχόντων. οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν, ὥσπερ ἄλλων τεχνῶν. καὶ νόμον γε θὲς παρ' ἐμοῦ,

tas ad victum comparandum sufficiens erat, ad pugnam vero contra bestias truculentas minime. Civilis namque peritiae, cuius pars quaedam est res militaris, expertes erant. Ut igitur se adversus eam pestem munirent, structis urbibus congregati sunt. Congregati autem invicem iniuriabantur, quippe qui civili arte carerent. quare dispersi iterum a feris lacerabantur. Verum Iupiter, humanae saluti consulens, Mercurium misit, pudorem & iustitiam hominum coetibus illaturum, ut duo haec civitates ornarent devincirentque, & mutua benevolentia cives conciliarent. Interrogavit ergo Mercurius, qua conditione pudorem & iustitiam hominibus traderet. Num, inquit, ut artes distributae sunt, sic & has distribuam? illae siquidem ita distributae sunt, ut unus in arte medicinae peritus pro rudibus multis sufficiat, ceterique artifices similiter. numquid ita pudorem & iustitiam hominibus dabo? an omnibus inseram? Omnibus, respondit Iupiter: omnes siquidem horum participes sunto. neque enim civitates ullae constarent, si pauci quidam, ut artium aliarum, sic horum participes essent. Legem praeterea meo nomine condas, qua quisquis omnino vel iusti-

τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν, κτείνειν ὡς
νόσον πόλεως. οὕτω δὴ, ὦ Σώκρατες, καὶ διὰ ταῦτα οἵ τε
ἄλλοι καὶ Ἀθηναῖοι ὅταν μὲν περὶ ἀρετῆς τεκτονικῆς ἢ λό-
γος, ἢ ἄλλης τινὸς δημιουργικῆς, ὀλίγοις οἴονται μετεῖναι
συμβουλῆς· καὶ ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων συμβουλεύῃ,
e. οὐκ ἀνέχονται, ὡς σὺ φῄς· (εἰκότως, ὡς ἐγὼ φημι) ὅταν
δὲ εἰς συμβουλὴν πολιτικῆς ἀρετῆς ἴωσιν, ἣν δεῖ διὰ δικαιο-
p. σύνης πᾶσαν ἰέναι καὶ σωφροσύνης, εἰκότως ἅπαντος ἀνδρὸς
323 ἀνέχονται· ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρε-
a. τῆς, ἢ μὴ εἶναι πόλεις. αὕτη, ὦ Σώκρατες, τούτου αἰτία.
ἵνα δὲ μὴ οἴῃ ἀπατᾶσθαι ὡς τῷ ὄντι ἡγοῦνται πάντες ἀν-
θρωποι πάντα ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς ἄλλης
πολιτικῆς ἀρετῆς, τόδε αὖ λάβε τεκμήριον. ἐν γὰρ ταῖς ἄλ-
λαις ἀρεταῖς, ὥσπερ σὺ λέγεις, ἐάν τις φῇ ἀγαθὸς αὐλητὴς
εἶναι, ἢ ἄλλην ἡντινοῦν τέχνην ἣν μή ἐστιν, ἢ καταγελῶσιν,
b. ἢ χαλεπαίνουσι, καὶ οἱ οἰκεῖοι προσιόντες νουθετοῦσιν ὡς μαι-
νόμενον· ἐν δὲ δικαιοσύνῃ καὶ ἐν τῇ ἄλλῃ πολιτικῇ ἀρετῇ, ἐάν

tiae vel pudoris est expers, tanquam civitatis pestis quaedam ultimo supplicio afficiatur. Hac de causa, o Socrates, tam alii omnes, quam Athenienses, quotiescunque de architectura, vel alio quodam opificio, habendus sermo est, paucos ad consilium adhibent; ceteros autem imperitos excludunt, ut & tu ais, & ego approbo. Quoties autem de civili administratione concilium initur, quae virtus temperantia & iustitia constat, iure unumquemque admittunt: quippe cum oporteat omnes huius virtutis esse participes, aut civitates nullas existere. Haec, o Socrates, eius de quo dubitabatur est causa. Sed ne te decipi suspiceris, hanc insuper accipe coniecturam, quod scilicet omnes mortales mortalem omnem virtutis huius civilis participem esse putent, temperantiae scilicet & iustitiae. Nam in ceteris facultatibus, ut tu ais, si quis se iactet, puta quod tibicen optimus sit, cum tamen in eo ipse sit rudis, audientes hunc aut rident, aut ei indignantur: propinqui vero ut insanum admonent, & increpant. Contra vero in iustitia & alia civili virtute

τινα καὶ εἰδῶσιν ὅτι ἄδικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ τἀληθῆ λέγῃ ἐναντίον πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι, τἀληθῆ λέγειν, ἐνταῦθα μανίαν· καὶ φασὶ πάντας δεῖν φάναι εἶναι δικαίους, ἐάν τε ὦσιν, ἐάν τε μή· ἢ μαίνεσθαι τὸν μὴ προσποιούμενον δικαιοσύνην· ὡς ἀναγκαῖον οὐδένα ὄντιν' οὐχὶ ἀμῶς γέπως μετέχειν αὐτῆς, ἢ μὴ εἶναι ἐν ἀνθρώ- c3
ποις. ὅτι μὲν οὖν πάντ' ἄνδρα εἰκότως ἀποδέχονται περὶ ταύτης τῆς ἀρετῆς συμβουλον, διὰ τὸ ἡγεῖσθαι παντὶ μετεῖναι αὐτῆς, ταῦτα λέγω. Ὅτι δὲ αὐτὴν οὐ φύσει ἡγοῦνται εἶναι, οὐδ' ἀπὸ τοῦ αὐτομάτου, ἀλλὰ διδακτόν τε καὶ ἐξ ἐπιμελείας παραγιγνεσθαι ᾧ ἂν παραγίγνηται, τοῦτό σοι μετὰ τοῦτο πειράσομαι ἀποδεῖξαι. ὅσα γὰρ ἡγοῦνται ἀλλήλους κακὰ ἔχειν ἄνθρωποι φύσει ἢ τύχῃ, οὐδεὶς θυμοῦται, οὐδὲ d1
νουθετεῖ, οὐδὲ διδάσκει, οὐδὲ κολάζει τοὺς ταῦτα ἔχοντας, ἵνα μὴ τοιοῦτοι ὦσιν· ἀλλ' ἐλεοῦσιν. οἷον, τοὺς αἰσχροὺς, ἢ σμικροὺς, ἢ ἀσθενεῖς, τίς οὕτως ἀνόητος ὥστέ τι τούτων ἐπιχειρεῖν ποιεῖν; ταῦτα μὲν γὰρ ἴσασιν, οἶμαι, ὅτι φύσει τε

contingit. nam licet sciant aliqui quempiam iniustum esse, tamen si ille hoc coram nescientibus fateatur, insanire eum existimant, neque patefaciendam censent iniquitatem, immo semper, sive ea praeditus sit, sive non, iustitiam ostentandam: eum vero, qui non simulat iustitiam, delirare: tanquam oporteat unumquemque aut civilis virtutis participem esse, aut ex hominum coetu vitaque exterminari. Ex his sufficienter ostensum puto, quod merito quemlibet de re civili consultorem admittunt, quia virtutis huius compotem quemlibet esse censent. Quod autem virtutem neque innasci, neque sorte contingere putent, sed doctrina & studio comparari, deinceps tibi conabor ostendere. Nemo ob ea mala, quae vel natura vel casu accidisse putat, cuiquam succenset: nec obiurgat, nec edocet, nec punit eos, qui hisce malis premuntur, ne tales sint: sed omnes potius miseremur, ceu deformes, parvos, valetudinarios homines. nam quis adeo demens sit, ut tales castigare tentet? intelligunt enim, ut arbitror, omnes, haec mala, eorum-

καὶ τύχη τοῖς ἀνθρώποις γίγνεται, τὰ καλὰ καὶ τὰ ἐναντία
τούτοις. ὅσα δὲ ἐξ ἐπιμελείας καὶ ἀσκήσεως καὶ διδαχῆς
e. εἴονται γίγνεσθαι ἀγαθὰ ἀνθρώποις, ἐάν τις ταῦτα μὴ ἔχῃ,
ἀλλὰ τἀναντία τούτων κακά, ἐπὶ τούτοις που οἵ τε θυμοὶ
γίγνονται, καὶ αἱ κολάσεις καὶ αἱ νουθετήσεις. ὧν ἐστιν ἓν καὶ
ἡ ἀδικία, καὶ ἡ ἀσέβεια, καὶ συλλήβδην πᾶν τὸ ἐναντίον τῆς
p. πολιτικῆς ἀρετῆς. ἔνθεν δὴ πᾶς παντὶ θυμοῦται, καὶ νουθετεῖ
324 δηλονότι, ὡς ἐξ ἐπιμελειας καὶ μαθήσεως κτητῆς οὔσης. εἰ
a. γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρατες, τοὺς ἀδικοῦν-
τας, τί ποτε δύναται, αὐτό σε διδάξει ὅτι οἵ γε ἄνθρωποι
ἡγοῦνται παρασκευαστὸν εἶναι ἀρετήν. οὐδεὶς γὰρ κολάζει τοὺς
ἀδικοῦντας, πρὸς τοῦτῳ τὸν νοῦν ἔχων, καὶ τούτου ἕνεκα ὅτι
b. ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται. ὁ δὲ
μετὰ λόγου ἐπιχειρῶν κολάζειν, οὐ τοῦ παρεληλυθότος ἕνεκα
ἀδικήματος τιμωρεῖται (οὐ γὰρ ἂν τόγε πραχθὲν ἀγένητον
θείη) ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ
μήτε αὐτὸς οὗτος, μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα.
καὶ τοιαύτην διάνοιαν ἔχων, διανοεῖται παιδευτὴν εἶναι ἀρε-

que contraria, natura hominibus fortunaque provenire. Contra vero cum mala quaedam cuiquam vel ſtudio vel conſuetudine & doctrina parta exiſtimant, tunc indignantur, increpant, atque puniunt. quorum de numero iniquitas eſt, & impietas, ac ſummatim quidquid civili virtuti repugnat. quae idcirco quiſque paſſim damnat, corripitque, quod ex induſtria diſciplinaque, tam pravitas, quam civilis illa virtus, proficiſcatur. Si enim conſiderare volueris, Socrates, iniuſtos punire quam vim habeat, ex eo quoque intelliges, quod homines virtutem ſtudio parari putant. Nemo enim praeteriti gratia punit, & ea mente iniuſtos affligit poenis, quia iniuriati ſunt: niſi quis tanquam brutum abſque ratione percutiat. verum qui cum ratione punire aggreditur, non praeteriti ſceleris cauſa punit: (neque enim aſſequi poteſt, ut quod eſt factum ſit infectum:) ſed futurum reſpicit, ne iterum aut ipſe, aut alius quilibet exemplo eius adductus delinquat. Quisquis autem hoc propoſito cenſuraque

τήν. ἀποτροπῆς γοῦν ἕνεκα κολάζει. ταύτην οὖν τὴν δόξαν
πάντες ἔχουσιν ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ. τι- c.
μωροῦνται δὲ καὶ κολάζονται οἵ τε ἄλλοι ἄνθρωποι οὓς ἂν
οἴωνται ἀδικεῖν, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι, οἱ σοὶ πολῖται·
ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγου-
μένων παρασκευαστὸν εἶναι καὶ διδακτὸν ἀρετήν. ὡς μὲν οὖν
εἰκότως ἀποδέχονται οἱ σοὶ πολῖται καὶ χαλκέως καὶ σκυτο-
τόμου συμβουλεύοντος τὰ πολιτικά, καὶ ὅτι διδακτὸν καὶ
παρασκευαστὸν ἡγοῦνται ἀρετήν, ἀποδέδεικταί σοι, ὦ Σώκρα- d.
τες, ἱκανῶς, ὡσγέ μοι φαίνεται. Ἔτι δὴ λοιπὴ ἀπορία ἐστὶν,
ἣν ἀπορεῖς, περὶ τῶν ἀνδρῶν τῶν ἀγαθῶν· τί δή ποτε οἱ ἄν-
δρες οἱ ἀγαθοὶ τὰ μὲν ἄλλα τοὺς αὑτῶν υἱεῖς διδάσκουσιν ἃ
διδασκάλων ἔχεται, καὶ σοφοὺς ποιοῦσιν· ἣν δὲ αὐτοὶ ἀρετὴν
ἀγαθοὶ, οὐδενὸς βελτίους ποιοῦσι. τούτου δὴ πέρι, ὦ Σώκρα-
τες, οὐκέτι μῦθόν σοι ἐρῶ, ἀλλὰ λόγον. ὧδε γὰρ ἐννόησον·
πότερον ἔστι τι ἓν ἢ οὐκ ἔστιν, οὗ ἀναγκαῖον πάντας τοὺς πο- e.

eiusmodi animadvertit in errata, doctrina virtutem existimat posse comparari: nam absterrendi causa plectit. Hac mente opinioneque ad plectendum accedunt tam publice quam privatim, quicunque in peccantes animadvertunt. Condemnant autem puniuntque cum ceteri omnes, eos quos iudicant peccatores, tum maxime cives tui Athenienses. Quamobrem Athenienses quoque ex hac ratione in eorum numero esse constat, qui doceri virtutem putant. Ex his aperte, ut arbitror, monstratum est, o Socrates, non iniuria cives tuos in civili administratione consilium aerarii fabri coriariique non respuere, atque eos, doctrina & studio per exercitationem adquiri posse virtutem, existimare. Restat dubitatio illa, quam de viris virtute claris movebas, Quam ob causam filios illi suos in omnibus quae praeceptore consequi licet, erudiunt: quod vero ad paternam virtutem spectat, nihilo ceteris meliores reddunt. Ad hoc rationem, o Socrates, non fabulam afferam. Sic enim cogita, Utrum est unum aliquid, aut non, cuius necesse sit cives omnes esse participes, si modo constare civitas debeat.

λίτας μετέχειν, εἴπερ μέλλει πόλις εἶναι. ἐν τούτῳ γὰρ αὕτη
λύεται ἡ ἀπορία ἣν σὺ ἀπορεῖς, ἢ ἄλλοθι οὐδαμοῦ. εἰ μὲν γάρ
ἐστι, καὶ τοῦτό ἐστι τὸ ἓν, οὐ τεκτονικὴ, οὐδὲ χαλκεία, οὐδὲ
p. κεραμεία, ἀλλὰ δικαιοσύνη καὶ σωφροσύνη, καὶ τὸ ὅσιον εἶναι,
325 a. καὶ συλλήβδην ἓν αὐτὸ προσαγορεύω εἶναι ἀνδρὸς ἀρετήν· εἰ
τοῦτ' ἐστὶν οὗ δεῖ πάντας μετέχειν, καὶ μετὰ τούτου πάντ'
ἄνδρα, ἐάν τι καὶ ἄλλο βούληται μανθάνειν, ἢ πράττειν, οὕ-
τω πράττειν· ἄνευ δὲ τούτου μή. ἢ τὸν μὴ μετέχοντα καὶ
διδάσκειν καὶ κολάζειν, καὶ παῖδα καὶ ἄνδρα, καὶ γυναῖκα,
ἕωσπερ ἂν κολαζόμενος, βελτίων γένηται. ὃς δ' ἂν μὴ ὑπα-
κούῃ κολαζόμενος καὶ διδασκόμενος, ὡς ἀνίατον ὄντα τοῦτον
b. ἐκβάλλειν ἐκ τῶν πόλεων, ἢ ἀποκτείνειν. εἰ οὕτω μὲν ἔχει,
οὕτω δ' αὐτοῦ πεφυκότος, οἱ ἀγαθοὶ ἄνδρες εἰ τὰ μὲν ἄλλα
διδάσκονται τοὺς υἱεῖς, τοῦτο δὲ μή, σκέψαι ὡς θαυμασίως
γίγνονται οἱ ἀγαθοί. ὅτι μὲν γὰρ διδακτὸν αὐτὸ ἡγοῦνται
καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἀπεδείξαμεν. διδακτοῦ δὲ ὄντος καὶ
θεραπευτοῦ, τὰ μὲν ἄλλα ἆρα τοὺς υἱεῖς διδάσκονται, ἐφ' οἷς
οὐκ ἔστι θάνατος ἡ ζημία ἐὰν μὴ ἐπίστωνται; ἐφ' ὧν δὲ ἡ τε

Ita enim haec tua dubitatio ſolvitur, aliter vero minime. Si unum hoc exſtat, neque eſt architectorum, neque aerariorum artificum, neque figulorum opificium, ſed iuſtitia, temperantia, ſanctitas, &, ut paucis comprehendam, viri propria virtus: ſi hoc eſt, inquam, cuius participes eſſe oportet omnes, & cum hoc diſcere & agere quodcunque placeat aliud; absque hoc nequaquam: expertem vero huius doceri, corripique & puerum, & virum, & mulierem, quoad correptione melior efficiatur: ſi quis autem non paruerit punitus & doctus, eum tanquam inſanabilem e civitatibus pelli vel interfici: ſi ita eſt, inquam, ut diximus, virique praeſtantes in republica cives, in ceteris quidem erudiunt filios, in hoc vero nequaquam, adverte, quam mirabiliter in eo excellentes evadant. quod enim doceri poſſe tam privatim quam publice opinantur, oſtendimus. Cum vero & doctrina & cura acquiri hoc poſſit, alia filios docent, in quibus non eſt adverſus neſcientes mortis poena

ζημία θάνατος αὐτῶν τοῖς παισὶ, καὶ φυγαὶ, μὴ μαθοῦσι μηδὲ θεραπευθεῖσιν εἰς ἀρετὴν, καὶ πρὸς τῷ θανάτῳ χρημάτων τε δημεύσεις, καὶ, ὡς ἔπος εἰπεῖν, ξυλλήβδην τῶν οἴκων ἀνατροπαὶ, ταῦτα δ' ἄρα οὐ διδάσκονται, οὐδ' ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν; οἴεσθαί γε χρὴ, Σώκρατες, ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρις οὗπερ ἂν ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν, ἐπειδὰν θᾶττον συνίῃ τις τὰ λεγόμενα· καὶ τροφὸς καὶ μήτηρ, καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται, ὅπως ὡς βέλτιστος ἔσαι ὁ παῖς· παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι ὅτι τὸ μὲν, δίκαιον· τὸ δὲ, ἄδικον· καὶ τόδε μὲν, καλὸν, τόδε δὲ, αἰσχρόν· καὶ τόδε μὲν, ὅσιον· τόδε δὲ, ἀνόσιον. καὶ, τάδε μὲν ποιει, τάδε δὲ μὴ ποιει. καὶ ἐὰν μὲν ἑκὼν πείθηται· εἰ δὲ μὴ, ὥσπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον, εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς. μετὰ δὲ ταῦτα εἰς διδασκάλων πέμποντες, πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθαρίσεως. οἱ δὲ διδάσκαλοι c. d. e.

propoſita: in quibus autem mulcta eſt mors ipſorum liberis, & exſilia, qui neque eruditi ſunt, neque ad virtutem exculti, & praeter mortem bonorum publicationes, & in ſumma, familiarum everſiones, haec non docent, neque omnem diligentiam ſtudiumque adhibent. Exiſtimare enim decet, o Socrates, a teneris annis uſque ad vitae finem erudiri eos atque moneri. Nam cum primum puer quae dicuntur intelligit, nutrix, mater, paedagogus, pater, ad hoc omni cura ſtudioque contendunt, ut in ſingulis tum verbis, tum operibus optimus puer evadat. ſigillatim enim monſtrant quid iuſtum, quid iniuſtum; quid honeſtum, quid turpe; quid ſanctum, quidve profanum ſit; quae agenda, quae non. quibus ſi obtemperat puer, bene ſecum agi putant: ſin renititur, tum veluti contortum obliquumque lignum minis plagisque dirigunt. Poſthaec ludimagiſtris pueros curandos tradunt, morumque bonorum diligentiam multo magis, quam literarum citharaeque doctrinam, a magiſtris expoſcunt. praeceptores autem ſuſceptos curant &

τούτων τε ἐπιμελοῦνται, καὶ ἐπειδὰν αὖ γράμματα μάθωσι, καὶ μέλλωσι συνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε τὴν φωνὴν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγινώσκειν ποιητῶν ἀγαθῶν ποιήματα, καὶ ἐκμανθάνειν ἀναγκάζουσιν· ἐν
p. οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισι, πολλαὶ δὲ διέξοδοι καὶ
326 ἔπαινοι, καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν· ἵνα ὁ παῖς
a. ζηλῶν μιμῆται, καὶ ὀρέγηται τοιοῦτος γενέσθαι. οἵ τ' αὖ κιθαρισταὶ, ἕτερα τοιαῦτα, σωφροσύνης τε ἐπιμελοῦνται, καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι. πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες· καὶ τοὺς
b. ῥυθμούς τε καὶ τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵνα ἡμερώτεροί τε ὦσι, καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι, χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν. πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται. ἔτι τοίνυν πρὸς τούτοις εἰς παιδοτρίβου πέμπουσιν, ἵνα τὰ σώματα βελτίω ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ οὔσῃ, καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν

excolunt. Et literas ubi didicerunt, ad ſcriptaque intelligenda convertuntur, poëtarum in primis excellentium opera illis legenda ediſcendaque proponunt, quibus monita quamplurima inſunt, priſcorumque virorum virtute praeſtantium geſta laudantur, ut puer aemulatione accenſus praeclara maiorum facinora imitetur. Citharistae quoque tum aliis quibusdam huiusmodi, tum praeſertim temperantiae ſtudent, caventque ne quid perperam adoleſcentes agant. Atque ubi pulſare iam citharam didicerunt, rurſus poëtarum aliorum modulatione praeſtantium cantilenas docent, quas ad citharam canant: rhythmosque & harmonias puerorum animis conciliare conantur, ut mitiores modeſtioresque & concinniores effecti, & ad agendum utiles ſint, & ad dicendum. Omnis enim hominis vita numeroſa quadam indiget conſonantia. Poſt haec ad gymnaſiorum magiſtros parentes filios mittunt, ut firmum aptumque adepti corporis habitum, optimae menti ſuggerant miniſte-

διὰ τὴν πονηρίαν τῶν σωμάτων, καὶ ἐν τοῖς πολέμοις καὶ ἐν c.
ταῖς ἄλλαις πράξεσι. καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνά-
μενοι· μάλιστα δὲ δύνανται οἱ πλουσιώτατοι. καὶ οἱ τούτων
υἱεῖς, πρωϊαίτατα εἰς διδασκαλίαν τῆς ἡλικίας ἀρξάμενοι
φοιτᾷν, ὀψιαίτατα ἀπαλλάττονται. ἐπειδὰν δὲ ἐκ διδασκά-
λων ἀπαλλαγῶσιν, ἡ πόλις αὖ τούς τε νόμους ἀναγκάζει
μανθάνειν καὶ κατὰ τούτους ζῆν κατὰ παράδειγμα, ἵνα μὴ
αὐτοὶ ἐφ' αὑτῶν εἰκῇ πράττωσιν· ἀλλ' ἀτεχνῶς, ὥσπερ οἱ d.
γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων, ὑπο-
γράψαντες γραμμὰς τῇ γραφίδι, οὕτω τὸ γραμμάτιον δι-
δόασι, καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν
γραμμῶν· ὡς δὲ καὶ ἡ πόλις νόμους ὑπογράψασα, ἀγαθῶν
καὶ παλαιῶν νομοθετῶν εὑρήματα, κατὰ τούτους ἀναγκάζει
καὶ ἄρχειν καὶ ἄρχεσθαι· ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει·
καὶ ὄνομα τῇ κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολλα-
χοῦ, ὡς εὐθυνούσης τῆς δίκης, εὐθύναι. τοσαύτης οὖν τῆς ἐπι- e.
μελείας οὔσης περὶ ἀρετῆς ἰδίᾳ καὶ δημοσίᾳ, θαυμάζεις, ὦ
Σώκρατες, καὶ ἀπορεῖς εἰ διδακτόν ἐστιν ἀρετή; ἀλλ' οὐ χρὴ

rium; ne fragilitate corporum impediti, in bellis, aliisque actionibus reformidare cogantur. Haec nempe obſervant maxime ii, qui maxime poſſunt. poſſunt autem maxime opulentiſſimi viri, eorumque filii, qui primi diſciplinarum ſcholas ingreſſi, noviſſimi exeunt. Scholis autem egreſſi, a magiſtratibus leges iuraque diſcere, eorumque exemplo vivere coguntur: ne quid ipſi proprio ingenio freti temere agant: ſed quemadmodum literarum magiſtri pueris adhuc ſcribendi ignaris, calamo exemplar quoddam praeſcribunt, & libellum tradunt, iubentque literarum ductum ſcribendo imitari: ita civitas leges praeſcribens priſcorum hominum in legibus ferendis prudentiſſimorum inventa, ad earum normam imperare cogit quemlibet & parere. Eos autem qui migrant, punit: punitioque huiusmodi & apud vos, & apud alios multos, quaſi iuſtitia dirigat, directiones, id eſt, εὐθύναι vocantur. Cum igitur talis tantaque ſit virtutis tam privatim quam publice cura, an dubitas adhuc, o

θαυμάζειν, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ διδακτόν. διὰ τί οὖν
τῶν ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς φαῦλοι γίγνονται; τοῦτο
αὖ μαθε. οὐδὲν γὰρ θαυμαστόν εἰπερ ἀληθῆ ἐγὼ ἐν τοῖς ἔμ-
προσθεν ἔλεγον, ὅτι τούτου τοῦ πράγματος, τῆς ἀρετῆς, εἰ
p. μέλλει πόλις εἶναι, οὐδένα δεῖ ἰδιωτεύειν. εἰ γὰρ δὴ ὃ λέγω
327 οὕτως ἔχει (ἔχει δὲ μάλιστα πάντων οὕτως) ἐνθυμήθητι, ἄλ-
a. λο τῶν ἐπιτηδευμάτων ὁτιοῦν καὶ μαθημάτων προελόμενος.
εἰ μὴ οἷόντ' ἦν πόλιν εἶναι εἰ μὴ πάντες αὐληταὶ ἦμεν, ὁποῖός
τις ἐδύνατο ἕκαστος, καὶ τοῦτο ἰδίᾳ καὶ δημοσίᾳ πᾶς πάντα
καὶ ἐδίδασκε, καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα, καὶ μὴ
ἐφθόνει τούτου ὥσπερ νῦν τῶν δικαίων καὶ τῶν νομίμων οὐδεὶς
φθονεῖ, οὐδ' ἀποκρύπτεται, ὥσπερ τῶν ἄλλων τεχνημάτων.
b. λυσιτελεῖ γὰρ, οἶμαι, ἡμῖν ἡ ἀλλήλων δικαιοσύνη καὶ ἀρετή.
διὰ ταῦτα πᾶς παντὶ προθύμως λέγει καὶ διδάσκει καὶ τὰ
δίκαια καὶ τὰ νόμιμα. εἰ οὖν οὕτω καὶ ἐν αὐλήσει πᾶσαν προ-
θυμίαν καὶ ἀφθονίαν εἴχομεν ἀλλήλους διδάσκειν, οἴει ἄν τι,

Socrates, mirarisque si virtus doceri queat? Neque vero mirari hoc quisquam debet, immo multo magis si doceri non possit. Quam igitur ob causam bonorum patrum filii mali reperiuntur? Hoc discito. neque hoc mirum videri debet, si vera sunt quae dixi, videlicet virtutis curam non ad unum aliquem dumtaxat, sed ad omnes spectare oportere, si modo consistere civitas debeat. Si autem ita est, ut loquor, immo certe cum ita sit, elige atque considera quamvis aliarum facultatum & doctrinarum: ut puta si non posset consistere civitas, nisi tibicines omnes essemus, qualiscunque esse quilibet posset, nonne hoc quilibet privatim & publice unumquemque doceret, huiusque ignarum sine invidiae livore corriperet? quemadmodum nunc quae iusta & legitima sunt, quilibet sine invidia praedicat, neque haec, ut alia, celat. prodest enim nobis, opinor, communis iustitia virtusque: atque idcirco omnes omnibus quae iusta & legitima sunt, libentissime monstrant. Si ergo in tibiarum flatibus eadem animi alacritate caritateque invicem nos erudiremus, num optimorum tibicinum filii

ἔφη, μᾶλλον, ὦ Σώκρατες, τῶν ἀγαθῶν αὐλητῶν ἀγαθοὺς
αὐλητὰς τοὺς υἱεῖς γενέσθαι, ἢ τῶν φαύλων; οἶμαι μὲν οὔ·
ἀλλὰ ὅτου ἔτυχεν ὁ υἱὸς εὐφυέστατος γενόμενος εἰς αὔλησιν,
οὗτος ἂν ἐλλόγιμος ηὐξήθη· ὅτου δὲ ἀφυὴς, ἀκλεής. καὶ πολ- c.
λάκις μὲν ἀγαθοῦ αὐλητοῦ, φαῦλος ἂν ἀπέβη· πολλάκις
δ' ἂν φαύλου, ἀγαθός. ἀλλ' οὖν αὐληταὶ γοῦν πάντες ἦσαν
ἱκανοὶ, ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας.
οὕτως οἷον καὶ νῦν, ὅστις σοι ἀδικώτατος φαίνεται ἄνθρω-
πος τῶν ἐν νόμοις καὶ ἀνθρώποις τεθραμμένων, δίκαιον αὐτὸν
εἶναι, καὶ δημιουργὸν τούτου τοῦ πράγματος, εἰ δέοι αὐτὸν
κρίνεσθαι πρὸς ἀνθρώπους, οἷς μήτε παιδεία ἐστὶ, μήτε δικαιή- d.
ρια, μήτε νόμοι, μηδὲ ἀνάγκη μηδεμία, διαπαντὸς ἀναγκάζουσα
ἀρετῆς ἐπιμελεῖσθαι· ἀλλ' εἶεν ἄγριοί τινες, οἷοί περ οὓς
πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ· ἢ σφόδρα
ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ
χορῷ μισάνθρωποι, ἀγαπήσαις ἂν εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ
Φρυνώνδᾳ, καὶ ἀνολοφύραι' ἂν ποθῶν τὴν τῶν ἐνθάδε ἀνθρώ-
πων πονηρίαν· νῦν δὲ τρυφᾷς, ὦ Σώκρατες, διότι πάντες δι- e.

magis quam deteriorum in his ſonis periti evaderent? Nequaquam, ut arbitror: ſed quicunque natura ad tibias inflandas ingenioſus eſſet, magis proficeret; tardus autem minus: ac ſaepenumero periti tibicinis rudis evaderet filius; ſaepe etiam inepti filius, aptus. Verumtamen omnes ſufficientes eſſent tibicines, ſi cum his conferrentur, qui rudes ſunt, nihilque rerum earum intelligunt. Similiter eum exiſtima, Socrates, qui iniuſtiſſimus tibi videtur inter homines ſub lege viventes, iuſtum fore, iurisque auctorem, ſi quando cum illis hominibus conferatur, quibus nec diſciplina ſit, nec iudicia, neque leges, neque neceſſitas ulla in vita, quae virtutem colere iubeat, efferatique ſint, ut illi quos anno praeterito in Lenaeo poëta Pherecrates erudivit: ac ſi forte in eos homines incideres, qui ex eorum coetu ſint hominum oſores, bene tecum agi putares, ſi Eurybatum offenderes & Phrynondam, deploraresque fortunam tuam, deſiderans noſtrorum hominum pravitatem. Nunc

διδάσκαλοί εἰσιν ἀρετῆς, καθόσον δύνανται ἕκαστος· καὶ οὐδείς
σοι φαίνεται. εἶθ' ὥσπερ ἂν εἰ ζητοῖς τίς διδάσκαλος τοῦ ἑλ-
p. ληνίζειν, οὐδ' ἂν εἷς φανείη· οὐδέ γ' ἄν, οἶμαι, εἰ ζητοῖς τίς
328 ἂν ἡμῖν διδάξειε τοὺς τῶν χειροτεχνῶν υἱεῖς αὐτὴν ταύτην
a. τὴν τέχνην ἣν δὴ παρὰ τοῦ πατρὸς μεμαθήκασι, καθόσον
οἷόσ' ἦν ὁ πατὴρ, καὶ οἱ τοῦ πατρὸς φίλοι ὄντες ὁμότεχνοι·
τούτους ἔτι τις ἂν διδάξειεν· οὐ ῥᾴδιον οἶμαι εἶναι, ὦ Σώκρα-
τες, τούτων διδάσκαλον φανῆναι· τῶν δὲ ἀπείρων παντάπασι, ῥᾴδιον· οὕτω δὲ ἀρετῆς καὶ τῶν ἄλλων πάντων. ἀλλὰ κἂν
εἰ ὀλίγον ἐσί τις ὅστις διαφέρει ἡμῶν προβιβάσαι εἰς ἀρετήν,
b. ἀγαπητόν. ὧν δὴ ἐγὼ οἶμαι εἷς εἶναι, καὶ διαφερόντως ἂν τῶν
ἄλλων ἀνθρώπων νοῆσαι τινὰ πρὸς τὸ καλὸν καὶ ἀγαθὸν γε-
νέσθαι, καὶ ἀξιῶς τοῦ μισθοῦ ὃν πράττομαι, καὶ ἔτι πλείονος,
ὥστε καὶ αὐτῷ δοκεῖν τῷ μαθόντι. διὰ ταῦτα καὶ τὸν τρόπον
τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις
παρ' ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, ἀποδέδωκεν ὃ ἐγὼ πρᾶτ-
c. τομαι ἀργύριον· ἐὰν δὲ μὴ, ἐλθὼν εἰς ἱερὸν, ὀμόσας, ὅσου ἄν

autem delicatior videris, o Socrates, eo quod omnes pro viribus virtutis praeceptores sunt, nullus tamen tibi talis appareret. quin etiam si quaereres, quis praeceptor nos Graece loqui docuerit, nullus utique appareret. item si quaereres, quis docuerit mechanicorum artificum filios artem illam, quam patres eorum consortesque alii eiusdem artis exercent, quodve filii imitantur; haud facile, o Socrates, praeceptor illorum reperiretur: innumerabilium vero aliorum, perfacile. Ita de virtute dicendum, ac ceteris talibus. Verum satis nos habere putandum, si quis paulo commodius, quam ceteri, iuvenes ad virtutem provehat. Ex quibus unum me esse profiteor, subtiliusque ceteris hominibus rationem qua boni honestique fiant, cognoscere, atque ita rem ipsam perficere, ut dignum est ea mercede quam exigo: immo etiam mercede maiori; quod ipsi quoque discipuli iudicant. Exactionis autem meae haec est conditio. Postquam aliquis a me didicit, si vult ille quidem, retribuit quantum exigo argentum: sin minus, ingressus tem-

φησι ἄξια εἶναι τὰ μαθήματα, τοσοῦτον κατέθηκε. Τοιοῦτόν σοι, ἔφη, ὦ Σώκρατες, ἐγὼ καὶ μῦθον καὶ λόγον εἴρηκα, ὡς διδακτὸν ἀρετὴ, καὶ Ἀθηναῖοι οὕτως ἡγοῦνται· καὶ ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γενέσθαι, καὶ τῶν φαύλων, ἀγαθούς. ἐπεὶ καὶ οἱ Πολυκλείτου υἱεῖς, Παράλου καὶ Ξανθίππου τοῦ δὲ ἡλικιῶται, οὐδὲν πρὸς τὸν πατέρα εἰσί· καὶ ἄλλοι ἄλλων δημιουργῶν. τῶνδε δὲ οὔπω ἄξιον τοῦτο κατηγορεῖν. ἔτι γὰρ ἐν αὐτοῖς εἰσὶν ἐλπίδες. νέοι γάρ. d. Πρωταγόρας μὲν τοσαῦτα καὶ τοιαῦτα ἐπιδειξάμενος, ἀπεπαύσατο τοῦ λόγου· καὶ ἐγὼ ἐπὶ μὲν πολὺν χρόνον κεκηλημένος, ἔτι πρὸς αὐτὸν ἔβλεπον, ὡς ἐροῦντά τι ἐπιθυμῶν ἀκούειν· ἐπειδὴ δὲ ἠσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη, μόγις πως ἐμαυτὸν ὡσπερεὶ συναγείρας, εἶπον, βλέψας πρὸς τὸν Ἱπποκράτη, Ὦ παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρεψάς με ὧδε ἀφικέσθαι. πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου. ἐγὼ γὰρ ἐν μὲν τῷ ἔμπροσθεν χρόνῳ e.

plum, iureiurando praeſtito aeſtimat, quanta mercede digna ſibi mea documenta videantur, tantamque deponit. Quod igitur virtus doceri diſcique poſſit, o Socrates, hac fabula tibi ſit & ratione probatum: quod & Athenienſes ipſi teſtantur. oſtendimus item, nihil mirum videri debere, ſi bonorum patrum mali ſint filii, malorumve boni: quandoquidem & Polycleti filii, Parali & Xanthippi huius aequales, ſi cum patre comparentur, intervallo quodam longiſſimo ſuperantur: ſimiliter etiam aliorum artificum filii. Neque dum adoleſcentes hi reprobandi ſunt: ſpem quippe aliquam praebent; iuvenes ſunt enim. Cum haec & ſimilia oſtendiſſet Protagoras, loquendi finem fecit. At ego diu poſt, utpote ſuperiori oratione delinitus, adhuc ipſum contuebar, ſequentium verborum deſiderio inflammatus. Verum poſtquam deſtitiſſe prorſus animadverti, vix tandem me ipſe recepi, & ad Hippocratem converſus, O fili Apollodori, inquam, quam ingentes tibi debeo gratias, quod me huc hodie adduxiſti! nam plurimi facio haec a Protagora audiviſſe. Antea enim haud humanam curam eſſe rebar, qua

ἡγούμην οὐκ εἶναι ἀνθρωπίνην ἐπιμέλειαν, ἢ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται· νῦν δὲ πέπεισμαι. πλὴν σμικρόν τι μοι ἐμποδὼν, ὃ δηλονότι Πρωταγόρας ῥᾳδίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ τὰ πολλὰ ταῦτα ἐξεδίδαξε. καὶ γὰρ εἰ μέν τις περὶ αὐτῶν τού-
P. των συγγένοιτο ὁτῳοῦν τῶν δημηγόρων, τάχ' ἂν καὶ τοιού-
329 a. τους λόγους ἀκούσειεν, ἢ Περικλέους, ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν. εἰ δὲ ἐπανέροιτο τινά τι, ὥσπερ βιβλία, οὐδὲν ἔχουσιν οὔτε ἀποκρίνασθαι οὔτε αὐτοὶ ἐρέσθαι· ἀλλ' ἐάν τις καὶ σμικρὸν ἐπερωτήσῃ τι τῶν ῥηθέντων, ὥσπερ τὰ χαλκεῖα πληγέντα, μακρὸν ἠχεῖ καὶ ἀποτείνει, ἐὰν μὴ ἐπιλάβηταί τις. καὶ οἱ ῥήτορες οὕτω, σμικρὰ ἐρωτηθέντες δολιχὸν κατα-
b. τείνουσι τοῦ λόγου. Πρωταγόρας δὲ ὧδε, ἱκανὸς μὲν μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὰ δηλοῖ· ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνεσθαι κατὰ βραχύ, καὶ ἐρόμενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν· ἃ ὀλίγοις ἐξὶ παρεσκευασμένα. νῦν οὖν, ὦ Πρωταγόρα, σμικροῦ τινος ἐνδεής εἰμι πάντ' ἔχειν, εἴ μοι ἀποκρίναιο τόδε· τὴν ἀρετὴν ᾗς διδακτὸν

qui boni ſunt, boni efficiuntur: nunc autem eam eſſe perſuaſus ſum. Sed ſcrupulus quidam reſtat qui me male habet, quem videlicet Protagoras facile eximet, poſtquam multa haec edocuit. Etenim ſi quis de iisdem rebus cum aliquo forenſium oratorum agat, forte tales ſermones audiet, quales Periclis eſſe ſolent, ceterorumque eloquentium hominum. ſi autem de aliquo redinterrogando inſtet urgeatque, librorum inſtar, neque quid reſpondeant, neque quid interrogent, ipſi habent. Si quis vero de aliquo, paucis obiter ab ipſis dicto, roget, velut aes percuſſum alte reſonant longeque vociferantur, niſi eorum dicta protinus excipias. atque ita rhetores breve quiddam interrogati, prolixam producunt orationem. Verum Protagoras hic copioſe & ornate loqui poteſt, quod ſuperior teſtatur oratio. poteſt etiam cum rogatur, ſummatim ac breviter reſpondere: & interrogans ipſe, conſiſtere & excipere reſponſionem. quod quidem de paucis dicere licet. In praeſentia igitur, o Protagora, parum quiddam deſidero: quod ſi declaraveris, putabo

εἶναι· καὶ ἐγὼ, εἴπερ ἄλλῳ τῳ ἀνθρώπων πειθοίμην ἄν, καί
σοι πείθομαι. ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτό μοι ἐν τῇ c.
ψυχῇ ἀποπλήρωσον. ἔλεγες γὰρ ὅτι ὁ Ζεὺς τὴν δικαιοσύνην
καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις· καὶ αὖ πολλαχοῦ ἐν
τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη, καὶ σωφροσύνη,
καὶ ὁσιότης· καὶ πάντα ταῦτα ὡς ἓν τι εἴη συλλήβδην ἀρετή.
ταῦτ' οὖν αὐτὰ διελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἓν μέν
τι ἐστὶν ἡ ἀρετὴ, μόρια δὲ αὐτῆς ἐστιν ἡ δικαιοσύνη, καὶ σω-
φροσύνη, καὶ ὁσιότης· ἢ ταῦτ' ἐστὶν ἃ νῦν δὴ ἐγὼ ἔλεγον πάν-
τα, ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος. τοῦτ' ἔστιν ὃ ἔτι ἐπιποθῶ. d.
Ἀλλὰ ῥᾴδιον τοῦτό γ', ἔφη, ὦ Σώκρατες, ἀποκρινασθαι, ὅτι
ἑνὸς ὄντος τῆς ἀρετῆς μόρια ἐστὶν ἃ ἐρωτᾷς. Πότερον, ἔφην,
ὥσπερ προσώπου τὰ μόρια, μόριά ἐστι, στόμα τε καὶ ῥὶς, καὶ
ὀφθαλμοὶ, καὶ ὦτα; ἢ ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν δια-
φέρει τὰ ἕτερα τῶν ἑτέρων, ἀλλήλων καὶ τοῦ ὅλου, ἀλλ' ἢ
μεγέθει καὶ σμικρότητι; Ἐκεῖνος μοὶ φαίνεται, ὦ Σώκρα-
τες, ὥσπερ τὰ τοῦ προσώπου μόρια ἔχει πρὸς τὸ ὅλον πρό- e.

mihi in omnibus satisfactum. Virtutem ais doctrinae studio comparabilem: & ego, si cui unquam, tibi maxime credo. Quod vero te dicente sum admiratus, aperias obsecro. Dicebas enim Iovem iustitiam & pudorem hominibus infudisse: deinde procedente sermone, saepe iustitiam nominasti, temperantiam, sanctitatem, perinde ac si ista omnia sub una quadam virtute contineantur, unumque aliquid ipsa virtus existat. Haec mihi liquido explanari velim, Utrum scilicet unum quiddam sit virtus; cuius partes sint iustitia, temperantia, sanctitas: an haec, inquam, omnia, quae nunc retuli, nomina unius eiusdemque rei sint. hoc est, inquam, quod insuper requiro. *Prot.* At facilis est, o Socrates, ad ista responsio, quod virtutis ipsius, quae summatim unum est, partes sunt quae interrogas omnia. *So.* Utrum quemadmodum vultus unius partes sunt os, nares, oculi, aures? an sicuti auri partes nihilo differunt a toto, praeterquam magnitudine quadam & parvitate? *Prot.* Ita se habere mihi videntur, o Socrates, virtutis partes

σωπον. Πότερον οὖν, ἦν δ' ἐγὼ, καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς ἀρετῆς μορίων, οἱ μὲν, ἄλλο, οἱ δὲ, ἄλλο; ἢ ἀνάγκη, ἐάν πέρ τις ἓν λάβῃ, ἅπαντα ἔχειν; Οὐδαμῶς, ἔφη. ἐπεὶ πολλοὶ ἀνδρεῖοί εἰσιν, ἄδικοι δὲ· καὶ δίκαιοι οὗ, σοφοὶ δὲ οὔ. Ἔστι γὰρ καὶ ταῦτα μόρια τῆς ἀρετῆς,
p. ἔφην ἐγὼ, σοφία τε καὶ ἀνδρεία; Πάντων μάλιστα δήπου,
330 a. ἔφη· καὶ μέγιστόν γε ἡ σοφία τῶν μορίων. Ἕκαστον δὲ αὐτῶν ἐστιν, ἦν δ' ἐγὼ, ἄλλο, τὸ δὲ, ἄλλο; Ναί. Ἦ καὶ δύναμιν αὐτῶν ἕκαστον ἰδίαν ἔχει, ὥσπερ τὰ τοῦ προσώπου; οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα, οὐδ' ἡ δύναμις αὐτοῦ ἡ αὐτὴ· οὐδὲ τῶν ἄλλων οὐδέν ἐστιν οἷον τὸ ἕτερον, οὔτε κατὰ τὴν δύναμιν, οὔτε κατὰ τἄλλα. ἆρ' οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια,
b. οὐκ ἔστι τὸ ἕτερον οἷον τὸ ἕτερον, οὔτε αὐτὸ, οὔτε ἡ δύναμις αὐτοῦ; ἢ δηλαδὴ ὅτι οὕτως ἔχει, εἴπερ τῷ παραδείγματί γε ἔοικεν; Ἀλλ' οὕτως, ἔφη, ἔχει, ὦ Σώκρατες. Καὶ ἐγὼ εἶπον, Οὐδὲν ἄρα ἐστὶ τῶν τῆς ἀρετῆς μορίων ἄλλο οἷον ἐπιστήμη, οὐδ' οἷον δικαιοσύνη, οὐδ' οἷον ἀνδρεία, οὐδ' οἷον σω-

ad totam, ut vultus partes omnes ad totum. *So.* Utrum alii homines aliam virtutis partem accipiunt? an neceſſe eſt, eum qui unam habet, omnes habere? *Prot.* Nullo modo: quoniam multi fortes quidem ſunt, ſed iniuſti: & alii iuſti quidem ſunt, ſapientes minime. *So.* Numquid ſapientia & fortitudo partes virtutis ſunt? *Prot.* Omnino quidem, & praeſtantiſſima pars omnium eſt ſapientia. *So.* Eſtne hoc quidem aliud, illud vero aliud? *Prot.* Eſt. *So.* Numquid & potentiam utrumque propriam habet? quemadmodum e vultus partibus oculus non eſt auribus ſimilis, neque illorum potentia eadem: neque alia quaelibet pars, alterius, aut potentia, aut alio quoquam ſimilis eſt. Itane virtutis partes ſe habent, ut neque alia aliarum ſit ſimilis, neque ipſa, neque potentia ipſius? an forte ita eſſe conſtat? ſiquidem naturae virtutum exemplar quod induximus, congruit. *Prot.* Sic certe eſt, o Socrates. *So.* Non eſt igitur pars virtutis alia talis qualis ſcientia, neque qualis iuſtitia, vel fortitudo, vel temperantia, vel ſanctitas. *Prot.* Non

φροσύνη, οὐδ' οἷον ὁσιότης. Οὐκ ἔφη. Φέρε δὴ, ἔφην ἐγὼ, κοινῇ σκεψώμεθα ποῖόν τι αὐτῶν ἐστιν ἕκαστον. πρῶτον μὲν τὸ τοιόνδε· ἡ δικαιοσύνη πρᾶγμά τι ἐστὶν, ἢ οὐδὲν πρᾶγμα; ἐμοὶ c.
μὲν γὰρ δοκεῖ· τί δὲ σοί; Καὶ ἐμοὶ, ἔφη. Τί οὖν; εἴ τις ἐροι-
το ἐμέ τε καί σε, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἴπετον
δή μοι, τοῦτο τὸ πρᾶγμα ὃ ὠνομάσατε ἄρτι ἡ δικαιοσύνη,
αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; ἐγὼ μὲν ἂν αὐτῷ ἀποκρι-
ναίμην ὅτι δίκαιον· σὺ δὲ τίν' ἂν ψῆφον θεῖο; τὴν αὐτὴν
ἐμοὶ, ἢ ἄλλην; Τὴν αὐτὴν, ἔφη. Ἔστιν ἄρα ἡ δικαιοσύνη
τοιοῦτον οἷον δίκαιον εἶναι, φαίην ἂν ἔγωγε, ἀποκρινόμενος d.
τῷ ἐρωτῶντι· οὐκοῦν καὶ σύ; Ναὶ, ἔφη. Εἰ οὖν μετὰ τοῦτο
ἡμᾶς ἔροιτο, Οὐκοῦν καὶ ὁσιότητά τινα φατὲ εἶναι; φαῖμεν
ἂν, ὡς ἐγῷμαι. Ναὶ, ἢ δ' ὅς. Οὐκοῦν φατὲ καὶ τοῦτο, πρᾶγ-
μά τι εἶναι; φαῖμεν ἂν, ἢ οὔ; Καὶ τοῦτο συνέφη. Πότερον
δὲ τοῦτο αὐτὸ τὸ πρᾶγμα φατὲ τοιοῦτον πεφυκέναι οἷον
ἀνόσιον εἶναι, ἢ οἷον ὅσιον; Ἀγανακτήσαιμ' ἂν ἔγωγ', ἔφη,
τῷ ἐρωτήματι· καὶ εἴποιμ' ἄν, Εὐφήμει, ὦ ἄνθρωπε. σχολῇ

certe. *So.* Age in commune consideremus, qualenam quiddam istorum quodvis existit: primum quidem sic: Iustitia res quaedam est, an nulla? Mihi quidem res quaedam esse videtur. quid vero tibi? *Prot.* Et mihi. *So.* Quid vero? si quis a me & te sciscitetur, O Protagora atque Socrates, dicite quaeso, num res ista, quam modo iustitiam nominabatis, eo ipso quo est iustitia, est iusta, an iniusta? Ego quidem iustam esse dicam. tu vero mecum sentis? an non? *Prot.* Tecum plane. *So.* Ego igitur interroganti responderem, talem esse iustitiam, quale & iustum. tu vero? *Prot.* Ego quoque. *So.* Si quaereret iterum, numquid & sanctitatem aliquam esse dicamus, consentiremus utique, ut opinor. *Prot.* Consentiremus. *So.* An non & hanc rem aliquam esse dicitis, si roget ille, nonne & hoc assentiremur? *Prot.* Et hoc. *So.* Num rei istius naturam talem putatis, ut sancta sit, an ut profana? interrogationem hanc aegre ferrem, ad eumque conversus dicerem, Bona verba, quaeso. Nullatenus enim sanctum aliquid esset, nisi &

e. μέντ' ἄν τι ἄλλο ὅσιον εἴη, εἰ μὴ αὐτή γε ἡ ὁσιότης ὅσιον ἔσαι. τί δὲ σύ; οὐχ οὕτως ἂν ἀποκρίναιο; Πάνυ μὲν οὖν, ἔφη. Εἰ οὖν μετὰ τοῦτ' εἶποι ἐρωτῶν ἡμᾶς, Πῶς οὖν ὀλίγῳ πρότερον ἐλέγετε; ἆρ' οὐκ ὀρθῶς ὑμῶν κατήκουσα; ἐδόξατέ μοι Φάναι τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν οἷον τὸ ἕτερον. Εἴποιμ' ἂν ἔγωγε ὅτι, Τὰ μὲν ἄλλα ὀρθῶς ἠκουσας, ὅτι δὲ καὶ ἐμὲ οἴει
p. εἰπεῖν τοῦτο, παρήκουσας. Πρωταγόρας γὰρ ὅδε ταῦτα ἀπε-
331 κρίνατο, ἐγὼ δὲ ἠρώτων. Εἰ οὖν εἴποι, ἀληθῆ ὅδε λέγει, ὦ
a. Πρωταγόρα; σὺ φῂς οὐκ εἶναι τὸ ἕτερον μόριον οἷον τὸ ἕτερον τῶν τῆς ἀρετῆς; σὸς οὗτος ὁ λόγος ἐστί; τί ἂν αὐτῷ ἀποκρίναιο; Ἀνάγκη, ἔφη, ὦ Σώκρατες, ὁμολογεῖν. Τί οὖν, ὦ Πρωταγόρα, ἀποκρινούμεθα αὐτῷ, ταῦτα ὁμολογήσαντες, ἐὰν ἡμᾶς ἐπανέρηται; Οὐκ ἄρα ἐστὶν ὁσιότης οἷον δίκαιον εἶναι πρᾶγμα, οὐδὲ δικαιοσύνη, οἷον ὅσιον, ἀλλ' οἷον μὴ ὅσιον· ἡ δ'
b. ὁσιότης, οἷον μὴ δίκαιον. δίκαιον ἄρα τόδε, ἀνόσιον. τί αὐτῷ ἀποκρινούμεθα; ἐγὼ μὲν γὰρ αὐτὸς καὶ ὑπέρ γε ἐμαυτοῦ, Φαίην ἂν καὶ τὴν δικαιοσύνην, ὅσιον εἶναι, καὶ τὴν ὁσιότητα, δί-

sancta ipsa sanctitas esset. quid vero tu? an non similiter responderes? *Prot.* Similiter. *So.* His si adiiceret, An quae supra dixistis, recte accepi? videbamini enim paulo ante asserere, ita se invicem partes virtutis habere, ut non sit alia pars qualis est alia. Inferrem equidem ad haec, quod alia recte acceperit: quod vero me in eo consensisse putarit, non recte. Nam Protagoras iste haec respondit: ego autem quaesivi. Ergo si dicat, o Protagora, vere loquitur Socrates: ipse es qui ais, virtutis partem aliam non esse talem qualis est alia: tuus hic sermo est. quid illi tu respondebis? *Prot.* Necesse est, o Socrates, id fateri. *So.* His concessis, quid illi potissimum responsebimus, si ultra sic obiecerit? Non ergo talis est sanctitas, ut res iusta sit: neque iustitia talis, ut sancta: sed illa talis, ut non iusta, haec, ut non sancta. iniusta itaque illa, haec profana. Quid ad haec, inquam? equidem mea sententia iustitiam esse sanctam, & sanctitatem iustam esse dicam. arbitror

καιον· καὶ ὑπὲρ σοῦ δὲ, εἴ με ἐφῇς, ταυτὰ ἂν ταῦτα ἀποκρινοίμην, ὅτι ἤτοι ταυτόν ἐςι δικαιότης ὁσιότητι, ἢ ὁτιομοιότατον· καὶ μάλιςα πάντων ἥ τε δικαιοσύνη, οἷον ὁσιότης, καὶ ἡ ὁσιότης, οἷον δικαιοσύνη. ἀλλ' ὅρα εἰ διακωλύεις ἀποκρίνασθαι, ἢ καί σοι συνδοκεῖ οὕτως. Οὐ πάνυ μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὕτως ἁπλοῦν εἶναι, ὥστε συγχωρῆσαι τήν τε δικαιοσύνην, ὅσιον εἶναι, καὶ τὴν ὁσιότητα, δικαιον· ἀλλά τι μοὶ δοκεῖ ἐν αὐτῷ διάφορον εἶναι. ἀλλὰ τί τοῦτο διαφέρει; ἔφη. εἰ γὰρ βουλει, ἔςω ἡμῖν καὶ δικαιοσύνη, ὅσιον, καὶ ὁσιότης δικαιον. Μή μοι, ἦν δ' ἐγώ. οὐδὲν γὰρ δέομαι τὸ, εἰ βούλει, τοῦτο, καὶ εἰ σοι δοκεῖ, ἐλέγχεσθαι· ἀλλ' ἐμέ τε καί σε. τὸ δ' ἐμέ τε καί σε, τοῦτο λέγω, οἰόμενος οὕτως τὸν λόγον βέλτις' ἂν ἐλέγχεσθαι, εἴτις τὸ εἰ ἀφέλοι αὐτοῦ. Ἀλλὰ μέντοι, ἦ δ' ὃς, προσέοικέ τι δικαιοσύνη ὁσιότητι. καὶ γὰρ ὁτιοῦν ὁτῳοῦν ἀμηγέπη προσέοικε. τὸ γὰρ λευκὸν τῷ μέλανι ἔςιν ὃ μὴ προσέοικε, καὶ τὸ σκληρὸν τῷ μαλακῷ· καὶ τἆλλα ἃ δοκεῖ ἐναντιώτατα εἶναι ἀλλήλοις, καὶ ἃ τότε ἐφαμεν ἄλ-

etiam te permissurum, ut pro te illud ipsum respondeam, quod videlicet aut idem sit iustitia quod sanctitas, aut invicem quam simillima: ut maxime omnium talis iustitia, qualis sanctitas, & qualis sanctitas, talis iustitia sit. Vide, num me ita respondere prohibeas, an consentias? *Prot.* Haud ita simpliciter istud mihi videtur, o Socrates, ut concedi possit, sanctitatem iustam, sanctamve iustitiam esse. verum differentia quaedam inesse apparet. Sed quid tandem id refert? si enim ita vis, esto nobis sanctitas iusta, sanctaque iustitia. *So.* Mihi vero non. nec opus habeo ut istud, si vis, & si tibi placet, redarguatur: sed ut me, & te dicatur volo. Dico autem & me & te, existimans tum demum recte sermonem discuti, si tantum hoc, Si, ex eo tollatur. *Prot.* Enimvero simile quiddam habet iustitia sanctitati: nam quodlibet cuilibet quiddam simile habet, praeter illa, quae omnino inter se contraria sunt, ut album nigrum, molle durum. Atqui & illa, quae supra diximus aliam aliamque inter se vim habere, nec tale esse alterum quale alterum est, ceu

λην δύναμιν ἔχειν, καὶ οὐκ εἶναι τὸ ἕτερον οἷον τὸ ἕτερον, τὰ τοῦ προσώπου μόρια, ἀμηγέπη προσέοικε, καὶ ἔστι τὸ ἕτερον
e. οἷον τὸ ἕτερον. ὥστε τούτῳ γε τῷ τρόπῳ κἂν ταῦτα ἐλέγχοις, εἰ βούλοιο, ὡς ἅπαντά ἐστιν ὅμοια ἀλλήλοις. ἀλλ' οὐχὶ τὰ ὁμοιόν τι ἔχοντα, ὅμοια δίκαιον καλεῖν· οὐδὲ τὰ ἀνόμοιόν τι ἔχοντα, ἀνόμοια, κἂν πάνυ σμικρὸν ἔχῃ τὸ ὅμοιον. Καὶ ἐγὼ θαυμάσας, εἶπον πρὸς αὐτὸν, Ἦ γὰρ οὕτω σοι τὸ δίκαιον καὶ τὸ ὅσιον πρὸς ἄλληλα ἔχει ὥστε ὁμοιόν τι σμικρὸν ἔχειν ἀλλήλοις; Οὐ πάνυ, ἔφη, οὕτως, οὐ μέντοι οὐδὲ αὖ ὡς
p. σύ μοι δοκεῖς οἴεσθαι. Ἀλλὰ μήν, ἔφην ἐγὼ, ἐπειδὴ δυσχερῶς
332 a. δοκεῖς μοι ἔχειν πρὸς τοῦτο, τοῦτο μὲν ἐάσωμεν· τόδε δὲ, ἄλλο ὧν ἔλεγες, ἐπισκεψώμεθα. ἀφροσύνην τί καλεῖς, ἔφην, τούτῳ τῷ πράγματι οὗ πᾶν τοὐναντίον ἐστὶν ἡ σοφία; Ἔμοιγε δοκεῖ, ἔφη. Πότερον δὲ ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελίμως, τότε σωφρονεῖν σοι δοκοῦσιν, οὕτω πράττοντες; ἢ εἰ τοὐναντίον ἔπραττον; Σωφρονεῖν, ἔφη. Οὐκοῦν σω-
b. φροσύνῃ σωφρονοῦσιν; Ἀνάγκη. Οὐκοῦν οἱ μὴ ὀρθῶς πράτ-

vultus ipsius partes, quiddam simile inter se habent, estque quodammodo tale alterum, quale alterum. Atque hac ratione licet haec refellas, si placet, quod cuncta invicem similia sint: non tamen quaecunque simile quiddam habent, similia vocanda sunt; neque etiam quaecunque dissimile quiddam, invicem dissimilia, etsi exiguum quiddam simile habent. *So.* Admiror equidem, o Protagora, si ita iustum sanctumque invicem sunt, ut parum quiddam simile inter se habeant. *Prot.* Haud ita omnino: neque tamen ita prorsus, ut ipse arbitrari videris. *So.* Postquam haec tibi molesta sunt, dimittamus: aliud vero quiddam ex his quae dicebas, consideremus. Insaniam aliquid vocas? eiusque contrariam sapientiam esse dicis? *Prot.* Equidem. *So.* Num cum recte frugaliterque homines vivunt, ita agentes, temperanter agere putas? an cum contra agunt? *Prot.* Temperanter agere videntur mihi, cum frugaliter rectequе agunt. *So.* Nonne temperantia temperanter agunt? *Prot.* Necesse est. *So.* Nonne quicunque non recte agunt, insane agunt:

τοντες, ἀφρόνως πράττουσι, καὶ οὐ σωφρονοῦσιν, οὕτω πράττοντες; Συνδοκεῖ μοι, ἔφη. Τοὐναντίον ἄρα ἐστὶ τὸ ἀφρόνως πράττειν τῷ σωφρόνως. Ἔφη. Οὐκοῦν τὰ μὲν ἀφρόνως πραττόμενα, ἀφροσύνῃ πράττεται, τὰ δὲ σωφρόνως, σωφροσύνῃ; Ὡμολόγει. Οὐκοῦν εἴτι ἰσχυϊ πράττεται, ἰσχυρῶς πράττεται· καὶ εἴτι ἀσθενείᾳ, ἀσθενῶς; Ἐδόκει. Καὶ εἴτι μετὰ τάχους, ταχέως· καὶ εἴτι μετὰ βραδυτῆτος, βραδέως; Ἔφη. Καὶ εἴτι δὴ ὡσαύτως πράττεται, ὑπὸ τοῦ αὐτοῦ πράττεται· c.
καὶ εἴτι ἐναντίως, ὑπὸ τοῦ ἐναντίου; Συνέφη. Φέρε δὴ, ἦν δ' ἐγὼ, ἔστι τὶ καλόν; Συνεχώρει. Τούτῳ ἔστι τὶ ἐναντίον, πλὴν τὸ αἰσχρόν; Οὐκ ἔστι. Τί δέ; ἔστι τὶ ἀγαθόν; Ἔστι. Τούτῳ ἔστι τὶ ἐναντίον, πλὴν τὸ κακόν; Οὐκ ἔστι. Τί δέ; ἔστι τὶ ὀξὺ ἐν φωνῇ; Ἔφη. Τούτῳ μὴ ἔστι τὶ ἐναντίον ἄλλο πλὴν τὸ βαρύ; Οὔκ, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγὼ, ἑνὶ ἑκάστῳ τῶν ἐναντίων ἓν μόνον ἐστὶν ἐναντίον, καὶ οὐ πολλά; Συνωμολόγει. Ἴθι δὴ, ἦν δ' ἐγὼ, ἀναλογισώμεθα τὰ ὡμολογημένα ἡμῖν. d.

& qui ita agunt, non temperanter agunt? *Prot.* Ita videtur. *So.* Ergo insane agere, contrarium eius est, quod temperate agere dicitur. *Prot.* Est utique. *So.* Nonne igitur quae insane fiunt, insania fiunt? quae temperate, temperantia? *Prot.* Profecto. *So.* Nonne quidquid robore fit, fit robuste? & debilitate quidquid fit, debiliter? *Prot.* Apparet. *So.* Et quidquid velocitate, velociter: quidquid autem tarditate, tarde? *Prot.* Et hoc. *So.* Et quod eodem modo fit omnino, ab eodem efficitur: quod vero contrario modo, efficitur a contrario? *Prot.* Assentior. *So.* Dic obsecro, estne pulchrum aliquid? *Prot.* Est profecto. *So.* Huic contrarium aliud quidquam est, quam turpe? *Prot.* Nihil aliud. *So.* Est & aliquid bonum? *Prot.* Et bonum. *So.* Ei numquid aliud contrarium nisi malum? *Prot.* Non aliud. *So.* Estne aliquid in voce acutum? *Prot.* Sane. *So.* Num aliud illi contrarium quam grave? *Prot.* Hoc ipsum. *So.* An non unicuique contrariorum non multa, sed unum solum est contrarium? *Prot.* Unum dumtaxat. *So.* Resumamus iam quae hactenus a nobis concessa fuerunt. Con-

Ὡμολογήκαμεν ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, πλείω δὲ μή. Ὡμολογήκαμεν. Τὸ δὲ ἐναντίως πραττόμενον, ὑπὸ ἐναντίων πράττεσθαι. Ἔφη. Ὡμολογήκαμεν δὲ ἐναντίως πράττεσθαι ὃ ἂν ἀφρόνως πράττηται, τῷ σωφρόνως πραττομένῳ. Ἔφη. Τὸ δὲ σωφρόνως πραττόμενον, ὑπὸ σωφροσύνης πράττεσθαι· e. τὸ δὲ ἀφρόνως, ὑπὸ ἀφροσύνης. Συνεχώρει. Οὐκοῦν, εἴπερ ἐναντίως πράττεται, ὑπὸ ἐναντίου πράττοιτ' ἄν; Ναί. Πράττεται δὲ τὸ μὲν ὑπὸ σωφροσύνης, τὸ δὲ, ὑπὸ ἀφροσύνης. Ναί. Ἐναντίως; Πάνυγε. Οὐκοῦν ὑπὸ ἐναντίων ὄντων; Ναί. Ἐναντίον ἄρά ἐξιν ἀφροσύνη σωφροσύνης; Φαίνεται. Μέμνησαι οὖν ὅτι ἐν τοῖς ἔμπροσθεν ὡμολόγηται ἡμῖν ἀφροσύνη σοφίᾳ ἐναντίον εἶναι; Συνωμολόγει. Ἓν δὲ ἑνὶ μόνον ἐναντίον εἶναι; Φημί. Πότερον οὖν, ὦ Πρωταγόρα, λύσωμεν p. τῶν λόγων; τὸ ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, ἢ ἐκεῖνον ἐν ᾧ 333 ἐλέγετο ἕτερον εἶναι σωφροσύνης σοφία; μόριον δὲ ἑκάτερον, a. ἀρετῆς; καὶ πρὸς τῷ ἕτερον εἶναι, καὶ ἀνόμοια καὶ αὐτὰ

ceſſimus plane, uni unum ſolum eſſe contrarium, plura autem minime. *Prot.* Nempe. *So.* Item quod contrario modo fit, a contrariis effici. *Prot.* Hoc quoque. *So.* Admiſimus praeterea, contrario modo fieri quod inſane fit, & quod temperate. *Prot.* Etiam. *So.* Rurſus quod temperate agitur, a temperantia provenire: quod inſane, ab inſania. *Prot.* Convenit. *So.* An non, ſi contrario fit modo, fit a contrario? *Prot.* Utique. *So.* Fit autem hoc quidem a temperantia, illud autem ab inſania. *Prot.* Certe. *So.* Contrario modo? *Prot.* Contrario. *So.* Nonne igitur a contrariis? *Prot.* Et a contrariis. *So.* Inſania itaque temperantiae contraria eſt? *Prot.* Apparet. *So.* Recordamur ſupra nos conceſſiſſe, ſapientiae inſaniam eſſe contrariam? *Prot.* Certe. *So.* Quin & uni unum ſolum eſſe contrarium? *Prot.* Et hoc. *So.* Utram igitur orationum harum reiiciemus, Protagora? eamne, qua dicitur unum uni ſolum eſſe contrarium? an quae volebat ſapientiam a temperantia differre; cum utraque pars virtutis eſſet? ac etiam praeter id quod diverſae

καὶ αἱ δυνάμεις αὐτῶν, ὥσπερ τὰ τοῦ προσώπου μόρια; πότερον οὖν δὴ λύσωμεν; οὕτοι γὰρ οἱ λόγοι ἀμφότεροι οὐ πάνυ μουσικῶς λέγονται. οὐ γὰρ συνᾴδουσιν οὐδὲ συναρμόττουσιν ἀλλήλοις. πῶς γὰρ ἂν συνᾴδοιεν, εἴπέρ γε ἀνάγκη ἑνὶ μὲν ἓν μόνον ἐναντίον εἶναι, πλείοσιν δὲ μή; τῇ δὲ ἀφροσύνῃ ἑνὶ b. ὄντι σοφία ἐναντία καὶ σωφροσύνη αὖ φαίνεται. ἦ γάρ, ὦ Πρωταγόρα, ἔφην ἐγὼ, ἢ ἄλλως πως; Ὡμολόγησε, καὶ μάλ' ἀκόντως. Οὐκοῦν ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία; τὸ δὲ πρότερον αὖ ἐφάνη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης, σχεδόν τι ταυτὸν ὄν. ἴϑι δὴ, ἦν δ' ἐγὼ, ὦ Πρωταγόρα, μὴ ἀποκάμωμεν, ἀλλὰ καὶ τὰ λοιπὰ διασκεψώμεθα. ἆρά τι σοὶ δοκεῖ ἀδικῶν ἄνθρωπος σωφρονεῖν ὅτι ἀδικεῖ; Αἰσχυνοίμην c. ἂν ἔγωγ', ἔφη, ὦ Σώκρατες, τοῦτο ὁμολογεῖν ἐπεὶ πολλοί γε φασὶ τῶν ἀνθρώπων. Πότερον οὖν πρὸς ἐκείνους τὸν λόγον ποιήσομαι, ἔφην, ἢ πρός σε; Εἰ βούλει, ἔφη, πρὸς τοῦτον πρῶτον τὸν λόγον διαλέχϑητι τῶν πολλῶν. Ἀλλ' οὐδέν μοι διαφέρει, ἐὰν μόνον σύ γε ἀποκρίνῃ, εἴτ' οὖν δοκεῖ σοι ταῦτα,

hae utraeque ſunt, diſſimiles quoque eſſe tam ipſas, quam earum vim, ſic quemadmodum illas in vultu partes? Utrum illorum refutabimus? utraque ſane haud ſatis apte dicitur: neque enim concinunt vel congruunt inter ſeſe. nam qua ratione conſonarent, ſi quidem neceſſarium ſit, uni unum dumtaxat contrarium eſſe, pluribus vero nequaquam: inſaniae autem, quum unum ſit, ſapientia & temperantia contrariae videantur? Itane, an aliter, o Protagora? *Prot.* Eſto tandem: quid tum? *So.* An non hac ratione unum erit ſapientia temperantiaque? & ſupra conſtitit idem quodammodo eſſe iuſtitiam & ſanctitatem? Age, Protagora, ne pigeat, ſed pergamus ad reliqua. Num videtur tibi vir iniuſtus, iniuſte agendo temperanter ſapere? *Prot.* Ego quidem confiteri hoc, o Socrates, non auderem: plurimi autem hominum aſſerunt. *So.* Utrum ergo ad illos, an ad te verba dirigam? *Prot.* Si placet, ad hunc primo vulgi ſermonem ediſſeras. *So.* Nihil mea refert, dummodo ipſe reſpondeas, haec tibi vi-

εἴτε μὴ (τὸν γὰρ λόγον ἔγωγε μάλιστα ἐξετάζω) συμβαίνει μέντοι ἴσως καὶ ἐμὲ τὸν ἐρωτῶντα καὶ τὸν ἀποκρινόμενον
d. ἐξετάζεσθαι. Τὸ μὲν οὖν πρῶτον ἐκαλλωπίζετο ἡμῖν ὁ Πρωταγόρας (τὸν γὰρ λόγον ᾐτιᾶτο δυσχερῆ εἶναι) ἔπειτα μέντοι συνεχώρησεν ἀποκρίνεσθαι. Ἴθι δή, ἔφην ἐγώ, ἐξ ἀρχῆς μοι ἀπόκριναι. Δοκοῦσί τινές σοι σωφρονεῖν ἀδικοῦντες; Ἔστω, ἔφη. Τὸ δὲ σωφρονεῖν, λέγεις εὖ φρονεῖν; Ἔφη. Τὸ δ' εὖ φρονεῖν, εὖ βούλεσθαι ὅτι ἀδικοῦσιν; Ἔστω, ἔφη. Πότερον, ἣν δ' ἐγώ, εἰ εὖ πράττουσιν ἀδικοῦντες, ἢ εἰ κακῶς; Εἰ εὖ. Λέγεις οὖν ἀγαθὰ ἅττα εἶναι; Λέγω. Ἆρ' οὖν, ἦν δ' ἐγώ,
e. ταῦτ' ἐστὶν ἀγαθὰ ἃ ἐστιν ὠφέλιμα τοῖς ἀνθρώποις; Καὶ νὴ μὰ Δι', ἔφη, κἂν μὴ τοῖς ἀνθρώποις ὠφέλιμα ᾖ, ἔγωγε καλῶ ἀγαθά. Καί μοι ἐδόκει ὁ Πρωταγόρας ἤδη τετραχύνθαι τε καὶ ἀγωνιᾶν, καὶ παρατετάχθαι πρὸς τὸ ἀποκρίνεσθαι. ἐπειδὴ οὖν ἑώρων αὐτὸν οὕτως ἔχοντα, εὐλαβούμενος,
p. ἠρέμα ἠρόμην, Πότερον, ἦν δ' ἐγώ, λέγεις, ὦ Πρωταγόρα,
334 a. ἃ μηδενὶ ἀνθρώπων ὠφέλιμά ἐστιν, ἢ ἃ μηδὲ τοπαράπαν ὠφέ-

deantur, an minus. nam ipsum sermonem inprimis ego expendo. contingit tamen fortasse, ut & ego qui interrogo, & tu qui respondes, expendamur. Hic Protagoras efferebatur primum, sermonis difficultatem causando, postea vero respondere concessit. Age, inquam, ab initio mihi responde. Videntur aliqui tibi iniuste agendo, sapere temperanter? *Prot.* Esto. *So.* Temperanter vero sapere, bene sapere vocas? *Prot.* Voco. *So.* Bene autem sapere consulere in eo, in quo ceteri iniuriam exercent? *Prot.* Esto. *So.* Utrum si bene faciunt quod iniuriantur, an si male? *Prot.* Si bene. *So.* Dicisne bona quaedam esse? *Prot.* Dico. *So.* Num ea bona sunt, quae utilia sunt hominibus? *Prot.* Immo per Iovem, bona quaedam voco, etiamsi hominibus utilia non sint. Cum autem videretur mihi Protagoras subirasci, & ad responsionem invitus descendere, omnia ego caute pedetentimque rogavi. Numquid, inquam, ais, Protagora, quae nulli hominum utilia sunt? an quae nullo modo utilia? & talia quae-

λιμα; καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς; Οὐδαμῶς, ἔφη· ἀλλ' ἔγωγε πολλὰ οἶδ' ἃ ἀνθρώποις μὲν ἀνωφελῆ ἐστι, καὶ σιτία καὶ ποτὰ, καὶ φάρμακα, καὶ ἄλλα μυρία· τὰ δέ γε, ὠφέλιμα. τὰ δὲ, ἀνθρώποις μὲν οὐδέτερα, ἵπποις δέ. τὰ δὲ, βουσὶ μόνον· τὰ δὲ, κυσί. τὰ δέ γε, τούτων μὲν οὐδενὶ, δένδροις δέ. τὰ δὲ, τοῦ δένδρου ταῖς μὲν ῥίζαις ἀγαθὰ, ταῖς δὲ βλάστοις πονηρά. οἷον καὶ ἡ κόπρος πάντων τῶν φυτῶν ταῖς b. μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη· εἰ δὲ θέλοις ἐπὶ τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν, πάντα ἀπόλλυσιν. ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασιν ἐστὶ πάγκακον, καὶ ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλλων ζώων, πλὴν ταῖς τοῦ ἀνθρώπου· ταῖς δὲ τοῦ ἀνθρώπου ἀρωγὸν, καὶ τῷ ἄλλῳ σώματι. οὕτω δὲ ποικίλον τι ἐστὶ τὸ ἀγαθὸν καὶ παντοδαπὸν, ὥστε καὶ ἐνταῦθα, τοῖς μὲν ἔξωθεν τοῦ σώματος ἀγαθόν ἐστι τῷ ἀνθρώπῳ, τοῖς δ' ἐντὸς ταυτὸ τοῦτο κάκιστον. καὶ διὰ τοῦτο οἱ ἰατροὶ πάντες ἀπαγορεύουσι τοῖς ἀσθενοῦσι μὴ χρῆσθαι ἐλαίῳ, ἀλλ' ἢ ὀτισμικροτάτῳ, ἐν τούτοις οἷς μέλλει ἔδεσθαι, ὅσον μόνον τὴν δυσχέρειαν κα-

dam bona appellas? *Prot.* Nequaquam. Sed ego multa novi hominibus inutilia, cibos, & potiones, & pharmaca, aliaque permulta: alia vero utilia. quaedam autem, quae hominibus perinde sunt, equis afferunt magnum momentum: & nonnulla bobus tantum, nonnulla canibus: quaedam vero nullis horum, sed arboribus potius. & eorum, quae arboribus, quaedam ita se habent, ut saepe radicibus prosint, germinibus obsint: quemadmodum sterquilinium radicibus utile, ramusculis surculisque est noxium admodum. Oleum quoque arboribus omnibus herbisque maxime prodest: pilis autem animalium omnium, humanis exceptis, nocet plurimum. nam & pilis hominum & toti corpori confert. Atque ita varia quaedam & multiformis res bonum existit, ut & oleum externis nostri corporis partibus optimum, interioribus pessimum sit. quapropter medici omnes aegrotantibus olei usum vetant, nec uti permittunt, nisi quam parcissime

ταισβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι ταῖς διὰ τῶν ῥινῶν γιγνομένην ἐν τοῖς σιτίοις τε καὶ ὄψοις. Εἰπόντος οὖν ταῦτα αὐτοῦ, οἱ παρόντες ἀνεθορύβησαν ὡς εὖ λέγοι. Καὶ ἐγὼ εἶπον, Ὦ Πρωταγόρα, ἐγὼ τυγχάνω ἐπιλήσμων τὶς ὢν ἄνθρωπος· d. καὶ ἐάν τις μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥσπερ οὖν εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾧσυ ἂν χρῆναι, εἴπερ ἔμελλές μοι διαλέγεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους· οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, σύντεμνέ μοι τὰς ἀποκρίσεις, καὶ βραχυτέρας ποιει, εἰ μέλλω σοὶ ἕπεσθαι. Πῶς οὖν κελεύεις με βραχέα ἀποκρίνεσθαι; ἢ βραχυτερα σοι, ἔφη, ἀποκρινωμαι ἢ δεῖ; Μηδαμῶς, ἦν e. δ' ἐγώ. Ἀλλ' ὅσα δεῖ, ἔφη; Ναὶ, ἦν δ' ἐγώ. Πότερα οὖν ὅσα ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι; ἢ ὅσα σοι; Ἀκήκοα γοῦν, ἦν δ' ἐγὼ, ὅτι σὺ οἷόστ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι περὶ τῶν αὐτῶν, καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν· καὶ αὖ βραχέα οὕτως, ὥστε μηδένα σου ἐν βραχυτέροις εἰπεῖν.

ad obſoniorum quorundam male olentium offenſionem reiiciendam. Cum haec dixiſſet Protagoras, praeſentes frequenti applauſu acclamantes, illius dicta comprobaverunt. At ego, o Protagora, inquam, ſum equidem nimis oblivioſus, ac ſi quis orationem in longum protrahat, de quo verba fiunt protinus obliviſcor. Sane ſi ſurdaſter ſim, & mecum ſermonem inires, exiſtimares altius mihi quam ceteris inclamandum: ſic in praeſentia cum oblivioſum hominem alloquaris, conciſioribus mecum reſponſionibus agas, ſi modo vis ut te conſequar. *Prot.* Quam exigis brevitatem? num brevioribus quam oporteat verbis agi tecum iubes? *So.* Minime omnium. *Prot.* An forte quot opus eſt verbis? *So.* Tot utique. *Prot.* Numquid ergo meo arbitratu orationi modum imponam? an tu potius debitum terminum ſtatues? *So.* Audivi equidem, poſſe te copioſe, quoties lubitum eſt, loqui, ut nunquam tibi deſit oratio: nec non res eaſdem pauciboribus quam quiſquam mortalium verbis perſtringere: & eam ipſam vim

εἰ οὖν μέλλεις ἐμοὶ διαλέγεσθαι, τῷ ἑτέρῳ τρόπῳ χρῶ πρός p.
με, τῇ βραχυλογίᾳ. Ὦ Σώκρατες, ἔφη, ἐγὼ πολλοῖς ἤδη 335
εἰς ἀγῶνα λόγων ἀφικόμην ἀνθρώποις· καὶ εἰ τοῦτο ἐποίουν a.
ὃ σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέ με διαλέγεσθαι, οὕτω
διελεγόμην, οὐδενὸς ἂν βελτίων ἐφαινόμην, οὐδ' ἂν ἐγένετο
Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησι. Καὶ ἐγὼ (ἔγνων γὰρ ὅτι
οὐκ ἤρεσεν αὐτὸς αὑτῷ ταῖς ἀποκρίσεσι ταῖς ἐμπροσθεν, καὶ
ὅτι οὐκ ἐθελήσοι ἑκὼν εἶναι ἀποκρινόμενος διαλέγεσθαι) ἡγη- b.
σάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς συνουσίαις,
Ἀλλά τοι, ἔφην, ὦ Πρωταγόρα, οὐδ' ἐγὼ λιπαρῶς ἔχω παρὰ
τὰ σοὶ δοκοῦντα τὴν συνουσίαν ἡμῖν γίγνεσθαι· ἀλλ' ἐπειδὰν σὺ
βούλῃ διαλέγεσθαι, ὡς ἐγὼ δύναμαι ἕπεσθαι, τότε σοι δια-
λέξομαι. σὺ μὲν γάρ, (ὡς λέγεται περὶ σοῦ, φὴς δὲ καὶ αὐ-
τὸς) καὶ ἐν μακρολογίᾳ καὶ ἐν βραχυλογίᾳ οἷόστ' εἶ συνου- c.
σίας ποιεῖσθαι. σοφὸς γὰρ εἶ. ἐγὼ δὲ τὰ μακρὰ ταῦτα ἀδύ-
νατος. ἐπεὶ ἐβουλόμην ἂν οἷόστ' εἶναι. ἀλλά σε ἐχρῆν ἡμῖν

ceteros, ut audio, docere potes. Si ergo mecum disputaturus es, brevi illa & concisa ratione dicendi utere quaeso. *Prot.* O Socrates, multis cum hominibus olim dicendo certavi. Quod si quod tu mones egissem, si, inquam, ad normam mihi ab auditore praescriptam verba fecissem, nihilo quoquam melior essem, nec Protagorae nomen tota Graecia resonaret. Ego autem quum cognovissem, superiorem respondendi modum Protagorae minime placuisse, eumque sponte quidem deinceps ita minime responsurum; haudquaquam expedire mihi censui, ut illis disputationibus interessem, atque idcirco, O Protagora, inquam, non postulo ut contra, quam tibi commodum sit, una disputemus: sed si ita differere vis, ut ego assequi possim, adstabo equidem. nam tu quidem, ut de te fertur, & ipse profiteris, aeque eadem potes & summatim perstringere, & amplissime edisserere. es enim sapiens. ego autem ad prolixam orationem ineptus sum: atque utinam eius compos essem. Verum tua intererat nobis aliquantulum indulgere, quandoquidem aeque

συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον, ἵνα συνουσία ἐγίγνετο· νῦν δὲ, ἐπειδὴ οὐκ ἐθέλεις, καὶ ἐμοί τις ἀσχολία ἐστὶ, καὶ οὐκ ἂν οἶός τ' εἴην σοι παραμεῖναι ἀποτείνοντι μακροὺς λόγους (ἐλθεῖν γάρ ποι με δεῖ) εἶμι. ἐπεὶ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς σου ἤκουον. Καὶ ἅμα ταῦτα εἰπὼν, ἀνιςάμην ὡς ἀπιών· καί μου ἀνιςαμένου ἐπιλαμβάνεται ὁ Καλλίας τῆς
d. χειρὸς τῇ δεξιᾷ. τῇ δ' ἀριςερᾷ ἀντελάβετο τριβωνος τουτουΐ καὶ εἶπεν, Οὐκ ἀφήσομέν σε, ὦ Σώκρατες. ἐὰν γὰρ σὺ ἐξέλθῃς, οὐχ ὁμοίως ἡμῖν ἔσονται οἱ διάλογοι. δέομαι οὖν σου παραμεῖναι ἡμῖν. ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς ἥδιον ἀκούσαιμι ἢ σοῦ τε καὶ Πρωταγόρου διαλεγομένων. ἀλλὰ χάρισαι ἡμῖν πᾶσι. Καὶ ἐγὼ εἶπον (ἠδὴ δὲ ἀνεςήκειν ὡς ἐξιὼν) Ὦ παῖ Ἱππονίκου, ἀεὶ μὲν ἔγωγε σοῦ τὴν Φιλοσοφίαν ἄγαμαι, ἀτὰρ καὶ
e. νῦν ἐπαινῶ καὶ Φιλῶ· ὥστε βουλοίμην ἂν χαρίζεσθαί σοι, εἴ μου δυνατὰ δέοιτο· νῦν δ' ἔςιν ὥσπερ ἂν εἰ δέοιό μου, Κρίσωνι τῷ Ἱμεραίῳ δρομεῖ ἀκμάζοντι ἑπέσθαι, ἢ τῶν δολιχοδρόμων τῳ, ἢ τῶν ἡμεροδρόμων διαθεῖν τε καὶ ἑπέσθαι· εἶ-

es ad utrumque paratus, ut disputatio peragatur. postquam vero non vis, & me usque adeo negotia urgent, ut nequeam tecum hic diu commorari, quamvis illa libenter audissem: abeo iam quo res ipsa me vocat. His dictis, surrexi protinus abiturus. Sed cum surgerem, Callias dextera quidem me prehendens, sinistra hoc pallium, dixit, Haud te dimittemus, Socrates. nam si exieris nunc, vix erit deinceps ut ita colloquamur. Mane, obsecro: nullius me oratio perinde ut tua illa cum Protagora oblectabit. quare & mihi & omnibus his gratificare. At ego iam surrexeram exiturus, & ad Calliam inquam: O Hipponici fili, tuam semper philosophiam admiratus sum: nunc laudo insuper atque amo. Quocirca gratificari tibi vehementer optarim, si possibilia poscas. quod vero nunc petis, perinde est, ac si orares, ut Crisonem Himeraeum cursorem iuvenemque aequis passibus sequerer, vel aliquem eorum, qui longissimum intervallum excurrere solent, aut diurnum cursum peragere. obiicerem enim, multo magis

ποιμι ἂν σοι ὅτι πολὺ σοῦ μᾶλλον ἐγὼ ἐμαυτοῦ δέομαι θέουσι p.
τούτοις ἀκολουθεῖν· ἀλλ' οὐ γὰρ δύναμαι. ἀλλ' εἴτι δέῃ θεάσα- 336
σθαι ἐν τῷ αὐτῷ ἐμέ τε καὶ Κρίσωνα θέοντας, τούτου δέου a.
συγκαθεῖναι. ἐγὼ μὲν γὰρ οὐ δύναμαι ταχὺ θεῖν, οὗτος δὲ
δύναται βραδέως. εἰ οὖν ἐπιθυμεῖς ἐμοῦ καὶ Πρωταγόρου
ἀκούειν, τούτου δέου, ὥσπερ τοπρῶτον μοι ἀπεκρίνατο διὰ
βραχέων καὶ αὐτὰ τὰ ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνε-
σθαι. εἰ δὲ μὴ, τίς ὁ τρόπος ἔσαι τῶν διαλόγων; χωρὶς γὰρ b.
ἔγωγ' ᾠμην εἶναι τὸ συνεῖναί τε ἀλλήλοις διαλεγομένους,
καὶ τὸ δημηγορεῖν. Ἀλλ' ὁρᾷς, ἔφη, ὦ Σώκρατες· δικαια
δοκεῖ λέγειν Πρωταγόρας, ἀξιῶν αὐτῷ τε ἐξεῖναι διαλέγε-
σθαι ὅπως βούλεται, καί σοι ὅπως ἂν αὖ σὺ βούλῃ. Ὑπολα-
βὼν οὖν ὁ Ἀλκιβιάδης, Οὐ καλῶς λέγεις, ἔφη, ὦ Καλλία.
Σωκράτης μὲν γὰρ ὅδε ὁμολογεῖ μὴ μετεῖναί οἱ μακρολο-
γίας, καὶ παραχωρεῖ Πρωταγόρᾳ· τοῦ δὲ διαλέγεσθαι οἷόσ' c.
εἶναι, καὶ ἐπίστασθαι λόγον τε δοῦναι καὶ δέξασθαι, θαυμά-
ζοιμ' ἂν εἴ τῳ ἀνθρώπων παραχωρεῖ. εἰ μὲν οὖν καὶ Πρωτα-
γόρας ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι,

me ipsum optare, quam te, qui hosce cursores cursu aequare queam: sed nequeo. Quod si me & hunc quasi alterum Crisonem spectare pariter concurrentes vis, ipsum ora, ut aequis me passibus comitetur. nam ego quidem celeriter currere nequeo, hic autem tarde potest. Ergo si optas audire me & Protagoram disputantes, eum obsecra, ut quemadmodum a principio fecit, ita nunc paucis verbis & ad propositam quaestionem respondeat. alioquin quis erit disputandi modus? Putabam sane, aliud esse invicem differendo colloqui, aliud concionari. Sed vide, o Socrates, inquit Callias, aequa petere Protagoras videtur, dum censet licere sibi suo arbitratu differere, tibi item tuo. Hic Alcibiades, haud recte loqueris, inquit, o Callia. Socrates enim hic copiose dicendi impotentem se esse fatetur, & in hoc Protagorae cedit. si autem & in disputando, accipiendisque & reddendis rationibus cedat alicui, summopere mirabor. Si ergo

ἐξαρκεῖ Σωκράτει· εἰ δὲ ἀντιποιεῖται, διαλεγέσθω, ἐρωτῶν τε καὶ ἀποκρινόμενος, μὴ ἐφ' ἑκάστῃ ἐρωτήσει μακρὸν λόγον ἀποτείνων· ἐκκρούων τοὺς λόγους, καὶ οὐκ ἐθέλων διδόναι λόγον, ἀλλ' ἀπομηκύνων, ἕως ἂν ἐπιλάθωνται περὶ ὅτου τὸ
d. ἐρώτημα ἦν οἱ πολλοὶ τῶν ἀκουόντων. ἐπεὶ Σωκράτει γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καὶ φησιν ἐπιλήσμων εἶναι. ἐμοὶ μὲν οὖν δοκεῖ ἐπιεικέστερα Σωκράτης λέγειν. χρὴ γὰρ ἑκαστον τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι. Μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγῷμαι, Κριτίας ἦν ὁ εἰπὼν, Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι μάλα πρὸς Πρωταγόρου εἶναι· Ἀλκιβιάδης δὲ ἀεὶ φιλόνεικός ἐστι πρός ὅ,
e. τι ἂν ὁρμήσῃ. ἡμᾶς δὲ οὐδὲν δεῖ συμφιλονεικεῖν οὔτε Σωκράτει, οὔτε Πρωταγόρᾳ· ἀλλὰ κοινῇ ἀμφοτέρων δεισθαι μὴ
p. μεταξὺ διαλῦσαι τὴν συνουσιαν. Εἰπόντος δὲ αὐτοῦ ταῦτα,
337 a. ὁ Πρόδικος, Καλῶς μοι, ἔφη, δοκεῖς λέγειν, ὦ Κριτια. χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε λόγοις παραγιγνομένους, κοινοὺς μὲν

Protagoras confitetur, Socrate se esse disputando inferiorem, sat iam Socrates habet. sin autem hoc quoque sibi vendicat, disputet, tum interrogando, tum respondendo, nec in singulis responsionibus sermonem in longum producat, orationem intercipiens, ne alius loquatur: sed adeo verbosus est, ut magna pars auditorum obliviscatur, qua de re quaestio proposita fuerit. Equidem pro Socrate fideiubeo, eum quae dicentur oblivioni minime mandaturum, licet iocetur nobiscum, oblivioſum esse se dicens. Mihi sane videtur Socrates aequiora admodum postulare. decet enim unumquemque sententiam suam exprimere. Post Alcibiadem, ut arbitror, inquit Critias, O Prodice atque Hippia, Callias quidem Protagorae vehementer suffragari videtur: Alcibiades autem contentioſus nimis est & pertinax, quocunque se verterit. Nos autem alteri magis quam alteri favere non decet, vel Socrati, vel Protagorae, sed communiter utrumque rogare, ne postquam coeperint, media in disputatione desistant. Cum haec ille dixisset: Probe, Prodicus inquit, loqueris, o Critia. de-

εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατὰς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταυτόν. κοινῇ μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ· ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλαττον. ἐγὼ μὲν καὶ αὐτὸς, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ἀξιῶ ὑμᾶς συγχωρεῖν, καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμφισβητεῖν μὲν, ἐρίζειν δὲ μή· (ἀμφισβητοῦσι b. μὲν γὰρ καὶ δι' εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐριζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις) καὶ οὕτως ἂν καλλίστη ἡμῖν ἡ συνουσία γίγνοιτο. ὑμεῖς τε γὰρ οἱ λέγοντες, μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε, καὶ οὐκ ἐπαινοῖσθε· (εὐδοκιμεῖν μὲν γάρ ἐστι παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης, ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων) ἡμεῖς τ' αὖ οἱ ἀκούοντες, μάλιστ' ἂν οὕτως c. εὐφραινοίμεθα, οὐχ ἡδοίμεθα. εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα, αὐτῇ τῇ διανοίᾳ· ἥδεσθαι δὲ, ἐσθίοντά τι, ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ

cet enim eos, qui disputationibus his interfunt, communes quidem esse utrorumque auditores, aequales autem minime. neque vero idem hoc est & illud. communiter quippe audire utrumque decet, non autem aequaliter tribuere, sed sapientiori plus, indoctiori minus. Equidem, o Protagora atque Socrates, arbitror vos invicem nonnihil debere concedere, & de his quae dicentur, ambigere quidem simul, contendere vero nequaquam. Ambigunt enim propter benevolentiam cum amicis amici: contendunt autem adversarii & hostes. Atque ita quam optime disputatio nostra procederet. Vos siquidem ita disputantes, maxime a nobis audientibus probaremini, non laudaremini, inquam. Probant utique auditores mentis iudicio absque deceptione: laudant verbis, plerumque falso praeter sententiam aliquid extollentes. Nos item auditores ita maxime gaudio, non voluptate afficeremur. Gaudio enim afficitur ille, qui discendo & contemplando ipsa intelligentia delectatur: voluptate perfunditur, qui dum comedit, vel alio quodam oblectamento potitur,

τῷ σώματι. Ταῦτα οὖν εἰπόντος τοῦ Προδίκου, πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο. μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ὑμᾶς, συγγε-
d. νεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι, φύσει, οὐ νόμῳ. τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ, φύσει συγγενές ἐστιν. ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας, καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀπο-
e. φήνασθαι· ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς, ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβάζόντων εἰς τὸ μέσον· καὶ μήτε
p. σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ
338 a. βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ· ἀλλ' ἐφεῖναι καὶ χα-

ipso sensu corporis delectatur. Cum haec dixisset Prodicus, praesentium plurimi consenserunt. Deinde Hippias ille sapiens sic exorsus est: Arbitror, o viri praesentes, vos omnes cognatos, propinquosque & concives invicem esse natura, non lege. Simile namque simili natura cognatum. lex autem, tyrannus hominum, multa praeter naturam cogit. Turpe itaque esset, si nos, qui rerum naturam callemus, sapientissimique Graecorum omnium sumus, postquam de hoc ipso disputaturi hanc in urbem convenimus, totius Graecae sapientiae arcem, hisque in aedibus, urbis totius ampliſſimis sumtuosissimisque, congregati sumus, nihil tanta hac amplitudine dignum ostenderemus, sed vilium homunculorum more altercantes, invicem dissentiremus. Vos equidem, o Socrates & Protagora, hortor & obtestor, ut subesse nobis velut sub arbitris velitis, qui vos in medium sint perducturi. neque tu exactam dialogi formam, o Socrates, & illam tuam brevem nimis breviloquentiam requires, siquidem

λάσαι τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ἡμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα καλὼν ἐκτείναντα, οὐρίᾳ ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων, ἀποκρύψαντα γῆν· ἀλλὰ μέσον τοι ἀμφοτέρους τεμεῖν. ὡς οὖν ποιήσετε, καὶ πειθεσθέ μοι, ῥαβδοῦχον καὶ ἐπισάτην καὶ πρύτανιν ἑλέσθαι, ὃς ὑμῖν φυλάξει τὸ μέτριον μῆκος τῶν λό- b.
γων ἑκατέρου. Ταῦτα ἤρεσε τοῖς παροῦσι, καὶ πάντες ἐπῄνεσαν. καὶ ἐμέ τε ὁ Καλλίας οὐκ ἔφη ἀφήσειν, καὶ ἑλέσθαι ἐδέοντο ἐπισάτην. Εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν εἴη βραβευτὴν αἱρεῖσθαι τῷ λόγῳ. εἴτε γὰρ χείρων ἕξαι ἡμῶν ὁ αἱρεθείς, οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν· εἴτε ὅμοιος, οὐδ' οὕτως ὀρθῶς. ὁ γὰρ ὅμοιος ἡμῖν, ὅμοια καὶ ποιήσει. ὥστε ἐκ περιττοῦ αἱρεθήσεται. ἀλλὰ δὴ βελτίονα ἡμῶν αἱρή- c.
σεσθε. τῇ μὲν ἀληθείᾳ, ὡς ἐγῷμαι, ἀδύνατον ὑμῖν ὥστε Πρωταγόρου τοῦδε σοφώτερόν τινα ἑλέσθαι· εἰ δὲ αἱρήσεσθε μὲν μηδὲν βελτίω, φήσετε δὲ, αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνεται,

est Protagorae molestum : sed laxa paulisper obsecro fraena, quo sermones magnificentiores splendidioresque sint. Et te insuper, Protagora, quaeso, ne tentis omnibus rudentibus, velisque plenis in altum sermonum mare protinus delabare, unde nusquam tellus conspiciatur: sed annitamini, ut mediocritatem pro viribus uterque servetis. Igitur faciatis, quod volo, obtemperetisque: caduceatorem praefectumque certamini & iudicem eligatis quendam, qui verbis utriusque statuat modum. Placuerunt haec praesentibus, omnesque laudarunt. Me vero hoc idem hortatus est Callias: rogaruntque eligere arbitrum. At ego, Non decet, inquam, iudicem huic disputationi praeficere. nam si nobis imperitior erit iudex, iniustum erit ut deterior aliquis potioribus praesit: si similis, rursus haud recte agetur. similis enim nobis similia faciet. Quapropter supervacuus erit. Praestantiorem vero nobis quenquam eligere impossibile revera est, ut arbitror : quippe cum Protagora hoc sapientior alius eligi nequeat. quod si quem elegeritis nihilo doctiorem, asseretis tamen, dedecori

ὥσπερ φαύλῳ ἀνθρώπῳ ἐπιστάτην αἱρεῖσθαι. ἐπεὶ τόγ' ἐμόν, οὐδέν μοι διαφέρει· ἀλλ' οὕτωσὶ ἐθέλω ποιῆσαι, ἵν' ὁ προθυμεισθε, συνουσία τε καὶ διάλογοι ἡμῖν γίγνωνται. εἰ μὴ βούλεται, Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐρωτάτω, ἐγὼ
d. δὲ ἀποκρινοῦμαι· καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι. ἐπειδὰν δὲ ἐγὼ ἀποκρίνωμαι, ὅπως ἂν οὗτος βούληται ἐρωτᾶν, πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν οὖν μὴ δοκῇ πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθα αὐτοῦ ἅπερ ὑμεῖς ἐμοῦ, μὴ διαφθείρειν τὴν συνουσίαν. καὶ οὐδὲν δεῖ τούτου ἕνεκα ἕνα ἐπιστάτην γενέσθαι,
e. ἀλλὰ πάντες κοινῇ ἐπισατήσετε. Ἐδόκει πᾶσιν οὕτω ποιητέον εἶναι. καὶ ὁ Πρωταγόρας πάνυ μὲν οὐκ ἤθελεν, ὅμως δὲ ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν· καὶ ἐπειδὰν ἱκανῶς ἐρωτήσῃ, πάλιν δώσειν λόγον, κατὰ σμικρὸν ἀποκρινόμενος. Ἤρξατο οὖν ἐρωτᾶν οὑτωσί πως, Ἡγοῦμαι, ἔφη, ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παιδείας μέγιστον μέρος εἶναι, περὶ ἐπῶν δεινὸν

Protagorae hoc erit, quod ei tanquam inſcio & ignobili iudicem delegiſtis. Mea vero nihil intereſt. ceterum ut, quemadmodum vultis, diſputare pergamus, ita mihi videtur agendum. Si non vult reſpondere Protagoras, interroget ſaltem, ego autem reſpondebo; eique conabor oſtendere, quo pacto reſpondere quis alteri, meo quidem iudicio, debeat. Ac ubi ego ad quamlibet eius interrogationem ei reſpondebo, ille mihi viciſſim officium idem promittat. Et ſi forte parum alacris eſſe ad reſpondendum videatur, ego ſimul & vos hominem oremus, quemadmodum vos me nunc oratis, ne coetum diſſolvat. Neque vero opus eſt, ut unum iudicem proponatis. vos enim una omnes iudicabitis. Conſenſerunt omnes ſic eſſe agendum. Protagoras autem invitus ad haec deſcendere videbatur. tandem concedere coactus eſt interrogaturum ſe, & poſtquam ſatis interrogaverit, breviter reſponſurum. Itaque in hunc modum interrogare coepit: Arbitror, o Socrates, praecipuam doctrinae partem in hoc con-

εἶναι. ἔστι δὲ τοῦτο, τὰ ὑπὸ τῶν ποιητῶν λεγόμενα οἷόντ' εἶναι p.
ξυνιέναι ἅ τε ὀρθῶς πεποίηται, καὶ ἃ μή· καὶ ἐπίστασθαι 339
διελεῖν τε καὶ ἐρωτώμενον λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσαι a.
τῷ ἐρώτημα περὶ τοῦ αὐτοῦ μὲν περὶ οὗπερ ἐγώ τε καὶ σὺ
νῦν διαλεγόμεθα, περὶ ἀρετῆς. μετενηνεγμένον δὲ εἰς ποίησιν,
τοσοῦτον μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν
τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι ἄνδρα ἀγαθὸν μὲν
ἁλαθέως γενέσθαι, χαλεπὸν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τε- b.
τράγωνον, ἄνευ ψόγου τετυγμένον. τοῦτο ἐπίστασαι τὸ ᾆσμα,
ἢ πᾶν σοι διεξέλθω; Καὶ ἐγὼ εἶπον ὅτι, Οὐδὲν δεῖ. ἐπίσταμαί
τε γὰρ, καὶ πάνυ μοι τυγχάνει μεμελημένον τοῦ ᾄσματος.
Εὖ, ἔφη, λέγεις. πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ
ὀρθῶς; ἢ οὔ; Πάνυ, ἔφην ἔγωγε, καὶ ὀρθῶς. Δοκεῖ δέ σοι
καλῶς πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής;
Οὐ καλῶς, ἦν δ' ἐγώ. Ὅρα δὴ, ἔφη, βέλτιον. Ἀλλ', ὦ ἀγαθὲ, c.
ἔσκεμμαι ἱκανῶς. Οἶσθα οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσμα-
τος λέγει που, Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,

sistere, ut carmina quis quamplurima habeat in promtu. Est autem hoc, ut poëtarum dicta intelligere possit, quae recte scilicet habeant, quae minus: sciatque discernere; & cum interrogetur, rationem dare. Et nunc quidem interroget aliquis de eo ipso quod utrique iam investigamus, virtute scilicet. Sed hoc intererit, quod ad carmina disputatio est translata. Dicit enim Simonides ad Scopam Creontis Thessalici filium, difficile esse virum vere bonum fieri, manibus pedibusque & mente non ad amussim quadratis. Teneśne memoria carmina, aut vis ut universa exponam? *So.* Nihil opus est. teneo namque, & diligens mihi horum carminum cura fuit. *Prot.* Bene loqueris. Utrum igitur bene recteque dixisse tibi videtur Simonides, an non? *So.* Immo optime. *Prot.* Videturne tibi recte loqui poëta, si ipse sibimet contradixerit? *So.* Minime. *Prot.* Attende itaque diligentius. *So.* Satis, o bone vir, attendimus. *Prot.* In eisdem carminibus postea dicit, Pittaci, sapientis licet viri, sententiam absonam sibi

καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον. χαλεπὸν φάτο ἐσθλὸν ἔμμεναι. ἐννοεῖς ὅτι ὁ αὐτὸς οὗτος καὶ τάδε λέγει, κἀκεῖνα τὰ ἔμπροσθεν; Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτα ἐκείνοις ὁμολογεῖσθαι; Φαίνεται ἔμοιγε. Καὶ ἅμα μέντοι ἐφοβούμην μή τι λέγῃ· Ἀτὰρ, ἔφην ἐγὼ, σοὶ οὐ φαίνεται;
d. Πῶς γὰρ ἂν φαίνοιτο ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτα ἀμφότερα λέγων· ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι, ἄνδρα ἀγαθὸν γενέσθαι ἀλαθείᾳ· ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο· καὶ Πιττακὸν τὸν ταυτὰ λέγοντα ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί τε, καὶ οὐ φησιν ἀποδέχεσθαι αὐτοῦ τὰ αὐτὰ ἑαυτῷ λέγοντος. καίτοι ὁπότε τὸν ταυτὰ λέγοντα αὐτῷ μέμφεται, δῆλον ὅτι καὶ ἑαυτὸν μέμφεται. ὥστε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει. Ἐπὼν οὖν ταῦτα, πολλοῖς θο-
e. ρύβου παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων. καὶ ἐγὼ, τὸ μὲν πρῶτον, ὥσπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγεὶς, ἐσκοτώθην τε καὶ ἰλιγγίασα, εἰπόντος αὐτοῦ ταῦτα, καὶ τῶν ἄλλων ἐπιθορυβησάντων· ἔπειτα (ὡς γε πρός σε εἰρῆσθαι τἀληθῆ) ἵνα

videri, qua inquit, Difficile eſt bonum manere. Intelligis, eundem Simonidem haec & ſuperiora dixiſſe? *So.* Equidem. *Prot.* Numquid eadem haec & illa ſunt? Eadem, inquam, ut mihi videtur. Et ſimul metuens, ne quid ultra adiiceret, interrogavi, an non ipſi quoque videretur. Rogas, inquit, utrum conſtare ſibimet illum putem, qui haec utraque dixit? & primo quidem propoſuit, bonum virum fieri vere difficile eſſe: paulo autem poſt, tanquam ſui ipſius oblitus, Pittacum eadem cum illo dicentem, difficile ſcilicet eſſe virum bonum manere, carpit, eius dicta reſpuens, qui eadem dixerat. Enimvero, cum opinionis eiuſdem ac ſuae auctorem Pittacum accuſat, ſeipſum damnat. Quapropter aut prius aut poſterius non recte dicit. His dictis acclamarunt auditores plurimi, & Protagoram collaudarunt. Ego autem primum, tanquam a pugili robuſto percuſſus, oculis vertigine caligantibus vacillavi. nam & eius vox, & aliorum clamor me prorſus obruerant.

μοι χρόνος ἐκγέγνηται τῇ σκέψει τί λέγει ὁ ποιητὴς τρέπομαι πρὸς τὸν Πρόδικον· καὶ καλέσας αὐτὸν, Ὦ Πρόδικε, ἔφην ἐγὼ, σὸς μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σε, ὥσπερ ἔφη Ὅμηρος, τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως, τὸν Σιμόεντα παρακαλεῖν, εἰπόντα, Φίλε κασιγνήτε, σθένος ἀνέρος ἀμφότεροί περ σχῶμεν. Ἀτὰρ καὶ ἐγώ σε παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ἤ, τό, τε βούλεσθαι καὶ ἐπιθυμεῖν διαιρεῖς, ὡς οὐ ταυτὸν ὄν. καὶ ἃ νῦν δὴ εἶπες, πολλά τε καὶ καλά· καὶ νῦν σκόπει εἴ σοι συνδοκεῖ ὅπερ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ Σιμωνίδης. σὺ γὰρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην. ταυτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι; ἢ ἄλλο; Ἄλλο, νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγὼ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρα ἀγαθὸν ἀληθείᾳ γενέσθαι, χαλεπὸν εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ Πρόδικος. Τὸν δέ γε Πιττακὸν, p. 340 a. b. c.

Deinde vero, (ut apud te verum ingenue fatear,) quo ſpatium ad poëtae mentem inveſtigandam captarem, ad Prodicum converſus inquam, Concivis tuus, o Prodice, Simonides exſtitit. ergo tua intereſt illi opem ferre. Videor igitur ego mihi ſic advocare te, quemadmodum apud Homerum Scamander ab Achille obſeſſus Simoëntem advocavit: *O dulcis frater, viri huius una ambo vim comprimamus.* Haud ſecus ego te nunc advoco, ne Protagoras Simonidem noſtrum expugnet. Equidem ut Simonidi ſuccurratur, illa concinnitate tua opus eſt, qua velle diſtinguis & cupere, & quae multa atque praeclara paulo ante dicebas. Et nunc quidem vide, num tibi idem quod mihi videatur: neque enim repugnare ſibi in dicendo Simonidem puto. Sed tuam, o Prodice, ſententiam prior expone: Idemne tibi fieri & eſſe videtur, an aliud? Aliud, per Iovem, inquit Prodicus. Nonne in primis, inquam, Simonides ſuam ſententiam exponit, quod virum bonum vere fieri diſ-

ἦν δ' ἐγὼ, μέμφεται, οὐχ ὡς οἴεται Πρωταγόρας, τὸ αὐτὸ ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο. οὐ γὰρ τοῦτο ὁ Πιττακὸς ἔλεγε, τὸ Χαλεπὸν γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ Ἔμμεναι. ἔστι δὲ οὐ ταυτὸν, ὦ Πρωταγόρα, ὡς φησι Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι. εἰ δὲ μὴ τὸ αὐτό ἐστι τὸ εἶναι τῷ γενέσθαι, οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς ἑαυτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε, καὶ ἄλλοι πολλοὶ, καὶ
d. Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν, χαλεπὸν εἶναι. τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖναι ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηϊδίην δ' ἔπειτα πέλειν, χαλεπήν περ ἐοῦσαν ἐκτῆσθαι. Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα, ἐπῄνεσέ με. ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμα σοι, ἔφη, ὦ Σώκρατες, μεῖζον ἁμάρτημα ἔχει ἢ ὃ ἐπανορθοῖς. Καὶ ἐγὼ εἶπον, Κακὸν ἄρα μοι εἴργασαι, ὡς ἔοικεν, ὦ Πρωταγόρα· καὶ εἰμί τις
e. γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Ἀλλ' οὕτως ἔχει, ἔφη. Πῶς δή; ἦν δ' ἐγώ. Πολλὴ ἂν, ἔφη, ἀμαθία εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τι φησὶν εἶναι τὴν ἀρετὴν ἐκ-

ficile sit? Vera narras, inquit Prodicus. Pittacum autem, inquam ego, improbat, non, ut Protagoras censet, idem, sed diversum dicentem. non enim dixit Pittacus, difficile esse virum fieri bonum, ut Simonides, sed manere. Est autem non idem, o Protagora, sicut existimat Prodicus iste, esse & fieri. si autem non idem est esse quod & fieri, haudquaquam sibi ipsi Simonides contraria ponit. Ac dicere fortassis Prodico huic & multis aliis illud Hesiodi licet, Effici bonum difficile quidem esse: qui ante virtutem sudorem a diis positum inquit; verum ubi ad summum verticem perventum sit, facilem esse, quae comparatu difficilis fuit. Prodicus igitur cum haec audisset, me laudavit. Protagoras autem, Ista, o Socrates, emendatio, inquit, plus habet vitii, quam quod emendas. Male igitur, inquam ego, o Protagora, mecum actum est, ut videtur; sumque ridiculus medicus: quippe qui dum curare contendo, morbum exaugeo. *Prot.* Atqui sic tamen res habet. *So.* Qua ratione? *Prot.* Nimis enim inscius poëta ille fuisset, si adeo

τῆσθαι, ὃ ἐξι πάντων χαλεπώτατον, ὡς ἅπασι δοκεῖ ἀνθρώποις. Καὶ ἐγὼ εἶπον, Νὴ τὸν Δια, εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν τοῖς λόγοις Πρόδικος ὅδε. κινδυνεύει γάρ τοι, ὦ Πρωταγόρα, ἡ Προδίκου σοφία, θεία τὶς εἶναι πάλαι· ἤτοι ἀπὸ Σιμωνίδου ἀρξαμένη, ἢ καὶ ἔτι παλαιοτέρα. σὺ δὲ ἄλλων πολλῶν ἔμπειρος ὢν, ταύτης ἄπειρος εἶναι φαίνῃ, οὐχ ὥσπερ ἐγὼ, ἔμπειρος, διὰ τὸ μαθητὴς εἶναι Προδίκου τουτουΐ. καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν ὅτι καὶ τὸ χαλεπὸν τοῦτο ἴσως οὐχ οὕτω Σιμωνίδης ὑπέλαβεν ὥσπερ σὺ ὑπολαμβάνεις· ἀλλ' ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός με οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλλόν τινα, λέγω ὅτι Πρωταγόρας σοφὸς καὶ δεινός ἐξιν ἀνὴρ, ἐρωτᾷ εἰ οὐκ αἰσχύνομαι τἀγαθὰ δεινὰ καλῶν. τὸ γὰρ δεινὸν, φησὶ, κακόν ἐξιν. οὐδείς γοῦν λέγει ἑκάστοτε δεινοῦ πλούτου, οὐδὲ δεινῆς εἰρήνης, οὐδὲ δεινῆς ὑγιείας· ἀλλὰ δεινῆς νόσου, καὶ δεινοῦ πολέμου, p. 341 a. b.

virtutem parvi feciſſet, ut facilem eſſe eius poſſeſſionem exiſtimaſſet, cum ſit omnium difficillima, velut omnibus hominibus videtur. *So.* Opportune, per Iovem, noſtris iſte Prodicus ſermonibus intervenit. Videtur enim, o Protagora, divina illa Prodici ſapientia vetuſta eſſe quaedam iamdudum, vel originem trahens a Simonide, vel etiam antiquior. Tu autem, quum multarum rerum aliarum peritus ſis, huius tamen imperitus appares. ego vero eam expertus ſum, cum fuerim Prodici huius diſcipulus. Atqui in praeſentia haud ſatis animadvertere mihi videris, ipſum quod difficile dicitur, forſitan Simonidem non ita uſurpaſſe, quemadmodum abs te nunc uſurpatur: verum tanquam malum & grave quiddam intelligendum eſſe crebro me Prodicus admonet. nam quoties vel alium, vel te ipſum laudans ita dico: Protagoras ſapiens vir eſt, & δεινὸς, id eſt, vehemens gravisque: corripit me continuo, rogatque an non pudeat me, qui quod bonum eſt, grave vocem; cum quod grave eſt, ſit malum. Nemo enim ita, divitias graves, gravem pacem, ſanitatem gravem dicit: ſed gravem morbum, grave bellum, gravem

καὶ δεινῆς πενίας· ὡς τοῦ δεινοῦ κακοῦ ὄντος. ἴσως οὖν καὶ τὸ
χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ κακὸν ὑπολαμβάνουσιν, ἢ ἄλλό τι ὃ σὺ οὐ μανθάνεις. ἐρώμεθα οὖν Πρόδικον.
(δίκαιον γὰρ τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτᾶν) Τί ἐλε-
c. γεν, ὦ Πρόδικε, τὸ χαλεπὸν Σιμωνίδης; Κακὸν, ἔφη. Διὰ ταῦτ' ἄρα καὶ μέμφεται, ἦν δ' ἐγὼ, ὦ Πρόδικε, τὸν Πιττακὸν, λέγοντα, Χαλεπὸν ἐσθλὸν ἔμμεναι. ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐξὶ κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει, ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἄλλο, ἢ τοῦτο, καὶ ὀνειδίζειν τῷ Πιττακῷ ὅτι τὰ ὀνόματα οὐκ ἠπίστατο ὀρθῶς διαιρεῖν, ἅτε Λέσβιος ὢν, καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος; Ἀκούεις δὴ, ἔφην ἐγὼ, ὦ Πρωταγόρα, Προδίκου
d. τοῦδε· ἔχεις τὶ πρὸς ταῦτα λέγειν; Καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε. ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι καὶ Σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι· οὐ τὸ κακὸν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρω-

paupertatem; quasi grave, id est, onerosum, malum sit. Fortassis igitur & Chii, & Simonides ipse, cum difficile dicunt, vel malum insinuant, vel aliud quiddam quod abs te minus intelligitur. Ergo a Prodico sciscitemur: (decet enim de Simonidis scriptis hunc maxime percontari:) Quidnam, o Prodice, Simonides ipso difficilis nomine intelligi voluit? *Prod.* Malum profecto. *So.* Ob hoc, ut arbitror, Prodice, Pittacum reprehendit, dicentem, difficile esse bonum manere: ac si dixisset, malum esse manere bonum. *Prod.* Et quid aliud putas, o Socrates, sibi voluisse Simonidem, quam reprehendere Pittacum, quod nomina recte discernere nesciret, utpote qui Lesbius erat, & inter barbaros educatus? *So.* Audis, o Protagora, quae Prodicus hic dicit? Quid ad haec? *Prot.* Permultum abest, ut ita sit, Prodice. certe equidem scio, Simonidem difficilis nomine, id quod & alii solent, voluisse, non malum, sed quod non facile, quodque multis cum laboribus comparetur, significare. *So.* Ego item hoc voluisse Si-

ταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε εἰδέναι· ἀλλὰ παίζειν, καὶ σοῦ δοκεῖν ἀποπειρᾶσθαι εἰ οἷόστ' ἔσῃ τῷ σαυτοῦ λόγῳ βοηθεῖν. ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χαλεπὸν, κακὸν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα. λέγει γὰρ ὅτι θεὸς ἂν μόνος ἔχοι τοῦτο γέρας· οὐ δή που τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι. εἶτα τὸν θεὸν φησὶ μόνον τοῦτο ἂν ἔχειν, καὶ τῷ θεῷ τοῦτο γέρας ἀπένειμε μόνῳ. ἀκόλαζον γὰρ ἄν τινα λέγοι Σιμωνίδην ὁ Πρόδικος, καὶ οὐδαμῶς Κεῖον. ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει λαβεῖν μου πεῖραν ὅπως ἔχω ὃ σὺ λέγεις, τοῦτο περὶ ἐπῶν· ἐὰν δὲ βούλῃ, σοῦ ἀκούσομαι. Ὁ μὲν οὖν Πρωταγόρας ἀκούσας μου ταῦτα λέγοντος, Εἰ σὺ βούλει, ἔφη, ὦ Σώκρατες. ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ, καὶ οἱ ἄλλοι. Ἐγὼ τοίνυν, ἣν δ' ἐγὼ, ἅ γε μοι δοκεῖ περὶ τοῦ ᾄσματος τούτου πειράσομαι ὑμῖν διεξελθεῖν. φιλοσοφία γάρ ἐστι παλαιοτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ τε καὶ ἐν Λακεδαίμονι· καὶ σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσιν, ἀλλ' ἐξαρνοῦνται, καὶ σχη-

p. 342 a. b.

monidem arbitror, o Protagora, idemque Prodicum intelligere: sed ludere, tentareque te, utrum sermoni tuo valeas suffragari. Quod enim Simonides difficile non malum intelligi velit, argumento sunt quae sequuntur. subiungit enim, quod solus Deus hoc munere frui dignus sit. Neque vero si vellet, malum esse bonum, paulo post adiungeret, solum Deum huius compotem esse, Deoque soli munus id attribueret. dissolutum enim hominem, nec ullo modo Chium Prodicus diceret fuisse Simonidem. Ceterum quid tandem sensisse in his carminibus Simonidem ducam, dicam, si quidem de me periculum facere vis, quemadmodum circa poëtica habeam. sin autem lubeat, te audiam. Protagoras cum haec audisset, Ut lubet, inquit, o Socrates. verum Prodicus & Hippias, aliique omnes agere iusserunt. Conabor igitur, inquam, quid de his carminibus sentiam, vobis exponere. Antiquissima apud Graecos & plurima philosophia in Creta & Lacedaemone exstat,

ματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ κατάδηλοι ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν· (ὥσπερ οὖς Πρωταγόρας ἔλεγε τοὺς σοφιστάς·) ἀλλὰ δοκῶσι τῷ μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι· ἡγούμενοι, εἰ γνωσθεῖεν ὅπερ εἰσί, πάντας τοῦτο ἀσκήσειν. νῦν δὲ ἀποκρυψάμενοι ἐκεῖνο, ἐξηπατήκασι τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας. καὶ οἱ μὲν ὥτά τε κατάγνυνται, μι-
c. μούμενοι αὐτοὺς, καὶ ἱμάντας περιειλίττονται, καὶ φιλογυμναζοῦσι, καὶ βραχείας ἀναβολὰς φοροῦσιν· ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὰν βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς συγγενέσθαι σοφισταῖς, καὶ ἤδη ἄχθωνται λάθρα ξυγγιγνόμενοι, ξενηλασίας ποιούμενοι τῶν τε λακωνιζόντων τούτων, καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδημήσῃ, συγγίγνονται τοῖς σοφισταῖς λανθάνοντες τοὺς ξένους· καὶ αὐτοὶ οὐδένα ἐῶσι τῶν
d. νέων εἰς τὰς ἄλλας πόλεις ἐξιέναι, ὥσπερ οὐδὲ Κρῆτες, ἵνα μὴ ἀπομανθάνωσιν ἃ αὐτοὶ διδάσκουσι. εἰσὶ δὲ ἐν ταύταις ταῖς πόλεσιν οὐ μόγον ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες,

& ſophiſtae plures ibi quam alibi uſquam reperiuntur: diſſimulant autem, & imperitos ſe eſſe fingunt, ne ceteros Graecos ſuperare ſapientia deprehendantur: (prorſus quemadmodum Protagoras de ſophiſtis ſupra dicebat:) ſed ut videantur re militari potius & fortitudine ceteros anteire; veriti, ne ſi, quod ſunt, patefiat, ceteri omnes idem ſtudium proſequantur. Ergo celant decipiuntque eos, qui ceteris in urbibus mores Lacedaemoniorum imitantur, ſunt enim qui quod aures praecidant, & quod loris involvuntur, quod exercitationibus gaudent, quod brevibus veſtibus utuntur, ſimiles Spartanis eſſe videri volunt: perinde ac ſi huiuscemodi rebus Lacedaemonii ceteros Graecos ſuperent. Lacedaemonii vero quoties cum ſophiſtis ſuis liberius colloqui volunt, externos aegre ferunt, & clanculum congregati, excluſis peregrinis omnibus, cum ſophiſtis philoſophantur. prohibent quin etiam & ipſi & Cretenſes, ne adoleſcentes gentis ſuae urbes alias adeant, ne quae apud eos docentur, alibi forte dediſcant

ἀλλὰ καὶ γυναῖκες. γνοίητε δ' ἂν ὅτι ἐγὼ ταῦτα ἀληθῆ λέγω, καὶ Λακεδαιμόνιοι πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται, ὧδε. εἰ γὰρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ συγγενέσθαι, τὰ μὲν πολλὰ ἐν τοῖς λόγοις εὑρήσει αὐτὸν φαῦλόν τινα φαινόμενον, ἔπειτα ὅπου ἂν τύχοι τῶν e. λεγομένων, ἐνέβαλε ῥῆμα ἄξιον λόγου βραχὺ καὶ συνεσταλμένον, ὥσπερ δεινὸς ἀκοντιστής· ὥστε φαίνεσθαι τὸν προσδιαλεγόμενον παιδὸς μηδὲν βελτίω. τοῦτο οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι, ὅτι τὸ λακωνίζειν, πολὺ μᾶλλον ἐστὶ φιλοσοφεῖν ἢ φιλογυμναστεῖν· εἰδότες ὅτι τοιαῦτα οἷόντ' εἶναι ῥήματα φθέγγεσθαι, τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώπου. τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος, καὶ P. Πιττακὸς ὁ Μιτυληναῖος, καὶ Βίας ὁ Πριηνεὺς, καὶ Σόλων 343 a. ὁ ἡμέτερος, καὶ Κλεόβουλος ὁ Λίνδιος, καὶ Μύσων ὁ Χηνεύς· καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο Λακεδαιμόνιος Χίλων. οὗτοι πάντες, ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων παιδείας. καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν

Reperiuntur autem in his civitatibus non viri tantum doctrina egregii, verum etiam mulieres. Quod autem vera loquar, & Lacedaemonii optime ad philosophiam sermonesque sint educati, hinc maxime animadvertere licet. Si quis enim cum vilissimo etiam Lacedaemoniorum colloquatur, rudem plerumque in verbis apparere primo comperiet. mox ubicunque rei ipsius opportunitas exigit, instar vehementis iaculatoris verbum breve contortumque, sed magni cuiusdam momenti, eiaculatur, ut qui cum eo loquitur, nihil a puero differre existimetur. Quod autem Lacedaemoniorum virtus, in sapientiae magis quam exercitationis studio consistat, intelligunt nonnulli nostrae aetatis homines, & olim multi idem animadverterunt, cum viderent, verba eiusmodi enuntiare posse, viri esse absolute docti. Horum e numero fuit Thales Milesius, & Mitylenaeus Pittacus, Bias Prieneus, noster Solo, Cleobulus Lindius, Myso Chenaeus: septimus autem horum dictus est Lacedaemonius Chilo. Hi omnes aemuli studiosique Lace-

σοφίαν τοιαύτην οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευτα
ἑκάστῳ εἰρημένα. οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς
b. σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς,
γράψαντες ταῦτα ἃ δὴ πάντες ὑμνοῦσι, Γνῶθι σαυτόν καὶ,
Μηδὲν ἄγαν. τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος
ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις Λακω-
νική· καὶ δὴ καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα
ἐγκωμιαζόμενον ὑπὸ τῶν σοφῶν, τὸ, Χαλεπὸν ἐσθλὸν ἔμ-
c. μεναι. ὁ οὖν Σιμωνίδης, ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ, ἔγνω
ὅτι εἰ καθέλοι τοῦτο τὸ ῥῆμα, ὥσπερ εὐδοκιμοῦντα ἀθλητὴν,
καὶ περιγένοιτο αὐτοῦ, αὐτὸς εὐδοκιμήσειε τοῖς τότε ἀνθρώ-
ποις. εἰς τοῦτο οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα τούτῳ ἐπιβου-
λεύων, κολούσαι αὐτὸ ἅπαν τὸ ᾆσμα πεποιηκεν, ὡς μοι φαί-
νεται. ἐπισκεψώμεθα δὴ αὐτὸ κοινῇ πάντες, εἰ ἄρα ἐγὼ ἀλη-
θῆ λέγω. εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν
d. φανειη, εἰ βουλόμενος λέγειν ὅτι ἄνδρα ἀγαθὸν γενέσθαι
χαλεπὸν, ἔπειτα ἐνέβαλε τὸ Μέν. τοῦτο γὰρ οὐδὲ πρὸς ἓνα

daemoniae ſapientiae fuerunt. Eam talem fuiſſe comperimus: verba brevia, memoratu unicuique digna. Hi facto conſilio ex communi conſenſu, has Delphici Apollinis templo primitias ſapientiae dedicarunt, quae templo inſcriptae, ab omnibus celebrantur: Cognoſce teipſum: &, Nihil nimis. Haec ob eam cauſam refero, ut pateat, eam priſcae philoſophiae fuiſſe figuram, Laconicam ſcilicet quandam, ut ita dixerim, breviloquentiam. Atqui & Pittaci proprium hoc dictum circumferebatur, a ſapientibus celebratum: Bonum manere difficile eſſe. Simonides itaque, cum ſapientiae gloriam cuperet, cognovit, ſi proverbium hoc tanquam inſignem quendam athletam refelleret convinceretque, fore ut ipſe illuſtris omnibus haberetur. Quamobrem carmina illa compoſuit, eius, cuius gloriae inſidiatus eſt, verba, ut arbitror, turbaturus. Sed diſcutiamus haec una omnes, & videamus utrum vera loquar. Primum quidem carmina illa priora inſanum hominem indicarent, ſi dicere volens, Virum effici bonum eſſe

λόγον φαίνεται ἐμβεβλῆσθαι. ἐὰν μή τις ὑπολάβῃ πρὸς τὸ τοῦ Πιττακοῦ ῥῆμα ὥσπερ ἐρίζοντα λέγειν τὸν Σιμωνίδην· λέγοντος τοῦ Πιττακοῦ ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, ἀμφισβητοῦντα εἰπεῖν ὅτι οὐκ· ἀλλὰ γενέσθαι μὲν χαλεπὸν ἀνδρα ἀγαθόν ἐσιν, ὦ Πιττακὲ, καὶ ὡς ἀληθῶς οὐκ ἀληθείᾳ ἀγαθόν. οὐκ ἐπὶ τούτῳ λέγει τὴν ἀλήθειαν, ὡς ἄρα ὄντων τινῶν, τῶν μὲν, ὡς ἀληθῶς ἀγαθῶν, τῶν δὲ, ἀγαθῶν μὲν, e.
οὐ μέντοι ἀληθῶς· (εὐηθες γὰρ τοῦτό γε φαίην ἄν, καὶ οὐ Σιμωνίδου) ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι ἐν τῷ ῥήματι τὸ Ἀληθέως, οὕτωσί πως ὑπειπόντα τὸ, τοῦ Πιττακοῦ, ὥσπερ ἂν εἰ θείημεν αὐτὸν λέγοντα τὸν Πιττακὸν, καὶ Σιμωνίδην ἀποκρινόμενον· εἰπόντα, Ὦ ἄνθρωποι, χαλεπὸν ἐσθλὸν ἔμμεναι· τὸν δὲ, ἀποκρινόμενον ὅτι, Ὦ Πιττακὲ οὐκ ἀληθῆ λέγεις. οὐ p.
γὰρ εἶναι ἀλλὰ γενέσθαι μέν ἐσιν ἄνδρα ἀγαθὸν χερσί τε 344
καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀληθέως. οὕτω φαίνεται τὸ πρὸς λόγον, τὸ Μὲν ἐμβεβλημένον, καὶ τὸ Ἀληθέως ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον. καὶ τὰ ἐπιόντα πάντα τούτῳ μαρτυρεῖ ὅτι οὕτως

difficile, mox hanc particulam Quidem iniecisset. ea enim nulla ratione videtur iniecta: nisi dicamus, adversus Pittaci verba certantem Simonidem loqui: & cum ille dixisset, Difficile esse bonum manere, Simonidem ad haec obiicere, Non est ita, o Pittace, immo bonum quidem virum effici difficile est, vere, non revera bonum. Non enim idcirco dicit Revera, quia sint aliqui vere boni, alii autem boni quidem, sed non vere. absonum namque videretur, neque Simonide dignum. sed in dictione Vere, superiectionem esse in carmine dicemus, quam Pittaci verbis subiecit: quasi ponamus Pittacum ipsum sic dicere, O viri, difficile est bonum manere: Simonides autem subiiciat, O Pittace, vera minime loqueris. non enim esse, sed fieri virum bonum, manibus pedibusque, & mente ad amussim quadratum, est difficile vere. Ita videtur non absque ratione haec particula Quidem iniecta: & ipsum Vere haud ab re postremo locatum. atqui quae

εἴρηται. πολλὰ μὲν γάρ ἐστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ἄσ-
b. ματι εἰρημένων ἀποδεῖξαι ὡς εὖ πεποίηται. πάνυ γὰρ χαριέν-
τως καὶ μεμελημένως ἔχει. ἀλλὰ μακρὸν ἂν εἴη αὐτὸ οὕτω
διελθεῖν· ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν, καὶ
τὴν βούλησιν, ὅτι παντὸς μᾶλλον ἔλεγχός ἐστι τοῦ Πιττα-
κείου ῥήματος διὰ παντὸς τοῦ ἄσματος. λέγει γὰρ μετὰ τοῦ-
το ὀλιγα διελθὼν, ὡσανεὶ λέγοι λόγον, ὅτι γενέσθαι μὲν ἄν-
δρα ἀγαθὸν χαλεπὸν ἀληθέως· οἷόν τε μέντοι ἐπί γε χρόνον
τινά. γενόμενον δὲ, διαμένειν ἐν ταύτῃ τῇ ἕξει, καὶ εἶναι ἄν-
c. δρα ἀγαθὸν, ὡς σὺ λέγεις, ὦ Πιττακὲ, ἀδύνατον, καὶ οὐκ
ἀνθρώπειον. ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας. ἄνδρα
δὲ οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι, ὃν ἂν ἀμήχανος συμφορὰ
καθέλῃ. τινα οὖν ἀμήχανος συμφορὰ καθαιρεῖ ἐν πλοίου
ἀρχῇ; δηλονότι οὐ τὸν ἰδιώτην. ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ κα-
θῆται. ὥσπερ οὖν οὐ τὸν κείμενον τὶς ἂν καταβάλοι, ἀλλὰ
τὸν μὲν ἑστῶτά ποτε καταβάλοι ἄν τις, ὥστε κείμενον ποιῆ-
d. σαι· τὸν δὲ κείμενον, οὗ οὕτω καὶ τὸν εὐμήχανον ὄντα ποτὲ

sequuntur, omnia huic atteſtantur, quod ſit hunc in modum dictum. Multa inſuper ſunt in his carminibus, quae quam pulchre ſcripta ſint, ſigillatim oſtendere poſſemus: ſcite namque & accurate compoſita ſunt: ſed prolixior foret oratio. Quare ſummatim poëtae huius formam conſiliumque exponamus. Intendit autem prorſus in omnibus his verſibus Pittaci dictum refellere. ait enim paulo poſt ferme in hunc modum, quod effici virum bonum difficile vere: eſt tamen tempus quoddam ubi poſſibile eſt. factum vero bonum, eo in habitu perſeverare, eſſeque bonum, ut tu quidem, Pittace, contendis, impoſſibile eſt, neque humanum: ſed ſolus hoc Deus munere fungitur: hominem vero ita bonum manere, ne rurſus labatur, impoſſibile eſt, quem fors inopina abripiat. Quemnam potiſſimum inopinatus caſus in navis gubernatione ſubmergit? Non rudem hominem. nam ſemper ille ſuccumbit. Quemadmodum igitur iacentem nullus deiicit, ſed ſtantem quandoque deiicit aliquis, iacereque cogit; ia-

ἀμήχανος ἂν συμφορὰ καθέλοι, τὸν δὲ ἀεὶ ἀμήχανον ὄντα, οὔ. καὶ τὸν κυβερνήτην μέγας χειμὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειε, καὶ γεωργὸν χαλεπὴ ὥρα ἐπελθοῦσα ἀμήχανον ἂν ϑείη· καὶ ἰατρὸν ταυτὰ ταῦτα. τῷ μὲν γὰρ ἐσϑλῷ ἐγχωρεῖ κακῷ γενέσϑαι· (ὥσπερ καὶ παρ' ἄλλου ποιητοῦ μαρτυρεῖται, τοῦ εἰπόντος, Αὐτὰρ ἀνὴρ ἀγαθὸς, τοτὲ μὲν κακὸς, ἄλλοτε δ' ἐσϑλός·) τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσϑαι, ἀλλ' ἀεὶ εἶναι ἀνάγκη. ὥστε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπειδὰν ἀμήχανος συμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ σὺ κακὸν εἶναι· σὺ δὲ φῂς, ὦ Πιττακὲ, χαλεπὸν ἐσϑλὸν ἔμμεναι. τὸ δ' ἔστι, γενέσϑαι μὲν χαλεπὸν, δυνατὸν δὲ· ἐσϑλὸν δ' ἔμμεναι ἀδύνατον. πράξας μὲν γὰρ εὖ πᾶς ἀνὴρ, ἀγαθός· κακὸς δ', εἰ κακῶς. τίς οὖν εἰς γράμματα ἀγαθὴ πρᾶξίς ἐστι; καὶ τίς ἄνδρα ἀγαθὸν ποιεῖ εἰς γράμματα; δῆλον ὅτι ἡ τούτων μάϑησις. τίς δὲ εὐπραγία ἀγαθὸν ἰατρὸν ποιεῖ; δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς ϑεραπείας μάϑησις. κακὸς δὲ, e. P. 345 a.

centem vero nequaquam: ita solertem & sagacem hominem nonnunquam inopinatus casus circumvenit: eum vero qui nihil pensi unquam habet, minime. & gubernatori quandoque ingens tempestatis impetus improvisus supervenit: & agricolae intemperies anni: & medico quoque similia; adeo ut tunc improvidi fuisse videantur. potest enim bonus aliquis malus fieri: quod alius quoque poëta testatur, dicens, Vir bonus nunc pravus, nunc bonus est. ut autem malus efficiatur malus, fieri non potest: esse enim semper necesse est. Quamobrem quoties casus inopinatus providum hominem sapientemque & bonum invadit, malus efficitur. Tu vero dicis, o Pittace, difficile esse bonum manere. Res autem ita se habet, ut fieri bonum possibile sit, difficile tamen: perdurare autem bonum, penitus impossibile. quilibet enim bene agens, bonus: male contra, malus. Quaenam igitur circa literas bona res est? quaeve actio virum in illis bonum efficit? constat quod earum perceptio. Quae item actio bona bonum efficit medicum? morborum curandorum peritia

κακῶς. τίς οὖν ἂν κακὸς ἰατρὸς γένοιτο; δῆλον ὅτι ᾧ πρῶτον μὲν ὑπάρχει ἰατρῷ εἶναι, ἔπειτα ἀγαθῷ ἰατρῷ. οὗτος γὰρ ἂν καὶ κακὸς γένοιτο. ἡμεῖς δὲ οἱ ἰατρικῆς ἰδιῶται, οὐκ ἄν ποτε γενοίμεθα, κακῶς πράξαντες, οὔτε ἰατροὶ, οὔτε τέκτονες, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων. ὅστις δὲ μὴ ἰατρὸς
b. ἂν γένοιτο, κακῶς πράξας, δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός. οὕτω καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ, γένοιτ' ἂν ποτε καὶ κακὸς, ἢ ὑπὸ χρόνου, ἢ ὑπὸ πόνου, ἢ ὑπὸ νόσου, ἢ ὑπὸ ἄλλου τινὸς περιπτώματος· (αὕτη γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι) ὁ δὲ κακὸς ἀνὴρ, οὐκ ἄν ποτε γένοιτο κακός· (ἔστι γὰρ ἀεί) ἀλλ' εἰ μέλλει κακὸς γενέσθαι, δεῖ αὐτὸν πρότερον ἀγαθὸν γενέσθαι. ὥστε καὶ τοῦτο τοῦ ᾄσματος πρὸς τοῦτο
c. τείνει, ὅτι εἶναι μὲν ἄνδρα ἀγαθὸν οὐχ οἷόν τε, διατελοῦντα ἀγαθόν· γενέσθαι δὲ ἀγαθὸν οἷόν τε, καὶ κακόν γε τὸν αὐτὸν τοῦτον. ἐπιπλεῖστον δὲ καὶ ἄριστοί εἰσιν οὓς ἂν οἱ θεοὶ φιλῶσι. ταῦτά τε οὖν πάντα πρὸς τὸν Πιττακὸν εἴρηται, καὶ τὰ ἐπιόντα γε τοῦ ᾄσματος ἔτι μᾶλλον δηλοῖ. φησὶ γὰρ, Τοῦ-

videlicet. qui enim bene curat, bonus medicus: contra, qui male, malus. Quis ergo malus medicus nonnunquam efficitur? ille certe, cui primo hoc ineſt, ut medicus ſit, deinde ut bonus medicus. hic enim malus quandoque medicus effici poteſt. Nos autem medicinae artis ignari, nunquam male agendo aut medici, aut fabri efficeremur, aut aliud tale. quiſquis autem non fit medicus, male officio ſuo functus, neque etiam malus eſt medicus. Ita & bonus vir fieri poteſt aliquando malus, vel propter tempus, vel laborem, vel morbum, vel alium caſum: haec quippe ſola prava actio eſt, ſcientia privari. Malus autem vir nunquam malus fieret: eſt enim ſemper. ac ſi malus fieri debet, oportet bonum fuiſſe prius. Ad hoc itaque carmina illa tendunt, ut affirment, impoſſibile eſſe virum bonum ſemper perſeverare: fieri autem bonum, eundemque rurſus & malum, poſſibile: plerumque vero optimos eſſe illos, quos diligunt dii. Haec itaque omnia adverſus Pittacum ſunt dicta, quod & ſequen-

νεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν διζήμενος, κενεὰν εἰς ἄπρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα χθονός. ἔπειθ' ὑμῖν εὑρὼν ἀπαγγελέω, φησιν. Οὕτω σφόδρα καὶ δι' ὅλου τοῦ d. ἄσματος ἐπεξέρχεται τῷ τοῦ Πιττακοῦ ῥήματι. πάντας δὲ ἐπαινοῖμι, καὶ φιλέω ἑκών, ὅστις ἔρδῃ μηδὲν αἰσχρόν· ἀνάγκῃ δὲ οὐδὲ θεοὶ μάχονται. καὶ τοῦτ' ἔστι πρὸς τὸ αὐτὸ τοῦτο εἰρημένον. οὐ γὰρ οὕτως ἀπαίδευτος ἦν Σιμωνίδης, ὥστε τούτους φάναι ἐπαινεῖν, ὃς ἂν ἑκὼν μηδὲν κακὸν ποιῇ· ὡς ὄντων τινῶν οἳ ἑκόντες κακὰ ποιοῦσιν. ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι οὐδεὶς τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑκόντα ἐξαμαρτάνειν, οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα e. ἐργάζεσθαι· ἀλλ' εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες, ἄκοντες ποιοῦσι. καὶ δὴ καὶ ὁ Σιμωνίδης, οὐχ ὃς ἂν μὴ κακὰ ποιῇ ἑκών, τούτου φησὶν ἐπαινέτης εἶναι, ἀλλὰ περὶ ἑαυτοῦ λέγει τοῦτο τὸ Ἑκών. ἡγεῖτο γὰρ ἄνδρα καλὸν κἀγαθὸν πολλάκις αὐτὸν ἐπαναγκάζειν φίλον τινὶ

tia clarius declarant. Hac de causa, inquit, nunquam ego quod fieri nequit, frustra quaerens, sine reprehensione perpetuo victurum bonum, quicunque fructibus terrae vescuntur, quenquam sperem. deinde vobis quae comperta mihi sunt, praedico: & cetera, quae sequuntur. Adeo vehementer totoque carmine Pittaci dictum infestat. Unumquemque vero laudo amoque, sponte qui turpe nil patrat. necessitati vero neque dii quidem ipsi repugnant. Id autem est ad hoc idem dictum. Neque enim usque adeo rerum inscius erat Simonides, ut illum laudare se diceret, qui turpe nihil sponte committit: quasi sint aliqui qui sponte male agant. Arbitror equidem, sapientem nullum putare, quenquam hominum esse qui ultro aberret, malaque & turpia sponte committat. sciunt etenim, quod qui mala turpiaque committunt, praeter voluntatem peccant. Atqui & Simonides nequaquam laudare se dicit illum, qui non sponte scelera patrat, immo de seipso vocem illam Sponte intelligi volebat. Putabat enim,

p. γίγνεσθαι, καὶ ἐπαινέτην φιλεῖν καὶ ἐπαινεῖν· οἷον, ἀνδρὶ
346 πολλάκις συμβῆναι μητέρα ἢ πατέρα ἀλλόκοτον, ἢ πατρί-
a. δα, ἢ ἄλλό τι τῶν τοιούτων. τοὺς μὲν οὖν πονηροὺς, ὅταν τι τοιοῦτον αὐτοῖς συμβῇ, ὥσπερ ἀσμένους ὁρᾶν, καὶ ψέγοντας ἐπιδεικνύναι καὶ κατηγορεῖν τὴν πονηρίαν τῶν γονέων, ἢ πατριδος· ἵνα αὐτοῖς ἀμελοῦσιν αὐτῶν μὴ ἐγκαλῶσιν οἱ ἄνθρωποι, μηδ' ὀνειδίζωσιν ὅτι ἀμελοῦσιν. ὥστε ἔτι μᾶλλον ψέγειν τε αὐτοὺς, καὶ ἔχθρας ἑκουσίους πρὸς ταῖς ἀνάγ-
b. καις προστίθεσθαι. τοὺς δ' ἀγαθοὺς ἐπικρύπτεσθαί τε καὶ ἐπαινεῖν ἀναγκάζεσθαι· καὶ, ἄν τι ὀργισθῶσι τοῖς γονεῦσιν ἢ πατρίδι διαδικηθέντες, αὐτοὺς ἑαυτοὺς παραμυθεῖσθαι καὶ διαλλάττεσθαι· προσαναγκάζοντας ἑαυτοὺς φιλεῖν τοὺς ἑαυτῶν καὶ ἐπαινεῖν. πολλάκις δὲ, οἶμαι, καὶ Σιμωνίδης ἠγήσατο καὶ αὐτὸς ἢ τύραννον ἢ ἄλλόν τινα τῶν τοιούτων ἐπαινέσαι καὶ ἐγκωμιάσαι, οὐχ ἑκὼν, ἀλλ' ἀναγκαζόμενος. ταῦ-
c. τα δὴ καὶ τῷ Πιττακῷ λέγει ὅτι, Ἐγὼ, ὦ Πιττακὲ, οὐ διὰ ταῦτα σὲ ψέγω ὅτι εἰμὶ φιλόψογος. ἐπεὶ ἔμοιγε ἐξαρκεῖ

praeclarum bonumque virum saepe seipsum impulsurum, ut amicus laudatorque alicuius fieret, amaretque & laudaret: ut quibus morosi & iniqui saepe parentes contingant, aut patria, aut tale aliquid. Improbi homines si sunt, ultro sponteque in parentum patriaeque errata invehi solent, & ea passim omnibus divulgare, ne quis eos, quod parentes & patriam negligant, carpere possit. quare vituperant parentes patriamque, & praeter necessitatem odiis & inimicitiis ultro exagitant. Probi vero qui sunt viri, parentum flagitia occultant potius, & ad laudandum eos sese cogunt: & si qua in re iniuria affecti iure parentibus & patriae indignari possent, consolantur seipsos, & se suis conciliant, seque ad amorem laudemque maiorum vel invitos adigunt. Saepe etiam Simonidem ipsum arbitror, non ex animi sui sententia, sed invitum, ad tyrannum quendam, aut alium talem laudandum & tollendum accessisse. Haec igitur ad Pittacum dicit: Ego quidem, o Pittace, non ob id te redarguo, quod natura

ὃς ἂν μὴ κακὸς ᾖ, μηδ' ἄγαν ἀπάλαμνος, εἰδώς γε δυήσει πόλιν δίκαν ὑγιὴς ἀνήρ. οὐ μὴν ἐγὼ μωμήσομαι. οὐ γάρ εἰμι φιλόμωμος. τῶν γὰρ ἠλιθίων ἄπειρα γενέθλα· ὥστ' εἴτις χαίρει ψέγων, ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος. πάντα τοι καλὰ, τοῖσί τ' αἰσχρὰ μὴ μέμικται. Οὐ τοῦτο λέγει, ὥσπερ ἂν εἰ ἔλεγε, πάντα τοι λευκὰ, οἷς μέλανα μὴ μέμικται (γε- d. λοῖον γὰρ ἂν εἴη πολλαχῇ) ἀλλ' ὅτι αὐτὸς καὶ τὰ μέσα ἀποδέχεται· ὥστε μὴ ψέγειν. καὶ οὐ ζητῶ, ἔφη, παγάμωμον ἄνθρωπον, εὑρυέδους ὅσοι καρπὸν αἰνύμεθα χθονός. ἔπειτ' ὑμῖν εὑρὼν ἀπαγγελέω. ὥστε τούτου γ' ἕνεκα οὐδένα ἐπαινέσομαι· ἀλλά μοι ἐξαρκεῖ ἂν ᾖ μέσος, καὶ μηδὲν κακὸν ποιῇ. ὡς ἐγὼ πάντας φιλέω καὶ ἐπαινοῖμι. καὶ τῇ φωνῇ ἐνταῦθα κέχρηται τῇ τῶν Μιτυληναίων, ὡς πρὸς Πιττακὸν λέγων τὸ Πάντας δὲ ἐπαινοῖμι καὶ φιλέω ἑκών. ἐνταῦθα δεῖ e. ἐν τῷ Ἑκὼν διαλαβεῖν, λέγοντα, ὅστις ἔρδῃ μηδὲν αἰσχρὸν, ἄκων δ' ἐξίν· οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ. σὲ οὖν, καὶ εἰ μέσως

detrahere gaudeam, cui satisfacit & ille quisquis malus non est, nimiumve ignavus. Sciens quidem iuvabit civitatem iustam vir sanus. neque tamen ipse detraham: neque enim detractione gaudeo. Stultorum namque est infinita gens: ut si quis eos vituperare pergat, necessario defatigetur. Honesta porro sunt omnia, quibus turpia non sunt mixta. Haud hoc dicit perinde ac si diceret, Omnia alba sunt, quibus nigra nulla miscentur: ridiculum nempe id sit: sed quasi dicat, mediocria se toleraturum, neque ea vituperaturum. Non quaero, inquit, hominem irreprehensibilem, quotquot latae telluris fructum decerpimus. Deinde vobis quod mihi compertum est, nuntio, quod videlicet huius causa neminem laudaturus sum. verum mihi sufficit quisquis medium tenet, neque turpe quid agit. Sic ego omnes diligo, sic laudo. Hic utique Mitylenaeorum lingua est usus, tanquam adversus Pittacum sic dicens, Omnes sic laudo, sic diligo lubens. Hic oportet vocem lubens, a sequentibus distinguere, eum qui dicit, quisquis turpe nil patrat. nam sunt quos ego non lubens laudo & diligo.

p. ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ, ὦ Πιττακὲ, οὐκ ἄν ποτε ἔψεγον·
347 a. νῦν δὲ, σφόδρα γὰρ καὶ περὶ τῶν μεγίστων ψευδόμενος, δοκεῖς ἀληθῆ λέγειν, διὰ ταῦτα σὲ ἐγὼ ψέγω. Ταῦτά μοι δοκεῖ, ὦ Πρόδικε καὶ Πρωταγόρα, ἦν δ' ἐγὼ, Σιμωνίδης διανοούμενος πεποιηκέναι τοῦτο τὸ ᾄσμα. Καὶ ὁ Ἱππίας, Εὖ μέν μοι δοκεῖς, ἔφη, ὦ Σώκρατες, καὶ σὺ περὶ τοῦ ᾄσματος διεληλυθέναι· ἔστι μέντοι, ἔφη, καὶ ἐμοὶ λόγος περὶ αὐτοῦ εὖ
b. ἔχων· ὃν ὑμῖν ἐπιδείξω, ἂν βούλησθε. Καὶ ὁ Ἀλκιβιάδης, Ναὶ, ἔφη, ὦ Ἱππία, εἰσαῦθίς γε· νῦν δὲ δίκαιόν ἐστιν ἃ ὡμολογησάτην πρὸς ἀλλήλω Πρωταγόρας καὶ Σωκράτης· Πρωταγόρας μὲν εἰ ἔτι βούλεται ἐρωτᾶν, ἀποκρίνεσθαι Σωκράτη· εἰ δὲ δὴ βούλεται Σωκράτει ἀποκρίνεσθαι, ἐρωτᾶν τὸν ἕτερον. Καὶ ἐγὼ εἶπον, Ἐπιτρέπω μὲν ἔγωγε Πρωταγόρᾳ ὁπότερον αὐτῷ ἥδιον· εἰ δὲ βούλεται, περὶ μὲν ᾀσμάτων τε
c. καὶ ἐπῶν ἐάσωμεν· περὶ δὲ ὧν τὸ πρῶτον ἐγώ σε ἠρώτησα, ὦ Πρωταγόρα, ἡδέως ἂν ἐπὶ τέλος ἔλθοιμι μετὰ σοῦ σκοπούμενος. καὶ γὰρ δοκεῖ μοι τὸ περὶ ποιήσεως διαλέγεσθαι, ὁμοιότατον εἶναι τοῖς συμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγο-

Quod si tu, mi Pittace, vel mediocriter consentanea veraque dixisses, nunquam te reprehendissem. nunc vero, cum & maxime & in maximis falsa proferas, quae vera multis apparent, te reprehendere cogor. Haec mihi, o Prodice atque Protagora, in istis Simonidis carminibus ipsius sententia fuisse videtur. Tum Hippias, Bene, inquit, o Socrates, carmina haec exposuisse videris. est tamen & mihi ratio illis accommodata: quam vobis, si vultis, ostendam. Immo vero, inquit Alcibiades, sed postea. prius autem peragere decet, quae inter Socratem & Protagoram convenerunt. Et si Protagoras interrogare ulterius vult, respondere Socrates debet: sin autem respondere vult Protagoras, interrogare Socrates. Atqui concedo, inquam, Protagorae quodcunque horum ipsi gratius futurum est. quod si placet, versus praetermittamus. ea vero, quae abs te primo quaerebam, Protagora, libenter tecum absolvam. Videtur enim mihi disputatio de rebus poëticis per-

ραίων ἀνθρώπων. καὶ γὰρ οὗτοι, διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν συνεῖναι ἐν τῷ πότῳ, μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν, ὑπὸ ἀπαιδευσίας, τιμίας ποιοῦσι τὰς αὐλητρίδας, πολλοῦ μισθούμενοι ἀλλοτρίαν φω- d.
νὴν τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις σύνεισιν. ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται καὶ πεπαιδευμένοι εἰσὶν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας, οὔτε ὀρχηστρίδας, οὔτε ψαλτρίας, ἀλλὰ αὐτοὺς αὐτοῖς ἱκανοὺς ὄντας συνεῖναι, ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων, διὰ τῆς αὑτῶν φωνῆς λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν πάνυ πολὺν οἶνον πίωσιν. οὕτω δὲ καὶ αἱ τοιαίδε συνουσίαι ἐὰν e.
μὲν λάβωνται ἀνδρῶν οἷοίπερ ἡμῶν οἱ πολλοὶ φασὶν εἶναι, οὐδὲν δέονται ἀλλοτρίας φωνῆς, οὐδὲ ποιητῶν, οὓς οὔτε ἀνέρεσθαι οἷόντ' ἐστὶ περὶ ὧν λέγουσιν· ἐπαγόμενοί τε αὐτοὺς οἱ πολλοὶ ἐν τοῖς λόγοις, οἱ μὲν ταῦτα φασὶ τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα περὶ πράγματος διαλεγόμενοι, ἀδυνατοῦσιν ἐξελέγξαι· ἀλλὰ τὰς μὲν τοιαύτας συνουσίας ἐῶσι χαίρειν,

similis esse conviviis imperitorum plebeiorumque hominum. Qui cum propter insciti am nequeant invicem propria voce suisque sermonibus ipsi colloqui, mercede exhibita tibicines introducunt, & aliena voce, hoc est, tibiarum flatu, convivium transigunt. Ubi autem boni praeclarique & eruditi convivae conveniunt, neque tibicinas ibi, neque saltatrices, neque cantatrices ullas videas, sed voce propria, remotis iis nugis iocisque, convivium celebrare, & alternis interrogationibus responsionibusque modeste differere, etiamsi vinum abunde bibant. Eodem modo ad disputationes huiusce modi si viri conveniunt tales, quales esse se plerique nostrum praedicant, haudquaquam aliena voce poëtarumque verbis opus est, quos percontari de his, quae scribunt, non datur: & qui eorum testimonia in medium afferunt, alii hoc, alii aliud poëtam dicunt sentire; neque tamen convincere rem possunt, de qua differunt, aut expedire. Tales ergo confabulationes viri sapientes mittunt, ipsique inter se colloquuntur, vicissimque in-

p. αὐτοὶ δ' ἑαυτοῖς σύνεισι, δι' ἑαυτῶν, ἐν τοῖς ἑαυτῶν λόγοις
348 πεῖραν ἀλλήλων λαμβάνοντες καὶ διδόντες. τοὺς τοιούτους
a. μοι δοκεῖ χρῆναι μᾶλλον μιμεῖσθαι ἐμέ τε καὶ σέ, καταθε-
μένους τοὺς ποιητὰς, αὐτοὺς δι' ἡμῶν αὐτῶν πρὸς ἀλλήλους
τοὺς λόγους ποιεῖσθαι, τῆς ἀληθείας καὶ ἡμῶν αὐτῶν πεῖραν
λαμβάνοντας. κἂν μὲν βούλῃ ἔτι ἐρωτᾶν, ἕτοιμος εἰμί σοι
παρέχειν ἀποκρινόμενος· ἐὰν δὲ βούλῃ, σὺ ἐμοὶ πάρασχε,
περὶ ὧν μεταξὺ ἐπαυσάμεθα διεξιόντες, τούτοις τέλος ἐπι-
b. θεῖναι. Λέγοντος οὖν ἐμοῦ ταῦτα καὶ τοιαῦτα ἄλλα, οὐδὲν
ἀπεσάφει ὁ Πρωταγόρας ὁπότερα ποιήσοι. εἶπεν οὖν ὁ Ἀλκι-
βιάδης, πρὸς τὸν Καλλίαν βλέψας, Ὦ Καλλία, δοκεῖ σοι,
ἔφη, καὶ νῦν καλῶς Πρωταγόρας ποιεῖν, οὐκ ἐθέλων εἴτε
δώσει λόγον, εἴτε μὴ, διασαφεῖν; ἐμοὶ γὰρ οὐ δοκεῖ· ἀλλ'
ἤτοι διαλεγέσθω, ἢ εἰπέτω ὅτι οὐκ ἐθέλει διαλέγεσθαι· ἵνα
τούτῳ μὲν ταῦτα συνειδῶμεν, Σωκράτης δὲ ἄλλῳ τῳ δια-
c. λέγηται, ἢ ἄλλος ὅστις ἂν βούληται ἄλλῳ. Καὶ ὁ Πρωτα-
γόρας αἰσχυνθεὶς, ὡς γε μοι ἔδοξε, τοῦ τε Ἀλκιβιάδου
ταῦτα λέγοντος, καὶ τοῦ Καλλίου δεομένου, καὶ τῶν ἄλλων

genii periculum inter se faciunt. Disputatores autem huiusmodi, ut arbitror, ego & tu nunc imitari debemus, &, poëtis posthabitis, nostris rationibus rem ipsam discutere, facereque tam ingenii nostri, quam veritatis periculum. Et si quidem adhuc interrogare lubet, respondere tibi paratus sum: sin aliter vis, te mihi praebe & adiuva ad ea, quae intermisimus conficienda. Cum haec aliaque huiusmodi intulisset, Protagoras, quid potissimum ageret, haud satis declarabat. Hic Alcibiades ad Calliam conversus, O Callia, inquit, videturne tibi nunc recte Protagoras facere, quum declarare nolit, utrum respondere velit, necne? mihi quidem non videtur. Sed iam vel disputet, vel disputare nolle se dicat, ut haec de eo sciamus. Socrates autem cum alio quovis differat; vel alius, quicunque vult, cum alio quopiam. Hic Protagoras, ut visus est mihi, verecundia motus propter Alcibiadis orationem, Calliaeque & aliorum praesentium preces, vix tandem ad differendum de-

σχεδόν τι τῶν παρόντων, μόγις προὐτρέπετο εἰς τὸ διαλέγεσθαι, καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν ὡς ἀποκρινούμενος. Εἶπον δὴ ἐγὼ, Ὦ Πρωταγόρα, μὴ οἴου διαλέγεσθαί με σοὶ ἄλλό τι βουλόμενον ἢ ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε, ταῦτα διασκέψασθαι. ἡγοῦμαι γὰρ πάνυ λέγειν τὶ τὸν Ὅμηρον τὸ, Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν. εὐπορώτεροι γάρ πως d. ἅπαντες ἐσμὲν οἱ ἄνθρωποι πρὸς ἅπαν ἔργον καὶ λόγον καὶ διανόημα· μοῦνος δ' εἴπέρ τε νοήσῃ, αὐτίκα περιὼν ζητεῖ ὅτῳ ἐπιδείξηται, καὶ μεθ' ὅτου βεβαιώσηται, ἕως ἂν ἐντύχοι. ὥσπερ καὶ ἐγὼ ἕνεκα τούτου σοι ἡδέως διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί· ἡγούμενός σε βέλτιστ' ἂν ἐπισκέψασθαι καὶ περὶ τῶν ἄλλων περὶ ὧν εἰκὸς σκοπεῖσθαι τὸν ἐπιεικῆ, καὶ δὴ καὶ e. περὶ ἀρετῆς. τίνα γὰρ ἄλλον ἢ σε; ὅσγε οὐ μόνον αὐτὸς οἷει καλὸς κἀγαθὸς εἶναι, ὥσπερ τινὲς ἄλλοι, αὐτοὶ μὲν, ἐπιεικεῖς εἰσιν, ἄλλους δὲ οὐ δύνανται ποιεῖν· σὺ δὲ καὶ αὐτὸς ἀγαθὸς εἶ, καὶ ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς. καὶ οὕτω πεπίσευκας σαυτῷ, ὥστε καὶ ἄλλων ταύτην τὴν τέχνην ἀποκρυπτο-

scendit, iussitque Socratem ipsum interrogare, se respondere pollicitus. O Protagora, inquam, ne me tecum ob aliud disferere putes, quam quia quae passim dubito, discussa velim. arbitror enim, haud ab re illud ab Homero dictum fuisse, Si duo simul coëant, alter altero magis intellexerit. Expeditiores namque sumus cuncti ad quodlibet opus, verbum, & sensum investigandum. solus autem si quis quippiam cogitet, mox passim circumiens quaerit quicum communicet, & a quo confirmetur, tantisper dum inveniat. Quamobrem ipse nunc tecum libentius, quam cum alio quovis disputo, existimans te optime omnium diiudicaturum & de aliis omnibus, quae ad probi viri iudicium spectant, & de his maxime, quae ipse quaerebam, videlicet de virtute. Nam quem melius, quam te id facturum sperem? qui non modo ipse te probum existimas, ut nonnulli alii probi quidem ipsi sunt, sed alios tales efficere nequeunt. Tu autem non modo virtute praeditus es, verum etiam ceteros homines eadem te ornaturum polliceris:

p. μένων, σύ γ' ἀναφανδὸν σεαυτὸν ὑποκηρυξάμενος, εἰς πάν-
349 a. τας τοὺς Ἕλληνας σοφιςὴν ἐπονομάσας, σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς διδάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι. πῶς οὖν οὔ σε χρὴ παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν, καὶ ἐρωτᾶν, καὶ ἀνακοινοῦσθαι; οὐκ ἔσθ' ὅπως οὐ καὶ νῦν δή. ἐγὼ ἐκεῖνα ἅπερ τοπρῶτον ἠρώτων περὶ τούτων, πάλιν ἐπιθυμῶ ἐξαρχῆς τὰ μὲν ἀναμνησθῆναι παρὰ
b. σοῦ, τὰ δὲ συνδιασκέψασθαι. Ἦν δὲ, ὡς ἐγῷμαι, τὸ ἐρώτημα τόδε· σοφία καὶ σωφροσύνη καὶ ἀνδρεία καὶ δικαιοσύνη καὶ ὁσιότης, πότερον ταῦτα, πέντε ὄντα ὀνόματα, ἐπὶ ἑνὶ πράγματι ἐστὶν, ἢ ἑκάςῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἰδίος οὐσία, καὶ πρᾶγμα ἔχον ἑαυτοῦ δύναμιν ἕκαςον, οὐκ ὂν οἷον τὸ ἕτερον αὐτῶν τὸ ἕτερον. ἔφησθα οὖν σὺ οὐκ ὀνόματα ἐπὶ ἑνὶ εἶναι, ἀλλὰ ἕκαςον ἰδίῳ πράγματι τῶν ὀνομάτων
c. τούτων ἐπικεῖσθαι. πάντα δὲ ταῦτα, μόρια εἶναι ἀρετῆς· οὐχ ὡς τὰ τοῦ χρυσοῦ μόρια ὅμοιά ἐστιν ἀλλήλοις, καὶ τῷ ὅλῳ

atque adeo tuo ingenio confidis, ut quam ceteri omnes dissimulent artem, tu eam solus profiteare, teque palam per omnem Graeciam, quasi publico quodam praeconio, Sophistam nominans, declares doctrinae virtutisque magistrum, & primus mercedem artificii istius exposcas. Quid igitur obstat, quin ipse prae ceteris ad harum rerum disputationem sis adhibendus interrogandusque, & quin sint tecum omnia communicanda? Nihil penitus obstat. Atqui & ipse nunc illa, de quibus primo interrogavi, cupio rursus partim abs te mihi in mentem reduci, partim communi iudicio discuti. Erat autem talis, ut arbitror, quaestio: Utrum sapientia, temperantia, fortitudo, iustitia, sanctitas, quinque nomina eiusdem rei sint, an unicuique horum nominum propria quaedam essentia subsit, & res quaedam vim propriam habens, adeo ut non sit alterum quale est alterum. Dixisti tunc, nequaquam unius rei esse haec nomina, sed singula nomina rebus singulis adhiberi. quin etiam partes omnes has esse virtutis: haud sane perinde, ut auri partes inter se totiusque consimiles, sed ut vul-

οὐ μόριά ἐστιν, ἀλλ' ὡς τὰ τοῦ προσώπου μόρια, καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν, καὶ ἀλλήλοις ἀνόμοια, ἰδίαν ἕκαστα δύναμιν ἔχοντα. ταῦτα εἰ μέν σοι ἔτι δοκεῖ ὥσπερ τότε, φάθι· εἰ δὲ ἄλλως πως, τοῦτο διόρισαι. ὡς ἔγωγε οὐδὲν σοι ὑπὸ λόγον τίθεμαι, ἐάν πῃ ἄλλῃ νῦν φήσῃς. οὐ γὰρ ἂν θαυμάζοιμι εἰ τότε ἀποπειρώμενός μου ταῦτα ἔλεγες. Ἀλλ' ἐγώ σοι, ἔφη, d. λέγω, ὦ Σώκρατες, ὅτι ταῦτα πάντα, μόρια μέν ἐστιν ἀρετῆς· καὶ τὰ μὲν τέτταρα αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστὶν, ἡ δὲ ἀνδρεία, πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώσῃ ὅτι ἐγὼ ἀληθῆ λέγω. εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικωτάτους μὲν ὄντας, καὶ ἀνοσιωτάτους, καὶ ἀκολαστοτάτους, καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δὲ διαφερόντως. Ἔχε δή, ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις· πότερον τοὺς ἀνδρείους θαῤῥαλέους λέγεις, ἢ ἄλλό e. τι; Καὶ ἵτας γε, ἔφη, ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. Φέρε δή, τὴν ἀρετὴν καλόν τι φῂς εἶναι; καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον σαυτὸν παρέχεις; Κάλλιστον μὲν οὖν, ἔφη, εἰ μὴ μαινομαί γε. Πότερον οὖν, ἦν δ' ἐγὼ, τὸ μέν

tus partes invicem totiusque dissimiles, propria discretas vi. Et haec si nunc denuo ita, ut supra confirmas, dic. sin aliter modo sentis, omnia lucide distingue. Equidem nihil imputabo, si aliter nunc dicas. neque enim miror, si illa tunc Socratis tentandi gratia dixisti. *Prot.* Haec omnia partes virtutis esse dico, ex quibus quatuor satis invicem consimiles sunt. fortitudo autem longe ab aliis differt. Quod autem vere loquar, hunc in modum cognosces. Reperies nonnullos homines iniustissimos, profanissimos, intemperantissimos, imperitissimos, qui tamen ceteris fortitudine praestant. *So.* Attende, amabo: considerandum est quod dicis. Utrum fortes, audentes vocas, an alios quosdam? *Prot.* Immo etiam ad ea praecipites, a quibus plurimi deterrentur. *So.* Age itaque, virtutem honestum quiddam & pulchrum asseris, eamque ut pulchrum aliquid doces? *Prot.* Pulcherrimum equidem, nisi forte insanio. *So.* Utrum huius quiddam turpe est, quiddam

τι αὐτοῦ, αἰσχρὸν, τὸ δέ τι, καλόν; ἢ ὅλον καλόν; Ὅλον
που καλὸν ὡς οἷόν τε μάλιστα. Οἶσθα οὖν τίνες εἰς τὰ φρέατα
p. κολυμβῶσι θαῤῥαλέως; Ἔγωγε ὅτι οἱ κολυμβηταί. Πότερον
350 a. διότι ἐπίστανται, ἢ δι' ἄλλό τι; Ὅτι ἐπίστανται. Τίνες δὲ ἀπὸ
τῶν ἵππων πολεμεῖν θαῤῥαλέοι εἰσί; πότερον οἱ ἱππικοί, ἢ οἱ
ἄφιπποι; Οἱ ἱππικοί. Τίνες δὲ πέλτας ἔχοντες; οἱ πελταστι-
κοὶ, ἢ οἱ μή; Οἱ πελταστικοί. καὶ τἄλλά γε πάντα (εἰ
τοῦτο ζητεῖς, ἔφη) οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων θαῤῥα-
λεώτεροι εἰσί· καὶ αὐτοὶ ἑαυτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν
b. μαθεῖν. Ἤδη δέ τινας ἑώρακας, ἔφην, πάντων τούτων ἀνεπι-
στήμονας ὄντας, θαῤῥοῦντας δὲ πρὸς ἕκαστα τούτων; Ἔγωγε,
ἦ δ' ὅς, καὶ λίαν γε θαῤῥοῦντας. Οὐκοῦν οἱ θαῤῥαλέοι οὗτοι,
καὶ ἀνδρεῖοι εἰσίν; Αἰσχρὸν μέντ' ἂν, ἔφη, εἴη ἡ ἀνδρεία·
ἐπεὶ οὗτοί γε μαινόμενοι εἰσί. Πῶς οὖν, ἔφην ἐγὼ, λέγεις
τοὺς ἀνδρείους; οὐχὶ τοὺς θαῤῥαλέους εἶναι; Καὶ νῦν γ',
ἔφη. Οὐκοῦν οὗτοι, ἦν δ' ἐγὼ, οἱ οὕτω θαῤῥαλέοι ὄντες, οὐκ
c. ἀνδρεῖοι ἀλλὰ μαινόμενοι φαίνονται; καὶ ἐκεῖ αὖ οἱ σοφώ-

pulchrum? an pulchrum totum? *Prot.* Totum, quam maxime esse potest, pulchrum. *So.* Sciſne qui audacter in puteos se mergant? *Prot.* Immo vero: urinatores enim. *So.* Utrum ob id quod sciunt, an ob aliud? *Prot.* Quod sciunt. *So.* Quinam hominum ex equis fortissime pugnare audent? equitesne, an equestris industriae rudes? *Prot.* Equites. *So.* Quinam peltis audacter pugnant? peltatine, an alii? *Prot.* Isti quidem: & in ceteris omnibus, si istud quaeris, audaciores sunt, qui sciunt, quam qui nesciunt: iidemque homines postquam didicerunt, audent quidque vehementius, quam cum ignorabant. *So.* Vidistine unquam aliquos horum ignaros omnium, sed eos esse ad haec omnia tamen audentes? *Prot.* Vidi equidem & audaces maxime. *So.* Numquid audaces isti fortes sunt? *Prot.* Turpe quiddam esset fortitudo: quandoquidem audaces isti furiosi sunt. *So.* An non dicis fortes audaces ipsos esse? *Prot.* Dixi equidem, & dico. *So.* Nonne isti, qui sic audent, fortes quidem minime, sed furentes apparent? & supra rursus sa-

τατοι οὗτοι, καὶ θαῤῥαλεώτατοι εἰσί; θαῤῥαλεώτατοι δὲ ὄντες, ἀνδρειότατοι; καὶ κατὰ τοῦτον τὸν λόγον ἡ σοφία ἂν ἀνδρεία εἴη; Οὐ καλῶς, ἔφη, μνημονεύεις, ὦ Σώκρατες, ἃ ἔλεγόν τε καὶ ἀπεκρινόμην σοι. ἐγωγε ἐρωτηθεὶς ὑπὸ σοῦ εἰ οἱ ἀνδρεῖοι θαῤῥαλέοι εἰσὶν, ὡμολόγησα, εἰ δὲ καὶ οἱ θαῤῥαλέοι, ἀνδρεῖοι, οὐκ ἠρωτήθην. εἰ γάρ με τοῦτο ἤρου, εἶπον ἂν ὅτι οὐ πάντες. τοὺς δὲ ἀνδρείους ὡς οὐ θαῤῥαλέοι εἰσὶ, d. τὸ ἐμὸν ὁμολόγημα οὐδαμοῦ ἐπέδειξας ὡς οὐκ ὀρθῶς ὡμολόγησα. ἔπειτα τοὺς ἐπισταμένους, αὐτοὺς ἑαυτῶν θαῤῥαλεωτέρους ὄντας ἀποφαίνεις, καὶ μὴ ἐπισταμένων ἄλλων· καὶ ἐν τούτῳ οἴει τὴν ἀνδρείαν καὶ τὴν σοφίαν ταυτὸν εἶναι. τούτῳ δὲ τῷ τρόπῳ μετιὼν, καὶ τὴν ἰσχὺν οἰηθείης ἂν εἶναι σοφίαν. πρῶτον μὲν γὰρ εἰ οὕτω μετιὼν ἔροιό με εἰ οἱ ἰσχυροὶ δυνατοί εἰσι, φαίην ἄν· ἔπειτα, εἰ οἱ ἐπισταμένοι παλαίειν, δυνα- e. τώτεροι εἰσὶ τῶν μὴ ἐπισταμένων παλαίειν, καὶ αὐτοὶ αὑτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν· φαίην ἄν. ταῦτα δὲ ἐμοῦ ὁμολογήσαντος, ἐξείη ἄν σοι χρωμένῳ τοῖς αὐτοῖς τεκμη-

pientiſſimi illi audentiſſimi nobis apparuerunt? & quia audentiſſimi, ideo & fortiſſimi: atque ita ſecundum hanc rationem ſapientia ipſa fortitudo eſſet? *Prot.* Haud ſatis recordaris, o Socrates, quae dixi ſupra, tibique reſpondi. Equidem interrogatus abs te, utrum fortes viri audentes ſint, necne, conſenſi: utrum vero & audentes fortes eſſent, non quaeſiviſti. quod ſi tunc interrogaſſes, reſpondiſſem, utique non omnes. Quod vero fortes audentes non ſint, a me conceſſum nunquam monſtraſſes: neque enim recte conceſſiſſem. Proinde ſcientes homines, oſtendis ignorantibus, & ſeipſis, & ceteris audaciores eſſe: & idcirco idem eſſe ſapientiam & fortitudinem arbitraris. Qua ratione progreſſus, robur & ſapientiam idem eſſe arbitrari queas. Nam ſi a me ſimiliter in hunc modum quaeſiſſes, utrum robuſti homines potentes ſint, aſſeruiſſem utique. deinde, utrum palaeſtrae periti ad certandum potentiores ſint, quam imperiti, & ipſi poſtquam didicerunt, ſe ipſis dum ignorabant, iterum admiſiſſem. Haec me confi-

ρίοις τούτοις, λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ δὲ οὐδαμοῦ οὐδ' ἐνταῦθα ὁμολογῶ τοὺς δυνατοὺς, ἰσχυροὺς εἶναι· τοὺς μέντοι ἰσχυροὺς, δυνατούς. οὐ
p. γὰρ ταυτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν. ἀλλὰ τὸ μὲν καὶ
351 ἀπὸ ἐπιστήμης γίγνεσθαι τὴν δύναμιν, καὶ ἀπὸ μανίας γε
a. καὶ ἀπὸ θυμοῦ· ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταυτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν· ὥστε συμβαίνειν τοὺς μὲν ἀνδρείους, θαρραλέους εἶναι· μὴ μέντοι τούς γε θαρραλέους, ἀνδρείους πάντας. θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίνεται ἀνθρώποις, καὶ ἀπὸ θυμοῦ
b. τε καὶ ἀπὸ μανίας, ὥσπερ ἡ δύναμις· ἀνδρεία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται. Λέγεις δέ τινας, ἔφην, ὦ Πρωταγόρα, τῶν ἀνθρώπων εὖ ζῆν, τοὺς δὲ, κακῶς; Ἔφη. Ἆρ' οὖν δοκεῖ σοι ἄνθρωπος ἂν εὖ ζῆν, εἰ ἀνιώμενός τε καὶ ὀδυνώμενος ζώη; Οὐκ ἔφη. Τί δ', εἰ ἡδέως βιοὺς τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκῇ οὕτως βεβιωκέναι; Ἔμοιγ', ἐφη. Τὸ μὲν ἄρα ἡδέως ζῆν, ἀγαθόν· τὸ δ' ἀηδῶς,

tente licuisset tibi eodem pacto coniicere, per concessionem meam sapientiam robur esse. Ego autem nusquam in praesentia potentes homines robustos esse confiteor: robustos tamen potentes esse autumo. Non enim idem esse robur, & potentiam arbitror. nam & a scientia, & ab insania, & ab ira potest potentia provenire: robur autem a natura dumtaxat, & debita corporum nutritione venit. Similiter & in illis nequaquam idem esse censendum fortitudinem & audaciam. Quapropter contingit, fortes quidem audentes esse, at vero non omnes audentes fortes. Audacia enim ab arte hominibus, ab ira, ab insania datur, quemadmodum de potentia diximus: fortitudo autem a natura, debitaque educatione provenit animorum. *So.* Dicisne, o Protagora, alios homines bene, male alios vivere? *Prot.* Dico equidem. *So.* Numquid bene vivere homo tibi videtur, si cum molestia doloreque vivat? *Prot.* Minime. *So.* Sin autem usque ad vitae finem iucunde quis vixerit, bene vixisse dicendus? *Prot.* Certe. *So.* Ergo

κακόν. Εἴπερ τοῖς καλοῖς γ', ἔφη, ζώῃ ἡδόμενος. Τί δή, ὦ c.
Πρωταγόρα; μὴ καὶ σὺ, ὥσπερ οἱ πολλοὶ, ἡδέα ἅττα καλεῖς
κακὰ, καὶ ἀνιαρὰ, ἀγαθά; Ἔγωγε. Οἷον λέγεις; καθ' ὅ
ἡδέα ἐστὶν, ἆρα κατὰ τοῦτο οὐκ ἀγαθὰ, εἰ μή τι ἀπ' αὐτῶν
ἀποβήσεται ἄλλο; καὶ αὖθις αὖ τὰ ἀνιαρὰ ὡσαύτως; Οὕ-
τως. Οὐ καθόσον ἀνιαρὰ, κακά; Οὐκ οἶδα, ὦ Σώκρατες,
ἔφη, ἁπλῶς οὕτως ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκριτέον ἐστὶν,
ὡς τὰ ἡδέα τε ἀγαθά ἐστιν ἅπαντα, καὶ τὰ ἀνιαρὰ, κακά· d.
ἀλλά μοι δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφα-
λέστερον εἶναι ἀποκρίνεσθαι, ἀλλὰ καὶ πρὸς πάντα τὸν ἄλλον
βίον τὸν ἐμὸν, ὅτι ἔστι μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθὰ, ἔστι
δ' αὖ καὶ ἃ τῶν ἀνιαρῶν οὐκ ἔστι κακά· ἔστι δ' ἃ ἐστι καὶ τρί-
τον, ἃ οὐδέτερα, οὔτε κακὰ, οὔτ' ἀγαθά. Ἡδέα δὲ καλεῖς,
ἦν δ' ἐγὼ, οὐ τὰ ἡδονῆς μετέχοντα, ἢ ποιοῦντα ἡδονήν;
Πάνυ γ', ἔφη. Τοῦτο τοίνυν λέγω, καθόσον ἡδέα ἐστὶν, εἰ e.
οὐκ ἀγαθά· τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν εἰ οὐκ ἀγαθόν ἐστιν.
Ὥσπερ σὺ λέγεις, ἔφη, ἑκάστοτε, ὦ Σώκρατες, σκοπώμεθα

iucunde vivere bonum: moleſte malum. *Prot.* Si modo honeſtis delectetur. *So.* Numquid ipſe, Protagora, quemadmodum alii multi, iucunda quaedam mala vocas, triſtia vero bona? *Prot.* Voco. *So.* Utrum quatenus iucunda ſunt, eatenus non ſunt bona, niſi quid ab illis proveniat aliud: & rurſus triſtia eodem modo? *Prot.* Sic. *So.* Non ex eo quod triſtia, ſunt mala? *Prot.* Ignoro, Socrates, utrum ita ſimpliciter, ut interrogas, reſpondere me deceat, iucunda omnia bona eſſe, triſtia mala. Sed tutius mihi fore videtur non ſolum ad praeſentem quaeſtionem, verum etiam ad omnem vitae meae rationem, ut reſpondeam, eſſe iucunda quaedam non bona, & triſtia quaedam non mala: eſſe rurſus & neutra, quae neque bona ſint, neque mala. *So.* Num iucunda vocas ea, quae vel voluptatis participia ſunt, vel efficiunt voluptatem? *Prot.* Prorſus. *So.* Quaero igitur hoc, utrum ex eo quod iucunda ſunt, non bona ſint: illud nimirum interrogans, num ipſa voluptas ſit non bonum. *Prot.* Quemadmodum ipſe ubique dicis, o Socrates,

αὐτό. καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα, καὶ τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν, συγχωρησόμεθα· εἰ δὲ μή, τότε ἤδη ἀμφισβητήσομεν. Πότερον οὖν, ἦν δ' ἐγὼ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως; ἢ ἐγὼ ἡγῶμαι; Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι. σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου.

p. Ἆρ' οὖν, ἦν δ' ἐγὼ, τῇ δέ πη καταφανὲς ἂν ἡμῖν γένοιτο,
352 ὥσπερ εἴτις ἄνθρωπον σκοπῶν ἐκ τοῦ εἴδους, ἢ πρὸς ὑγίειαν,
a. ἢ πρὸς ἄλλό τι τῶν τοῦ σώματος ἔργων, ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄκρας, εἶποι, Ἴθι δή μοι ἀποκαλύψας καὶ τὰ σῆθη καὶ τὸ μετάφρενον, ἐπίδειξον, ἵνα ἐπισκέψωμαι σαφέστερον· καὶ ἐγὼ τοιοῦτόν τι ποθῶ πρὸς τὴν σκέψιν, θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγαθὸν καὶ τὸ ἡδὺ ὡς φῂς, δέομαι τοιοῦτό τι εἰπεῖν, Ἴθι δή μοι, ὦ Πρωταγόρα, καὶ
b. τόδε τῆς διανοίας ἀποκάλυψον, πῶς ἔχεις πρὸς ἐπιστήμην. πότερον καὶ τοῦτό σοι δοκεῖ ὥσπερ τοῖς πολλοῖς ἀνθρώποις, ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοιοῦτόν τι· οὐκ ἰσχυρὸν, οὐδ' ἡγεμονικὸν, οὐδ' ἀρχικὸν εἶναι· οὐδὲ ὥσπερ τοι-

hoc, inquam, consideremus: & si ad rem conducere ea consideratio videatur, idemque iucundum, & bonum appareat, concedamus: sin minus, tum ad disceptandum pergamus. *So.* Utrum igitur ipse disputationis dux esse vis? an me praeire iubes? *Prot.* Aequum est te esse ducem. tu namque coepisti. *So.* Hoc modo forsitan quod quaerimus, patefiet: quemadmodum si quis ad hominis vel sanitatem, vel alium corporis habitum, opusve consideranda, vultum eius, & manus extremas contemplatus dicat, Age iam, pectus mihi dorsumque nuda, ut clarius inspiciam. Sic ego nunc quidem idem illud ad hanc disputationem requiro. nam cum tuam erga bonum voluptatemque sententiam, e verbis tuis cognorim, tale aliquid mihi expedit dicere: Age Protagora, & in hoc tuam mentem aperias, quid de scientia sentis? numquid idem tibi quod aliis, an aliud placet? Nam de scientia plurimi sane sic iudicant, ut neque robustum quiddam sit, nec ducat, nec etiam dominetur. neque enim de ipsa velut de duce princi-

οὐτου αὐτοῦ ὄντος διανοοῦνται· ἀλλ' ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιςήμης, οὐ τὴν ἐπιςήμην αὐτοῦ ἄρχειν, ἀλλ' ἄλλό τι· τοτὲ μὲν θυμὸν, τοτὲ δὲ ἡδονὴν, τοτὲ δὲ λύπην· ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον. ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιςήμης, ὥσπερ περὶ ἀνδραπόδου, περιελκομένης ὑπὸ τῶν ἄλ- c.
λων ἀπάντων. ἆρ' οὖν καί σοι τοιοῦτόν τι περὶ αὐτῆς δοκεῖ; ἢ καλόν τε εἶναι ἡ ἐπιςήμη, καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου; καὶ ἐάν πε γιγνώσκῃ τὶς τἀγαθὰ καὶ τὰ κακὰ, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενὸς, ὥστε ἄλλ' ἅττα πράττειν ἢ ἃ ἂν ἐπιςήμη κελεύοι, ἀλλ' ἱκανὴν εἶναι τὴν Φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ; Καὶ δοκεῖ, ἔφη, ὥσπερ σὺ λέγεις, ὦ Σώκρατες· καὶ ἅμα εἰπέρ τῳ ἄλλῳ, αἰσχρόν ἐςι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιςή- d.
μην μὴ οὐχὶ πάντων κράτιςον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Καλῶς γε, ἔφην ἐγὼ, σὺ λέγων, καὶ ἀληθῆ· οἶσθα οὖν ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμοί τε καί σοι οὐ πείθονται. ἀλλὰ πολλούς φασι γιγνώσκοντας τὰ βέλτιςα, οὐκ ἐθέλειν πράττειν, ἐξὸν αὐτοῖς, ἀλλὰ ἄλλα πράττειν. καὶ ὅσους δὴ ἐγὼ ἠρόμην ὅ, τι ποτὲ αἴτιόν ἐςι τούτου, ὑπὸ

peve ſuſpicantur: ſed cum perſaepe non deſit homini ſcientia, non ipſam tamen, ſed aliud quiddam, ut vel iram, vel voluptatem, vel dolorem, vel amorem, vel formidinem dominari putant. Atque de ſcientia ſic cogitant, quaſi de mancipio quodam, ab omnibus aliis undique tracto. Numquid & tu idem ſentis? an potius praeclarum quiddam ſcientiam, & in homine principem arbitraris, ita ut ſi quis bona malave diſcernat, nunquam ab alia re induci queat, ut aliud quam quod ſcientia iuſſerit, ſuſcipiat agendum: ſed prudentiam unam ſatis eſſe idoneam, quae homini ſit praeſto? *Prot.* Videtur mihi quod dicis, o Socrates. nam ſi cuiquam hominum turpe eſt negare, ſapientiam ſcientiamque omnium rerum humanarum eſſe potentiſſimam, mihi certe turpiſſimum. *So.* Praeclare nimium vereque loqueris. Noſti igitur, multos mihi & tibi non credere? aiunt vero, pleroſque boni conſcios, cum bona agere liceat, agere bona nolle, ſed alia. Et quoſ-

ἡδονῆς φασὶν ἡττωμένους ἢ λύπης, ἢ ὧν νῦν δὴ ἐγὼ ἔλεγον
e. ὑπό τινος τούτων κρατουμένους, ταῦτα ποιεῖν τοὺς ποιοῦντας. Πολλὰ γὰρ οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ἄλλα οὐκ ὀρθῶς λέγουσιν οἱ ἄνθρωποι. Ἴθι δὴ μετ' ἐμοῦ ἐπιχείρησον πείθειν τοὺς ἀνθρώπους καὶ διδάσκειν ὅ ἐστιν αὐτοῖς τοῦτο τὸ
p. πάθος, ὅ φασιν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι, καὶ οὐ πράττειν
353 διὰ ταῦτα τὰ βέλτιστα· ἐπεὶ γινώσκειν γε αὐτά. ἴσως γὰρ
a. ἂν λεγόντων ἡμῶν ὅτι, Οὐκ ὀρθῶς λέγετε, ὦ ἄνθρωποι, ἀλλὰ ψεύδεσθε· ἔροιντ' ἂν ἡμᾶς, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα, ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστί, καὶ τί ὑμεῖς αὐτὸ φατὲ εἶναι, εἴπατον ἡμῖν. Τί δὲ, ὦ Σώκρατες, δεῖ ἡμᾶς σκοπεῖσθαι τὴν τῶν πολλῶν δόξαν ἀνθρώπων, οἵ ὅ, τι ἂν τύχωσι, τοῦτο λέγουσιν; Οἶμαι,
b. ἦν δ' ἐγὼ, εἶναί τι ἡμῖν τοῦτο πρὸς τὸ ἐξευρεῖν περὶ ἀνδρείας πρὸς τἄλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ' ἔχει. εἰ οὖν σοι δοκεῖ ἐμμένειν οἷς ἄρτι ἔδοξεν ἡμῖν ἐμὲ ἡγήσασθαι, ἢ οἶμαι ἂν ἔγωγε κάλλιστα φανερὸν γενέσθαι, ἔπου· εἰ δὲ μὴ βούλει,

cunque rogavi, quaenam huius rei causa sit, respondent, vel voluptate, vel dolore, vel aliquo alio eorum, quae supra retulimus, superatos, haec agere. *Prot.* Alia quoque multa sunt, o Socrates, in quibus homines errant. *So.* Age itaque, conare mecum hominibus persuadere, docereque, quodnam hoc malum sit, quo se aiunt voluptatibus superari, & hanc ob causam, quae cognoscunt bona, non facere. Fortassis enim si dixerimus, Erratis, o homines, falliminique: rogabunt, Si quidem non, o Protagora & Socrates, hoc voluptatis malum est, cui succumbitur, quodnam est aliud? quod dicitis vos? exponite. *Prot.* Quid vero nos ad multorum opinionem attendere decet, qui, utcunque contingit, loquuntur? *So.* Conducturum nobis hoc arbitror, ad inveniendum, quomodo ad ceteras virtutis partes fortitudo se habeat. Quare si superiori pacto standum censes, ut videlicet ego praeeam, qua maxime inveniri posse quod quaerimus, arbitror, sequere: sin minus hoc, & dimitti mavis, mitto. *Prot.* Probe loqueris.

εἴ σοι φίλον, ἐῶ χαίρειν. Ἀλλ', ἔφη, ὀρθῶς λέγεις· καὶ πέραινε ὥσπερ ἤρξω. Πάλιν τοίνυν, ἔφην ἐγὼ, εἰ ἔροιντο ἡμᾶς, Τί οὖν φατὲ τοῦτο εἶναι, ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν ἐλέγομεν; εἴποιμ' ἂν ἔγωγε πρὸς αὐτοὺς ὧδί· Ἀκούετε δή· πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε καὶ Πρωταγόρας φράσαι. ἄλλοτι γὰρ, ὦ ἄνθρωποι, φατὲ ὑμῖν τοῦτο γίγνεσθαι ἐν τοῖσδε; οἷον, πολλάκις ὑπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων κρατούμενοι, ἡδέων ὄντων, γινώσκοντες ὅτι πονηρά ἐστιν, ὅμως αὐτὰ πράττειν; Φαῖεν ἄν. οὐκοῦν ἐροίμεθ' ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν, Πονηρὰ δὲ αὐτὰ πῇ φατὲ εἶναι; πότερον ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παραχρῆμα παρέχει, καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν; ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον νόσους τε ποιεῖ καὶ πενίας; καὶ ἄλλα τοιαῦτα πολλὰ παρασκευάζει; ἢ κἂν εἴτι τούτων εἰς τὸ ὕστερον μηδὲν παρασκευάζῃ, χαίρειν δ' ὅμως ποιεῖ; τὸ δ' ἁμαρτόντα χαίρειν, τοῦ κακοῦ ποινὴ εἴη ἄν; ἆρ' οἰόμεθα ἂν αὐτοὺς, ὦ Πρωταγόρα, ἄλλό τι ἀποκρινασθαι, ἢ ὅτι οὐ κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς τῆς παραχρῆμα ἐργασίαν κακά ἐστιν, ἀλλὰ διὰ τὰ ὕστερον γιγνόμενα νόσους τε

c. d. e.

perge igitur, ut coepisti. *So.* Ego, si rursus a nobis sciscitarentur, Quid istud vos esse dicitis, quod nos vinci a voluptatibus dicebamus? sic equidem illis respondeam: Audite igitur. ego & Protagoras vobis istud declarare conabimur. Numquid enim, o homines, aliud hic fieri dicetis, quam quod saepe contingit, ut homines ciborum poculentorumque, & venereorum voluptate pellecti victique, asciscant ea sibi, etiamsi mala esse cognoscant? Assentirentur illi. At nos ita illos interrogaremus: Mala vero illa cur dicitis? utrum quia voluptatem hanc praesentem praebent, & suavitate deliniunt? an quia in posterum morbos, inopiam, & alia multa generis huius adducunt? an etiam, quamquam nihil tale in posterum inferunt, tantum quia delectant, mala sunt, quod homo gaudere discat? Putamusne eos, o Protagora, aliud quid responsuros, quam quod non propter praesentem voluptatem mala sunt, sed propter morbos, & alia quae sequuntur? *Prot.*

καὶ τἄλλα. ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Πρωταγόρας, τοὺς πολλοὺς ἂν ταῦτα ἀποκρίνασθαι. Οὐκοῦν νόσους ποιοῦντα, ἀνίας ποιεῖ· καὶ πενίας ποιοῦντα, ἀνίας ποιεῖ. Ὁμολογοῖεν ἄν, ὡς ἐγῷμαι. Συνέφη ὁ Πρωταγόρας. Οὐκοῦν φαίνεται, ὦ ἄνθρωποι, ὑμῖν, ὡς φαμὲν ἐγώ τε καὶ Πρωταγόρας, δι' οὐδὲν ἄλλο ταῦτα κακὰ ὄντα, ἢ διότι εἰς ἀνίας τε ἀποτελευτᾷ,
p. καὶ ἀλλῶν ἡδονῶν ἀποστερεῖ. Ὁμολογοῖεν ἄν. Συνεδόκει ἡμῖν
354 ἀμφοῖν. Οὐκοῦν πάλιν ἂν αὐτοὺς τὸ ἐναντίον εἰ ἐροίμεθα, Ὦ
a. ἄνθρωποι, οἱ λέγοντες αὖ ἀγαθὰ ἀνιαρὰ εἶναι, ἆρα οὐ τὰ τοιάδε λέγετε, οἷον τά τε γυμνάσια, καὶ τὰς στρατείας, καὶ τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας, τὰς διὰ τῶν καύσεών τε καὶ τομῶν καὶ φαρμακειῶν καὶ λιμοκτονιῶν γιγνομένας; ὅτι ταῦτα ἀγαθὰ μέν ἐστιν, ἀνιαρὰ δέ; Φαῖεν ἄν. Συνεδόκει.
b. Πότερον οὖν κατὰ τόδε ἀγαθὰ αὐτὰ καλεῖτε, ὅτι ἐν τῷ παραχρῆμα ὀδύνας τὰς ἐσχάτας παρέχει καὶ ἀλγηδόνας; ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγείαί τε ἀπ' αὐτῶν γίγνονται, καὶ εὐεξίαι τῶν σωμάτων, καὶ τῶν πόλεων σωτηρία, καὶ ἄλλων ἀρχαὶ καὶ πλοῦτοι; Φαῖεν ἄν, ὡς ἐγῷμαι. Συνεδόκει.

Sic vulgus arbitror reſponſurum. *So.* Nonne dum morbos adducunt, dolores inferunt? dum egeſtatem, dolorem? Aſſentiremur, ut arbitror. *Prot.* Immo certe. *So.* Haec ergo, o viri, non ob aliud, ut ego & Protagoras arbitramur, mala vobis apparent, quam quod in dolores deſinunt, ceterisque voluptatibus privant. Confiterentur. *Prot.* Procul dubio. *So.* Si contra rurſus interrogaremus, O viri, qui triſtia eſſe bona fatemini, nonne eiuſmodi quaedam dicitis, ceu exercitationes corporum, labores militiae, medicorum curationes, quae vel ſecando fiunt, vel urendo, vel pharmacis, vel inedia, bona dicitis, quod haec bona quidem ſunt, ſed moleſta? Conſentirent. *Prot.* Et hoc. *So.* Utrum haec ex eo bona vocatis, quod praeſentibus doloribus cruciatibusque conficiunt? an ob id potius, quod in poſterum ex his ſanitas, & bona corporis habitudo, patriae ſalus, potentiae divitiaeque ſequuntur? Ob id ipſum dicerent, ut exiſtimo. *Prot.* Ego quoque id iu-

Ταῦτα δὲ ἀγαθά ἐστι δι' ἄλλό τι, ἢ ὅτι εἰς ἡδονὰς ἀποτελευτᾷ, καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς; ἢ ἔχετέ τι ἄλλο τέλος λέγειν, εἰς ὃ ἀποβλέψαντες αὐτὰ ἀγαθὰ καλεῖτε, ἀλλ' ἡδονάς τε καὶ λύπας; οὐκ ἂν φαῖεν, ὡς ἐγῷμαι. c.
Οὐδ' ἐμοὶ δοκεῖ, ἔφη ὁ Πρωταγόρας. Οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε, ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγετε ὡς κακόν; Συνεδόκει. Τοῦτ' ἄρα ἡγεῖσθ' εἶναι κακὸν, τὴν λύπην, καὶ ἀγαθὸν, τὴν ἡδονήν. ἐπεὶ καὶ αὐτὸ τὸ χαίρειν τότε λέγεται κακὸν εἶναι, ὅταν μειζόνων ἀποσερῇ ἢ ὅσας αὐτὸ ἔχει, ἢ λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν. ἐπεὶ εἰ κατ' ἄλλό τι αὐτὸ τὸ χαίρειν κακὸν καλεῖτε, καὶ εἰς ἄλλό τι d.
τέλος ἀποβλέψαντες, ἔχοιτε ἂν καὶ ἡμῖν εἰπεῖν. ἀλλ' οὐχ ἕξετε. Οὐδέ μοι δοκοῦσιν, ἔφη ὁ Πρωταγόρας. Ἄλλοτι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι ὁ αὐτὸς τρόπος; τότε καλεῖτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθὸν, ὅταν ἢ μείζους λύπας τῶν ἐν αὐτῷ οὐσῶν ἀπαλλάττῃ, ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρασκευάζῃ; ἐπεὶ εἰ πρὸς ἄλλό τι τέλος ἀποβλέπετε, ὅταν

dico. *So.* An ob aliud haec bona sunt, quam quod in voluptates desinunt, & molestias pellunt? aliumne finem assignare potestis, ad quem respicientes haec bona vocetis, quam voluptates atque dolores? Non possumus, ut arbitror, responderent. *Prot.* Sic equidem puto. *So.* An non voluptatem, ut bonum sequimini, dolorem, ut malum fugitis? Concederent. *Prot.* Profecto. *So.* Ergo id malum existimatis, dolorem scilicet, & bonum voluptatem: quandoquidem & ipsam oblectationem tunc sane malam dicitis esse, quando maioribus voluptatibus privat, quam afficiat: vel quando vehementiores dolores infert illis, quas praebet, voluptatibus. Nam si ob aliud ipsam delectationem malam appellaretis, ut puta finem alium respicientes, possetis nobis quoque monstrare. sed nequaquam poteritis. *Prot.* Neque mihi posse videntur. *So.* Similiter quoque dolorem ipsum tunc dumtaxat bonum dicitis, quum maiores fugat dolores, quam infert; aut voluptates molestiis vehementiores inducit. Quandoquidem si

e. καλῆτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθὸν, ἢ πρὸς ὃ ἐγὼ λέγω, ἔχετε ἡμῖν εἰπεῖν. ἀλλ' οὐχ ἕξετε. Ἀληθῆ, ἔφη, λέγεις, ὦ Πρωταγόρας. Πάλιν τοίνυν, ἔφην ἐγὼ, εἴ με ἀνέροισθε, ὦ ἄνθρωποι, Τινος οὖν δὴ ποτε ἕνεκα πολλὰ περὶ τούτου λέγεις καὶ πολλαχῆ; Συγγιγνώσκετέ μοι, φαίην ἂν ἔγωγε. πρῶτον μὲν γὰρ οὐ ῥᾴδιον ἀποδεῖξαι τί ἐστί ποτε τοῦτο ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἧττω εἶναι· ἔπειτα ἐν τούτῳ εἰσὶ πᾶσαι αἱ ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν ἀναβέσθαι ἔξεστιν, εἴ πῃ ἔχετε ἄλλό
p. τι φάναι εἶναι τὸ ἀγαθὸν ἢ τὴν ἡδονήν· ἢ τὸ κακὸν, ἄλλό
355 τι ἢ τὴν ἀνίαν. ἢ ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι τὸν βίον
a. ἄνευ λυπῶν; εἰ δὲ ἀρκεῖ, καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι ἀγαθὸν, ἢ κακὸν, ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτο ἀκούετε. φημὶ γὰρ ὑμῖν, τούτου οὕτως ἔχοντος, γελοῖον τὸν λόγον γίγνεσθαι, ὅταν λέγητε ὅτι πολλάκις γιγνώσκων τὰ κακὰ ἄνθρωπος ὅτι κακά ἐστιν, ὅμως πράττει αὐτὰ (ἐξὸν μὴ πράττειν) ὑπὸ τῶν ἡδονῶν ἀγόμενος καὶ
b. ἐκπληττόμενος· καὶ αὖθις αὖ λέγετε ὅτι γιγνώσκων ὁ ἄνθρωπος τἀγαθὰ, πράττειν οὐκ ἐθέλει, διὰ τὰς παραχρῆμα

ad alium finem respicientes, dolorem bonum iudicaretis, eum possetis ubique ostendere. sed non poteritis. *Prot.* Vera narras, o Socrates. *So.* Si me quoque vicissim rogetis, o viri, quamobrem ubique multa de hoc loquar: Ignoscite mihi, protinus responderem. primo namque haud facile demonstrari hoc potest, quid sit quod dicitis, a voluptate superari. deinde, quia demonstrationes in hoc omnes sunt. Sed nunc etiam, si quid urget, quod exponere velitis, licet, si quo modo habetis aliud quod bonum dicatis, quam voluptatem, & quod malum, quam dolorem. An sufficit vobis vitam iucunde absque tristitia ducere? Quod si sufficit, neque dicere potestis aliud bonum, vel malum, quod non ad haec tendat, audite quod sequitur. Aio equidem his ita se habentibus, ridiculum esse vestrum illum sermonem, quo dicitis, quod homo mala, mala esse sciens, nihilominus agat mala, cum possit non agere, voluptatibus scilicet tractus, victusque: item cum dicitis, ho-

ἡδονὰς, ὑπὸ τούτων ἡττώμενος. ὡς δὲ ταῦτα γελοῖά ἐστι, κατάδηλον ἔσαι, ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα ἄρα, ἡδεῖ τε καὶ ἀνιαρῷ, καὶ ἀγαθῷ καὶ κακῷ. ἀλλ' ἐπειδὴ δύο ἐφάνη ταῦτα, δυοῖν καὶ ὀνόμασι προσαγορεύωμεν αὐτά· πρῶτον μὲν ἀγαθῷ καὶ κακῷ, ἔπειτα αὖθις ἡδεῖ τε καὶ ἀνιαρῷ. Θέμενοι δὴ οὕτω, λέγωμεν ὅτι γιγνώσκων ὁ ἄνθρωπος τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως αὐτὰ ποιεῖ. ἐὰν οὖν τις ἡμᾶς ἔρηται διὰ τί, ἡττώμενος, φήσομεν. Ὑπὸ τοῦ, ἐκεῖνος ἐρήσεται ἡμᾶς· ἡμῖν δὲ, ὑπὸ μὲν ἡδονῆς, οὐκέτι ἔξεσιν εἰπεῖν. ἄλλο γὰρ ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς τὸ ἀγαθόν. ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν ὅτι ἡττώμενος. Ὑπὸ τίνος; φήσει. Τοῦ ἀγαθοῦ, φήσομεν νὴ Δία. ἂν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς ὑβριστὴς ὢν, γελάσεται, καὶ ἐρεῖ, Ἢ γελοῖον λέγετε πρᾶγμα, εἰ πράττει τὶς κακὰ, γιγνώσκων ὅτι κακά ἐστιν (οὐ δέον αὐτὰ πράττειν) ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. ἆρα, φήσει, οὐκ ἀξίων ὄντων νικᾶν ἐν ὑμῖν τῶν ἀγαθῶν τὰ κακά; ἢ ἀξίων; φήσομεν δηλονότι ἀποκρινόμενοι, ὅτι οὐκ ἀξίων ὄντων. οὐ γὰρ

minem boni conſcium agere bene nolle, praeſenti voluptate devinctum. Ridicula inquam haec eſſe patebit, niſi multis uti nominibus volemus, iucundo, triſti, bono ac malo. poſtquam enim duo haec in univerſum eſſe conſtat, duobus tantum nominibus vocemus, primum quidem boni ac mali, poſtea iucundi ac triſtis. His poſitis, ita dicamus, Eſt homo qui mala eſſe mala novit, illaque facit nihilominus. Si quis autem quaerat, quamobrem, Quia victus eſt, reſpondebimus. A quo? inquiet ille. Nobis autem non licebit ulterius a voluptate victum dicere. aliud enim nomen voluptatis loco ſuſcepit, bonum. Illi ergo reſpondeamus, ac dicamus, quia victus. A quo? inquiet. Per Iovem, a bono, reſpondebimus. Ibi, ſi ille qui nos interrogat, contumelioſus forte vir ſit, ridebit certe, dicetque abſurdum eſſe dictum. ſi facit enim quis mala, eſſe mala ſciens, cum non oporteat facere, victus bonis: bona haec dignane ſunt, ut mala vincant, an indigna? Indigna dicemus. alioqui enim non erraſſet ille, quem dicimus voluptatibus

ἂν ἐξημάρτανεν ὂν φαμὲν ἧττω εἶναι τῶν ἡδονῶν. Κατὰ τί δὲ, φήσει ἴσως, ἀναξιά ἐστι τἀγαθὰ τῶν κακῶν; ἢ τὰ κακὰ τῶν ἀγαθῶν; ἢ κατ' ἄλλό τι ἢ ὅταν τὰ μὲν, μειζω, τὰ δὲ,
e. σμικρότερα ᾖ; ἢ πλείω, τὰ δὲ, ἐλάττω; ἢ οὐχ ἕξομεν εἰπεῖν ἄλλο ἢ τοῦτο; Δῆλον ἄρα, φήσει, ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγεται, ἀντὶ ἐλαττόνων ἀγαθῶν μειζω κακὰ λαμβάνειν. ταῦτα μὲν οὖν οὕτω. Μεταλάβωμεν δὴ τὰ ὀνόματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις· καὶ λέγωμεν ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέγομεν τὰ κακὰ, νῦν δὲ λέγωμεν τὰ ἀνιαρά· γιγνώσκων ὅτι ἀνιαρά ἐστιν, ἡττώμενος
p. ὑπὸ τῶν ἡδέων, δηλονότι ἀναξίων ὄντων νικᾶν. καὶ τίς ἄλλη
356 ἀναξία ἡδονὴ πρὸς λύπην ἐστὶν, ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων
a. καὶ ἔλλειψις; ταῦτα δ' ἐστὶ μείζω τε καὶ σμικρότερα γιγνόμενα ἀλλήλων, καὶ πλείω καὶ ἐλάττω, καὶ μᾶλλον καὶ ἧττον. εἰ γάρ τις λέγοι ὅτι, Ἀλλὰ πολὺ διαφέρει, ὦ Σώκρατες, τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, μῶν ἄλλῳ τῳ, φαίην ἂν ἔγωγε, ἢ ἡδονῇ καὶ λύπῃ; οὐ γὰρ ἔστ' ὅτῳ ἄλλῳ. ἀλλ' ὥσπερ ἀγαθὸς ἰσάναι ἀν-

superatum. Ad haec ille, Quamobrem bona ea indigna sunt, ut vincant mala? vel mala, ut bona? numquid ob aliud, quam quia haec maiora sunt, illa minora? vel plura haec, illa pauciora? Non habebimus certe causam aliam. Addet ille, Constat igitur, quod superari est, loco minorum bonorum maiora mala suscipere. Haec ita se habeant. Mutemus nomina, accipiamusque in eadem re iucundum ac triste; hoc pacto: Hominem agere prius diximus mala, dicamus nunc tristia, cum sciat esse tristia, voluptatibus superatum, talibus scilicet, ut victoria sint indignae. quae vero alia inest ad dolorem indignitas voluptati, quam excessus inter se atque defectus? hoc est, cum inter se maiores minoresve fiunt, plures item, & pauciores, vehementioresque, & remissiores. Si quis autem dixerit: At multum differt, o Socrates, voluptas praesens a futura voluptate atque molestia: dicam equidem, Num alio quopiam, quam voluptate atque molestia? haud enim

ἄνθρωπος, συνθεὶς τὰ ἡδέα, καὶ συνθεὶς τὰ λυπηρὰ, καὶ τὸ b.
ἐγγὺς καὶ τὸ πόρρω σήσας ἐν τῷ ζυγῷ, εἶπε πότερα πλείω
ἐστίν. ἐὰν μὲν γὰρ ἡδέα πρὸς ἡδέα ἴσης, τὰ μείζω ἀεὶ καὶ
πλείω λητέα· ἐὰν δὲ λυπηρὰ πρὸς λυπηρὰ, τὰ ἐλάττω καὶ
σμικρότερα. ἐὰν δὲ ἡδέα πρὸς λυπηρὰ, ἐὰν μὲν τὰ ἀνιαρὰ
ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν τε τὰ ἐγγὺς ὑπὸ τῶν
πόρρω, ἐάν τε τὰ πόρρω ὑπὸ τῶν ἐγγὺς, ταύτην τὴν πρᾶξιν
πρακτέον ἐν ᾗ ἂν ταῦτ' ἐνῇ· ἐὰν δὲ τὰ ἡδέα ὑπὸ τῶν ἀνιαρῶν, c.
οὐ πρακτέα. μή πη ἄλλῃ ἔχει, φαίην, ταῦτα, ὦ ἄνθρωποι;
οἶδ' ὅτι οὐκ ἂν ἔχοιεν ἄλλως λέγειν. Συνεδόκει καὶ ἐκείνῳ.
Ὅτε δὴ τοῦτο οὕτως ἔχει, τόδε μοι ἀποκρίνασθε, φήσω,
φαίνεται ὑμῖν τῇ ὄψει τὰ αὐτὰ μεγέθη, ἐγγύθεν μὲν, μεί-
ζω, πόρρωθεν δὲ, ἐλάττω; ἢ οὔ; Φήσουσι. Καὶ τὰ παχέα,
καὶ τὰ πολλὰ ὡσαύτως; καὶ αἱ φωναὶ ἴσαι, ἐγγύθεν μὲν
μείζους, πόρρωθεν δὲ σμικρότεραι; Φαῖεν ἄν. Εἰ οὖν ἐν τούτῳ
ἡμῖν ἦν τὸ εὖ πράττειν, ἐν τῷ τὰ μὲν μεγάλα μήκη καὶ d.
πράττειν καὶ λαμβάνειν, τὰ δὲ σμικρὰ καὶ φεύγειν καὶ μὴ

alio poteſt. Sed perinde eſt ac ſi vir quiſpiam ponderandi gnarus, collectis hinc voluptariis, iſthinc triſtibus, tam quae prope, quam quae procul ſunt, trutina exquirat, dicatque utra plura ſint. Si enim voluptaria cum voluptariis libres, maiora ſemper & plura ſunt eligenda: ſin autem triſtibus triſtia compares, pauciora minoraque: ſin iucunda cum triſtibus, & triſtia quidem a voluptariis ſuperentur, ſive propinqua a remotis, ſive remota a propinquis, ratio illa eſt eligenda in qua haec inſunt: quod ſi iucunda a triſtibus ſuperentur, minime. An aliter ſe res habet, o viri? ſcio equidem, nihil afferre eos aliud poſſe. *Prot.* Idem & ipſe arbitror. *So.* Poſtquam vero ita ſe id habet, illos hunc in modum interrogabo. Apparent oculis veſtris eaedem moles cominus maiores, minores eminus? Affirmabunt puto. Et craſſa, & multa ſimiliter? & aequales voces prope quidem maiores, longe vero minores? Conſentient. Si igitur in hoc bene agere, & felicitas noſtra conſiſteret, hoc eſt, in magnis molibus fabricandis, accipiendisque,

πράττειν, τίς ἂν ἡμῖν σωτηρία ἐφάνη τοῦ βίου; ἆρα ἡ μετρητικὴ τέχνη, ἢ ἡ τοῦ φαινομένου δύναμις; ἢ αὕτη μὲν ἡμᾶς ἐπλάνα, καὶ ἐποίει ἄνω τε καὶ κάτω πολλάκις μεταλαμβάνειν ταυτὰ καὶ μεταμέλειν, καὶ ἐν ταῖς πράξεσι καὶ ἐν ταῖς αἱρέσεσι τῶν μεγάλων τε καὶ σμικρῶν; ἡ δὲ μετρητι-
e. κὴ ἄκυρον μὲν ἂν ἐποίησε τοῦτο τὸ φάντασμα; δηλώσασα δὲ τὸ ἀληθὲς, ἡσυχίαν ἂν ἐποίησεν ἔχειν τὴν ψυχὴν, μένουσαν ἐπὶ τῷ ἀληθεῖ, καὶ ἔσωσεν ἂν τὸν βίον; ἆρ' ἂν ὁμολογοίεν ἄνθρωποι πρὸς ταῦτα, ἡμᾶς τὴν μετρητικὴν σώζειν ἂν τέχνην, ἢ ἄλλην; Τὴν μετρητικὴν ὡμολόγει. Τί δ', εἰ ἐν τῇ τοῦ περιττοῦ καὶ ἀρτίου αἱρέσει ἡμῖν ἦν ἡ σωτηρία τοῦ βίου, ὁπότε τὸ πλέον ὀρθῶς ἔδει ἑλέσθαι καὶ ὁπότε τὸ ἔλαττον, ἢ αὐτὸ πρὸς ἑαυτὸ, ἢ τὸ ἕτερον πρὸς τὸ ἕτερον, εἴτ' ἐγγὺς,
P. εἴτε πόρρω εἴη· τί ἂν ἔσωζεν ἡμῖν τὸν βίον; ἆρ' ἂν οὐκ ἐπι-
357 a. στήμη; καὶ ἆρ' ἂν οὐ μετρητική τις; ἐπειδήπερ ὑπερβολῆς τε καὶ ἐνδείας ἐξὶν ἡ τέχνη; ἐπειδὴ δὲ περιττοῦ τε καὶ ἀρτίου, ἆρα ἄλλη τις ἢ ἀριθμητική; ὁμολογοῖεν ἂν ἡμῖν οἱ ἄνθρωποι;

parvis autem reiiciendis, quaenam nobis potiſſima vitae ſalus eſſet? Num ars dimetiendi? aut optice potius, quanta res appareat oſtendens? Immo haec nos deciperet, & errore confundens ſaepe cogeret eadem alias aliter iudicare, atque adſciſcere, & in magnorum parvorumque electionibus ſaepius conſilium mutare. Dimetiendi vero facultas apparens hoc abrogaret refelleretque, veritatemque aperiens animo quietem daret veritate nixo, atque ita vitam ſervaret. Conſentirentne homines ad haec, an non, menſoria ſcilicet arte nos ſervari? *Prot.* Hac ipſa. *So.* Quid porro? ſi in ipſa paris impariſve electione ſalus vitae conſiſteret, quando quod plus eſt, recte eligi oporteret, & quando quod minus, ipſum ad ſeipſum, vel aliud forte ad aliud, ſive prope, ſeu procul ſit, quid potiſſimum noſtram vitam ſervaret? nonne ſcientia? & metiendi quidem, quum exceſſus atque defectus ea ars ſit. cum vero paris, & imparis habenda ratio ſit, non alia, quam numerandi ſcientia. Concederent nobis haec homines, an non?

ἢ οὔ; Ἐδόκουν ἂν καὶ τῷ Πρωταγόρᾳ ὁμολογεῖν. Εἶεν, ὦ ἄνθρωποι· ἐπειδὴ δὲ ἡδονῆς τε καὶ λύπης ἐν ὀρθῇ τῇ αἱρέσει ἐφάνη ἡμῖν ἡ σωτηρία τοῦ βίου οὖσα, τοῦτ' ἐστὶ πλέονος καὶ ἐλάττονος, καὶ μείζονος καὶ σμικροτέρου, καὶ πορρώτερω καὶ b. ἐγγυτέρω, ἆρα πρῶτον μὲν οὐ μετρητικὴ φαίνεται ὑπερβολῆς τε καὶ ἐνδείας οὖσα καὶ ἰσότητος πρὸς ἀλλήλας σκέψις; Ἀλλ' ἀνάγκη. Ἐπεὶ δὲ μετρητικὴ, ἀνάγκη δή που τέχνη καὶ ἐπιστήμη. Συμφήσουσιν. Ἥτις μὲν τοίνυν τέχνη καὶ ἐπιστήμη ἐστὶν αὐτὴ, εἰσαῦθις σκεψόμεθα· ὅτι δὲ ἐπιστήμη ἐστὶ, τοσοῦτον ἐξαρκεῖ πρὸς τὴν ἀπόδειξιν, ἣν ἐμὲ δεῖ καὶ Πρωταγόραν ἀποδεῖξαι, περὶ ὧν ἤρεσθ' ἡμᾶς. ἤρεσθε δὲ, εἰ μέμνη- c. σθε, ἡνίκα ἡμεῖς ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης μηδὲν εἶναι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖν ὅπου ἂν ἐνῇ, καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων· ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου· ἐπειδὴ δὲ ὑμῖν οὐχ ὡμολογοῦμεν, μετὰ τοῦτο ἤρεσθε ἡμᾶς, Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι ταῦτο τὸ πάθημα ἡδονῆς

Prot. Absque controverſia. *So.* Agite, o viri. Poſtquam vero ſalutem vitae certum eſt in recta voluptatis dolorisque electione conſiſtere, id eſt, pluris & paucioris, maioris & minoris, propinquioris & remotioris delectu, nonne dimetiendi facultas primo exceſſus, defectusque, aequalitatis item mutuae conſideratrix eſt? *Prot.* Neceſſe. *So.* Quoniam vero metiendi facultas eſt, neceſſe eſt, ut ars, & ſcientia ſit. *Prot.* Annuent. *So.* Quae vero potiſſimum haec ſcientia ſit, alias conſiderabimus. ſufficit enim nunc, ſcientiam eſſe, quod ad eam demonſtrationem ſpectat, quam ego & Protagoras veſtrae eramus quaeſtioni daturi. Haec autem, ſi recordamini, erat quaeſtio. Nos quidem conſenſimus, nihil ſcientia potentius eſſe: immo illam ſemper, ubicunque adeſt, voluptati, cunctisque ceteris dominari. At vos obieciſtis, voluptatem ſaepe etiam ſcienti dominari. Quod cum vobis nequaquam daremus, ſtatim ita rogaſtis: Si hoc, o Protagora, & Socrates, non eſt a voluptatibus ſuperari, ſed aliud quiddam, declarate quid ſit. Hic

ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστὶ, καὶ τί ὑμεῖς αὐτὸ φατὲ εἶναι,
d. εἴπετε ἡμῖν. Εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν εἴπομεν ὅτι ἀμαθία,
κατεγελᾶτε ἂν ἡμῶν· νῦν δὲ ἂν ἡμῶν καταγελᾶτε, καὶ
ὑμῶν αὐτῶν καταγελάσεσθε. καὶ γὰρ ὑμεῖς ὡμολογήκατε
ἐπιστήμης ἐνδεία ἐξαμαρτάνειν περὶ τὴν τῶν ἡδονῶν αἵρεσιν
καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας (ταῦτα δέ ἐστιν ἀγαθά τε
καὶ κακά) καὶ οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ εἰς τὸ πρόσθεν
ἔτι ὡμολογήκατε ὅτι μετρητικῆς. ἡ δὲ ἐξαμαρτανομένη πρᾶ-
e. ξις ἄνευ ἐπιστήμης, ἴσε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράττεται.
ὥστε τοῦτ' ἐστὶ τὸ ἡδονῆς ἥττω εἶναι, ἀμαθία ἡ μεγίστη· ἧς
Πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι, καὶ Πρόδικος καὶ Ἱπ-
πίας. ὑμεῖς δὲ διὰ τὸ οἴεσθαι ἄλλό τι ἢ ἀμαθίαν εἶναι, οὔτε
αὐτοὶ, οὔτε τοὺς ὑμετέρους παῖδας παρὰ τοὺς τούτων δι-
δασκάλους τούσδε τοὺς σοφιστὰς πέμπετε, ὡς οὐ διδακτοῦ ὄν-
τος· ἀλλὰ κηδόμενοι τοῦ ἀργυρίου, καὶ οὐ διδόντες τούτοις,
κακῶς πράττετε καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Ταῦτα μὲν τοῖς πολλοῖς
p. ἀποκεκριμένοι ἂν ἦμεν. ὑμᾶς δὲ δὴ μετὰ Πρωταγόρου ἐρω-
358
a.

si illico respondissemus, inscitiam esse, protinus nos risissetis, nunc autem si nos deridetis, etiam vos ipsos deridebitis. Ipsi enim vos paulo ante confessi estis, defectu scientiae aberrare illos, qui in voluptatum & dolorum electione delinquunt. ea vera bona sunt, & mala. Neque defectu scientiae tantum dixistis, sed addidistis etiam, defectu scilicet scientiae metiendi. Actio autem errans, & quam scientia non regit, ut & vos non latet, ab inscientia provenit. quapropter quod dici solet, a voluptatibus superari, extrema inscitia est: cuius velut morbi Protagoras hic, & Prodicus, & Hippias medicos se profitentur. Vos autem, quia aliud quiddam esse hoc, quam inscitiam putatis, neque vos ipsos, neque filios vestros, hisce sophistis rerum illarum doctoribus curandos datis, quasi virtus doceri non possit. at, cum pecuniis invigilatis, nec his praeceptoribus affertis, privatim publiceque delinquitis. Haec plane vulgo respondissemus. Nunc autem vos etiam, o Prodice atque Hippia, una cum Protagora hoc percontor, (communis

τῷ Ἱππίᾳ τε καὶ Πρόδικε (κοινὸς γὰρ δὴ ἔξω ὑμῖν ὁ λόγος) πότερον δοκῶ ὑμῖν ἀληθῆ λέγειν, ἢ ψεύδεσθαι. Ὑπερφυῶς ἐδόκει ἅπασιν ἀληθῆ εἶναι τὰ εἰρημένα. Ὁμολογεῖτε ἄρα, ἦν δ' ἐγὼ, τὸ μὲν ἡδὺ, ἀγαθὸν εἶναι· τὸ δὲ ἀνιαρὸν, κακόν. τὴν δὲ Προδίκου τοῦδε διαίρεσιν τῶν ὀνομάτων παραιτοῦμαι. εἴτε γὰρ ἡδὺ, εἴτε τερπνὸν λέγεις, εἴτε χαρτὸν, εἴτε ὁπόθεν καὶ ὅπως χαίρεις τὰ τοιαῦτα ὀνομάζων, ὦ βέλτιστε Πρόδικε, τοῦ- b.
τό μοι πρὸς ὃ βούλομαι ἀπόκριναι. Γελάσας οὖν ὁ Πρόδικος συνωμολόγησε, καὶ οἱ ἄλλοι. Τί δὲ δὴ, ὦ ἄνδρες, ἔφην ἐγὼ, τὸ τοιόνδε, αἱ ἐπὶ τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαὶ καὶ ὠφέλιμοι; καὶ τὸ καλὸν ἔργον, ἀγαθόν τε καὶ ὠφέλιμον; Συνεδόκει. Εἰ ἄρα, ἔφην ἐγὼ, τὸ ἡδὺ ἀγαθόν ἐστιν, οὐδεὶς οὔτε εἰδὼς, οὔτε οἰόμενος ἄλλα βελτίω εἶναι ἢ ἃ ἐποίει καὶ δύναται, ἔπειτα ποιεῖ ταῦτα, ἐξὸν τὰ βελτίω. οὐδὲ τὸ ἧττω εἶναι αὐτοῦ, c.
ἄλλό τι τοῦτ' ἐστὶν ἢ ἀμαθία· οὐδὲ κρείττω ἑαυτοῦ, ἄλλό τι ἢ σοφία. Συνεδόκει πᾶσι. Τί δὲ δή; ἀμαθίαν ἆρα τὸ τοιόνδε

enim hic ſermo vobis eſto,) verane vobis loqui videar, an falſa? Vere admodum dicta eſſe, viſum eſt omnibus. Conceditis igitur, inquam, quod iucundum eſt, eſſe bonum, quod triſte, malum. Diſtinctionem vero illam nominum, quam Prodicus hic iniicere ſolet, reiicio, eiusque requiro iudicium. ſive enim voluptarium, ſiue delectabile, ſive laetum, ſive quomodocunque tandem nomines, optime Prodice, hoc mihi nunc quod volo reſpondeas. Subridens Prodicus aſſenſus eſt: & alii pariter conſenſerunt. Tum ego, Quid ad hoc, o viri? actiones omnes, quae ad iucunde & ſine moleſtia vivendum pertinent, nonne honeſtae & utiles? honeſtumque opus, bonum & utile? Annuerunt. Si ergo iucundum, inquam, bonum eſt, nemo vel ſciens, vel exiſtimans alia eſſe meliora, quam ea quae fecit, poteſtque, poſtea haec agit, cum meliora poſſit. quod vero dicitur, ab affectionibus ſuperari, nihil eſt aliud, quam inſcitia: & quod, affectibus dominari, nihil quam ſapientia. Placuit omnibus. Quid vero? inſcitiam nonne tale

λέγετε, τὸ ψευδῆ ἔχειν δόξαν καὶ ἐψεῦσθαι περὶ τῶν πραγμάτων τοῦ πολλοῦ ἀξίων; Καὶ τοῦτο πᾶσι συνεδόκει. Ἄλλοτι οὖν, ἔφην ἐγὼ, ἐπί γε τὰ κακὰ οὐδεὶς ἑκὼν ἔρχεται; οὐδὲ ἐπὶ ἃ οἴεται κακὰ εἶναι; οὐδ' ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν
d. ἀνθρώπου φύσει, ἐπὶ ἃ οἴεται κακὰ εἶναι, ἐθέλειν ἰέναι, ἀντὶ τῶν ἀγαθῶν· ὅταν τε ἀναγκασθῇ δυοῖν κακοῖν τὸ ἕτερον αἱρεισθαι, οὐδεὶς τὸ μεῖζον αἱρήσεται, ἐξὸν τὸ ἔλαττον. Ἅπαντα ταῦτα συνδοκεῖ ἅπασιν ἡμῖν. Τί οὖν, ἔφην ἐγὼ, καλεῖτε δέος καὶ φόβον; καὶ ἆρα ὅπερ ἐγὼ πρός σε λέγω, ὦ Πρόδικε, προσδοκίαν τινὰ λέγω κακοῦ τοῦτο, εἴ τε φόβον, εἴτε δέος καλεῖτε; Ἐδόκει Πρωταγόρᾳ μὲν καὶ Ἱππίᾳ δέος τε καὶ φόβος εἶναι τοῦτο· Προδίκῳ δὲ, δέος, φόβος δ' οὔ.
e. Ἀλλ' οὐδὲν, ἔφην ἐγὼ, Πρόδικε, διαφέρει· ἀλλὰ τόδε, εἰ ἀληθῆ τὰ ἔμπροσθέν ἐστιν. ἆρά τις ἀνθρώπων ἑλόμενος ἐπὶ ταῦτα ἰέναι ἃ δέδοικεν, ἐξὸν ἐπὶ ἃ μή· ἢ ἀδύνατον ἐκ τῶν ὡμολογημένων. ἃ γὰρ δέδοικεν, ὡμολόγηται ἡγεῖσθαι κακὰ εἶναι· ἃ δὲ ἡγεῖται κακὰ, οὐδένα οὔτε ἰέναι ἐπὶ ταῦτα, οὔτε

quiddam dicitis, quando quis falsa opinione decipitur circa res plurimi faciendas? Hoc quoque dederunt. Nemo vero lubens ad mala descendit, vel ad illa quae mala existimat. Neque hoc, ut videtur, naturae hominis inest, ut ad ea quae censet mala, bonorum loco declinare velit: & cum e duobus malis alterum eligere cogitur, nemo quod peius eligit, dum licet quod est minus malum eligere. Haec omnia cunctis nobis rata habenda visa sunt. Quid igitur, inquam, timorem ac terrorem vocatis? numquid quod ego erga te dico, Prodice? exspectationem vero quandam mali, sive timorem, sive terrorem ipsi vocetis, ego dico. Visum est Protagorae atque Hippiae, timorem ac terrorem hoc esse: Prodico autem timorem quidem esse hoc, terrorem vero minime. Nihil id refert, inquam, o Prodice: sed istud, num vera sint superius dicta. Quisnam igitur mortalium ad illa proficisci volet, quae metuit, dum licebit ad ea quae minime timet? an fieri nequit, secundum ea quae iam concessimus? nam quae quis metuit,

λαμβάνειν ἑκόντα. Ἐδόκει καὶ ταῦτα πᾶσιν. Οὕτω δὴ τού- p.
των ὑποκειμένων, ἦν δ' ἐγὼ, Πρόδικέ τε καὶ Ἱππία, ἀπολο- 359
γείσθω ἡμῖν Πρωταγόρας ὅδε ἃ τοπρῶτον ἀπεκρίνατο, πῶς a.
ὀρθῶς ἔχει, μὴ ἃ τοπρῶτον παντάπασι. τότε μὲν γὰρ δὴ
πέντε ὄντων μορίων τῆς ἀρετῆς, οὐδὲν ἔφη εἶναι τὸ ἕτερον
οἷον τὸ ἕτερον, ἰδίαν δὲ αὐτοῦ ἕκαστον ἔχειν δύναμιν. ἀλλ' οὐ
ταῦτα λέγω, ἀλλ' ὃ τὸ ὕστερον εἶπε. τὸ γὰρ ὕστερον ἔφη τὰ
μὲν τέτταρα ἐπιεικῶς παραπλήσια ἀλλήλοις εἶναι, τὸ δὲ ἓν
πάνυ διαφέρειν τῶν ἄλλων, τὴν ἀνδρείαν. γνώσεσθαι δέ μ' b.
ἔφη τεκμηρίῳ τῷδε. εὑρήσεις γάρ, ὦ Σώκρατες, ἀνθρώπους
ἀνοσιωτάτους μὲν ὄντας καὶ ἀδικωτάτους καὶ ἀκολαστο-
τάτους καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δέ. ᾧ γνώσῃ ὅτι πολὺ
διαφέρει ἡ ἀνδρεία τῶν ἄλλων μορίων τῆς ἀρετῆς. καὶ ἐγὼ
εὐθὺς τότε πάνυ ἐθαύμασα τὴν ἀπόκρισιν· καὶ ἔτι μᾶλλον,
ἐπειδὴ ταῦτα μετ' ὑμῶν διεξῆλθον. ἠρόμην δ' οὖν τοῦτον εἰ
τοὺς ἀνδρείους λέγει θαῤῥαλέους. ὁ δὲ, Καὶ ἵτας γ', ἔφη. c.
Μέμνησαι, ἦν δ' ἐγὼ, ὦ Πρωταγόρα, ταῦτα ἀποκρινόμε-

conſtitit, quod mala eſſe putat; quodque nullus ſponte ad illa deſcendat, capiatve quae mala credat. Haec quoque omnibus placuerunt. His ita poſitis, o Prodice, inquam, & Hippia, quae primum reſpondit Protagoras iam nunc defendat: immo vero non quae primum omnino. dixit enim, e quinque virtutis partibus nullam eſſe alteram alteri ſimilem, ſed vim unamquamque privatam habere. Neque hoc urgeo nunc, ſed quod ſequitur. Sic enim in ſequentibus inquit, Quatuor virtutis partes ſatis invicem propinquas eſſe: unam vero illarum, fortitudinem ſcilicet, a reliquis longe differre. Quod inde coniici poſſe dicebat, quod plerique invenirentur fortiſſimi viri, qui tamen profaniſſimi, iniuſtiſſimi, intemperantiſſimi, & inſipientiſſimi eſſent: ex quo patere volebat, fortitudinem ab omnibus aliis virtutis partibus plurimum differre. Cuius ego reſponſum ſtatim vehementer ſum admiratus, multoque etiam magis, poſtquam vobiſcum haec tractavi. quare ab illo ſciſcitatus, utrum fortes audaces vocaret. Ille vero

νος; Ὡμολόγει. Ἴθι δὴ, ἔφην ἐγὼ, εἰπὲ ἡμῖν, ἐπὶ τί λέγεις ἴτας εἶναι τοὺς ἀνδρείους. ἢ ἐφ' ἅπερ οἱ δειλοί; Οὐκ ἔφη. Οὐκοῦν ἐφ' ἕτερα. Ναὶ, ἦ δ' ὅς. Πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαῤῥαλέα ἔρχονται, οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά; Λέγεται δὴ, ὦ Σώκρατες, οὕτως ὑπὸ τῶν ἀνθρώπων. Ἀληθῆ, ἔφην ἐγὼ,
d. λέγεις. ἀλλ' οὐ τοῦτο ἐρωτῶ· ἀλλὰ σὺ ἐπὶ τί φὴς ἴτας εἶναι τοὺς ἀνδρείους. ἆρ' ἐπὶ τὰ δεινὰ, ἡγουμένους δεινὰ εἶναι· ἢ ἐπὶ τὰ μή; Ἀλλὰ τοῦτό γ', ἔφη, ἐν οἷς σὺ ἔλεγες τοῖς λόγοις, ἀπεδείχθη ἄρτι ὅτι ἀδύνατον. Καὶ τοῦτο, ἔφην ἐγὼ, ἀληθὲς λέγεις. ὥστ' εἰ τοῦτο ὀρθῶς ἀπεδείχθη, ἐπὶ μὲν ἃ δεινὰ ἡγεῖται εἶναι, οὐδεὶς ἔρχεται· ἐπειδὴ τὸ ἥττω εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα. Ὡμολόγει. Ἀλλὰ μὴν ἐπί ἅ γε θαῤῥοῦσι πάντες αὖ ἔρχονται, καὶ δειλοὶ καὶ ἀνδρεῖοι· καὶ ταύτῃ
e. γε ἐπὶ τὰ αὐτὰ ἔρχονται οἱ δειλοί τε καὶ ἄνανδροι. Ἀλλὰ μέντοι, ἔφη, ὦ Σώκρατες, πᾶν γε τοὐναντίον ἐστὶν ἐπὶ ἃ οἵ τε δειλοὶ ἔρχονται καὶ οἱ ἀνδρεῖοι. αὐτίκα εἰς τὸν πόλεμον οἱ

praecipites insuper addidit. Recordaris, Protagora, haec te respondisse? *Prot.* Recordor. *So.* Dic obsecro nobis, ad quid praecipites homines fortes nuncupas? an ad ea, quae timidi aggrediuntur? *Prot.* Non. *So.* Ergo ad alia? *Prot.* Nempe. *So.* Utrum timidi audenda aggrediuntur? metuenda fortes? *Prot.* Ita fertur, o Socrates. *So.* Vera narras. verum non hoc requiro: immo vero tu ad quid praecipites fortes appellas? num ad mala, cum esse mala sciant pernicioſaque? an ad ea potius, quae talia non sunt? *Prot.* Impossibile hoc esse, abs te superioribus rationibus est ostensum. *So.* Et in hoc quoque vere loqueris. Quamobrem, si hoc recte est demonstratum, ea quae mala pernicioſaque iudicat, aggreditur nemo: quandoquidem constitit, insciti am esse quod dicitur ab affectibus superari. *Prot.* Plane. *So.* Enimvero ea unusquisque aggrediuntur, quae audent, tam timidi, quam fortes: atque hac ratione eadem & timidi, & fortes aggrediuntur. *Prot.* Immo contraria omnino sunt, o Socrates, ea ad quae fortes & timidi contendunt. nam ad bellum quidem ire hi volunt,

μὲν ἐθέλουσιν ἰέναι, οἱ δὲ οὐκ ἐθέλουσι. Πότερον, ἔφην ἐγὼ, καλὸν ὂν ἰέναι, ἢ αἰσχρόν; Καλὸν, ἔφη. Οὐκοῦν εἴπερ καλὸν, καὶ ἀγαθὸν ὡμολογήσαμεν ἐν τοῖς ἔμπροσθεν. τὰς γὰρ καλὰς πράξεις ἁπάσας, ἀγαθὰς ὡμολογήσαμεν, Ἀληθῆ λέγεις· καὶ ἀεὶ ἔμοιγε δοκεῖ οὕτως. Ὀρθῶς γε, ἔφην ἐγώ. ἀλλὰ ποτέρους φὴς εἰς τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι, καλὸν p. ὂν καὶ ἀγαθόν; Τοὺς δειλοὺς, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγὼ, 360 a. εἴπερ καλὸν καὶ ἀγαθὸν, καὶ ἡδύ; Ὡμολόγηται γοῦν, ἔφη. Ἆρ' οὖν γινώσκοντες οἱ δειλοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον; Ἀλλὰ καὶ τοῦτο ἐὰν ὁμολογῶμεν, ἔφη, διαφθεροῦμεν τὰς ἔμπροσθεν ὁμολογίας. Τί δ', ὦ ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον ἔρχεται; Ἀνάγκη, ἔφη, ὁμολογεῖν. Οὔκουν ὅλως οἱ ἀνδρεῖοι b. οὐκ αἰσχροὺς φόβους φοβοῦνται, ὅταν φοβῶνται, οὐδὲ αἰσχρὰ θαῤῥοῦσιν. Ἀληθῆ, ἔφη. Εἰ δὲ μὴ αἰσχρὰ, ἆρ' οὐ καλά; Ὡμολόγει. Εἰ δὲ καλὰ, καὶ ἀγαθά; Ναί. Οὐκοῦν καὶ οἱ δειλοὶ καὶ οἱ θρασεῖς, καὶ οἱ μαινόμενοι, τοὺ-

illi vero nolunt. *So.* Ire honeſtumne, an turpe? *Prot.* Honeſtum. *So.* Nonne ſi honeſtum, etiam bonum eſſe ſupra conſenſimus? omnes enim actiones honeſtas & pulchras, etiam bonas eſſe convenit. *Prot.* Vera loqueris: & mihi quidem ſemper ita videtur. *So.* Probe. Verum quoſnam dicis in proelium ire nolle, cum iter id pulchrum bonumque ſit? *Prot.* Timidos. *So.* Nonne ſi pulchrum & bonum, etiam eſt iucundum? *Prot.* Conceſſum eſt. *So.* Numquid ſcientes timidi ad id, quod pulchrum, melius & iucundius eſt, proficiſci nolunt? *Prot.* At vero ſi hoc admittimus, quod ſuperius conveniebat pervertemus. *So.* Quid porro? vir fortis, nonne ad id, quod pulchrum, melius, iucundiusque eſt, tendit? *Prot.* Neceſſe eſt confiteri. *So.* Omnino igitur fortes viri neque turpiter metuunt, ſi quando metuunt, neque turpiter audent. *Prot.* Ita eſt. *So.* Si non turpiter, honeſte & pulchre. *Prot.* Certe. *So.* Sin honeſte, etiam bene. *Prot.* Utique. *So.* Nonne & timidi, & feroces, & furioſi, contra turpiter audent, & metuunt turpiter? *Prot.* Eſt

ναντίον αἰσχρούς γε φόβους φοβοῦνται, καὶ αἰσχρὰ θάρρη θαρροῦσιν. Ὁμολόγει. Θαρροῦσι δὲ τὰ αἰσχρὰ καὶ κακὰ, δι' ἄλλό τι ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν; Οὕτως ἔχει, ἔφη.
c. Τί οὖν; τοῦτο δι' ὃ δειλοί εἰσιν οἱ δειλοὶ, δειλίαν ἢ ἀνδρείαν καλεῖς; Δειλίαν ἔγωγ', ἔφη. Δειλοὶ δὲ οὐ διὰ τὴν τῶν δεινῶν ἀμαθίαν ἐφάνησαν ὄντες; Καὶ πάνυ', ἔφη. Διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν. Ὡμολόγει. Δι' ὃ δὲ δειλοί εἰσι, δειλίαν ὡμολογεῖτο παρὰ σοῦ; Συνέφη. Οὐκοῦν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν ἀμαθία, δειλία ἂν εἴη; Ἐπένευσεν. Ἀλλὰ μήν, ἦν δ' ἐγὼ, ἐναντίον ἀνδρεία δειλίᾳ. Ἔφη. Οὐκοῦν ἡ τῶν δεινῶν καὶ
d. μὴ δεινῶν σοφία, ἐναντία τῇ τούτων ἀμαθίᾳ ἐστί; Καὶ ἐνταῦθα ἔτι ἐπένευσεν. Ἡ δὲ τούτων ἀμαθία, δειλία; Πάνυ μόγις ἐνταῦθα ἐπένευσεν. Ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν, ἀνδρεία ἐστὶν, ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ. Οὐκέτι ἐνταῦθα οὔτ' ἐπινεῦσαι ἠθέλησεν· ἐσίγα τε. Καὶ ἐγὼ εἶπον, Τί δὴ, ὦ Πρωταγόρα, οὔτε σὺ φῂς ἃ ἐρωτῶ, οὔτε ἀπόφῃς; Αὐτὸς, ἔφη, πέρανον. Ἓν γ', ἔφην ἐγὼ, μόνον ἐρόμενος ἔτι

istud. *So.* Aliam vero ob causam turpiter & male audent, nisi ob ignorantiam & insciti am? *Prot.* Ob hanc ipsam. *So.* Quid? hoc, quo ipsi timidi sunt, timiditatemne, an fortitudinem vocas? *Prot.* Timiditatem. *So.* Timidi autem nonne propter metuendorum insciti am apparuerunt? *Prot.* Sane. *So.* Propter hanc ergo insciti am timidi sunt? *Prot.* Nempe. *So.* Illud autem quo timidi sunt, timiditatem esse asseruisti. *Prot.* Asserui. *So.* Nonne igitur metuendorum & non metuendorum insciti a, timiditas erit? *Prot.* Erit. *So.* Enimvero contraria est fortitudo timiditati. *Prot.* Absque dubio. *So.* An non sapientia metuendorum & non metuendorum, eorundem insciti ae contraria est? *Prot.* Prorsus. *So.* Horum vero insciti a timiditas? *Prot.* Et maxime quidem. *So.* Sapientia igitur metuendorum & non metuendorum, fortitudo est, eorundem insciti ae contraria existens. Haud ulterius annuit Protagoras, sed siluit. Tum ego: Quid taces, Protagora? cur non aut annuis, aut renuis? Ipse rem confice, inquit. Concludam protinus, inquam, si unum hoc dumtaxat inter-

σὲ, εἰ σοι ὥσπερ τοπρῶτον ἔτι δοκοῦσιν εἶναι τινὲς ἄνθρωποι e.
ἀμαθέστατοι μὲν, ἀνδρειότατοι δέ. Φιλονεικεῖν μοι ἔτι δοκεῖς,
ὦ Σώκρατες, τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον. χαριοῦμαι οὖν
σοι, καὶ λέγω ὅτι ἐκ τῶν ὡμολογημένων ἀδύνατόν μοι δοκεῖ
εἶναι. Οὗτοι, ἦν δ' ἐγὼ, ἄλλου ἕνεκα ἐρωτῶ πάντα ταῦτα,
ἢ σκέψασθαι βουλόμενος πῶς ποτ' ἔχει τὰ περὶ τῆς ἀρετῆς,
καὶ τί ποτ' ἐστὶν αὐτὸ ἡ ἀρετή. οἶδα γὰρ ὅτι τούτου φανεροῦ
γενομένου, μάλιστα ἂν κατάδηλον γένοιτο ἐκεῖνο περὶ οὗ ἐγώ p.
τε καὶ σὺ μακρὸν λόγον ἑκάτερος ἀπετείναμεν· ἐγὼ μὲν, λέ- 361
γων ὡς οὐ διδακτὸν ἀρετή· σὺ δ', ὡς διδακτόν. καί μοι δοκεῖ a.
ἡμῶν ἡ ἄρτι ἔξοδος τῶν λόγων, ὥσπερ ἄνθρωπος, κατηγορεῖν
τε καὶ καταγελᾶν. καὶ, εἰ φωνὴν λάβοι, εἰπεῖν ἂν ὅτι, Ἄτο-
ποί γ' ἐστὲ, ὦ Σώκρατές τε καὶ Πρωταγόρα· σὺ μὲν, λέγων
ὅτι οὐ διδακτόν ἐστιν ἡ ἀρετὴ, ἐν τοῖς ἔμπροσθεν, νῦν σεαυτῷ
τἀναντία σπεύδεις, ἐπιχειρῶν ἀποδεῖξαι ὡς πάντα χρήματα b.
ἐστὶν ἐπιστήμη, καὶ ἡ δικαιοσύνη, καὶ ἡ σωφροσύνη, καὶ ἡ ἀν-
δρεία. ᾧ τρόπῳ μάλιστ' ἂν διδακτὸν φανείη ἡ ἀρετή. εἰ μὲν

rogavero, Utrum tibi nunc etiam, ut & ſupra, imperitiſſimi quidam eſſe videantur, qui tamen fortiſſimi ſint. Contendere pervicaciter, inquit, videris, o Socrates, ut ipſe reſpondeam. ergo morem tibi geram. Impoſſibile dico videri, ex his quae ſupra ſunt conceſſa. Non ob aliam cauſam, inquam, de his omnibus te percontor, quam quod noſſe cupiam, qualia ſint quae ad virtutem pertinent, quidve ipſa ſit virtus. Scio equidem, hoc declarato ſtatim notum fore & illud, quo de ego & tu tot iam verba conſumſimus: dum ego quidem virtutem doceri poſſe negarem; tu vero poſſe aſſeverares. Atqui arbitror, noſtrae diſputationis exitum, ſi hominis inſtar uti voce poſſet, deriſurum nos, & hoc pacto reprehenſurum, Quam inepti eſtis, o Socrates atque Protagora. tu quidem ab initio dicebas, o Socrates, doceri non poſſe virtutem: nunc repugnare tibi ipſi contendis, dum oſtendere vis, omnia haec, iuſtitiam ſcilicet, temperantiam, fortitudinem, eſſe ſcientiam: qua ratione maxime virtutem doceri poſſe conſtat. Si enim

γὰρ ἄλλό τι ἦν ἡ ἐπιστήμη ἢ ἀρετὴ, (ὥσπερ Πρωταγόρας ἐπεχείρει λέγειν) σαφῶς οὐκ ἂν ἦν διδακτόν· νῦν δὲ εἰ φανήσεται ἐπιστήμη ὄν, ὡς σὺ σπεύδεις, ὦ Σώκρατες, θαυμάσιον ἔσαι μὴ διδακτὸν ὄν. Πρωταγόρας δ' αὖ διδακτὸν τότε ὑπο-
c. θέμενος, νῦν τοὐναντίον ἔοικε σπεύδοντι, ὀλίγου πάντα μᾶλλον φανῆναι αὐτὸ ἢ ἐπιστήμην· καὶ οὕτως ἂν ἥκιστα εἴη διδακτόν. Ἐγὼ οὖν, ὦ Πρωταγόρα, πάντα ταῦτα καθορῶν ἄνω κάτω ταραττόμενα δεινῶς, πᾶσαν προθυμίαν ἔχω καταφανῆ αὐτὰ γενέσθαι· καὶ βουλοίμην ἂν ταῦτα διεξελθόντας ἡμᾶς, ἐξελθεῖν καὶ ἐπὶ τὴν ἀρετὴν ὅ, τι ἐστί· καὶ πάλιν ἐπισκέψα-
σθαι περὶ αὐτοῦ, εἴτε διδακτὸν, εἴτε μὴ διδακτόν· μὴ πολλάκις ἡμᾶς ὁ Ἐπιμηθεὺς ἐκεῖνος καὶ ἐν τῇ σκέψει σφήλῃ ἐξα-
d. πατήσας, ὥσπερ καὶ ἐν τῇ διανομῇ ἠμέλησεν ἡμῶν, ὡς φῂς σύ. ἥρεσεν οὖν μοι καὶ ἐν τῷ μύθῳ ὁ Προμηθεὺς μᾶλλον τοῦ Ἐπιμηθέως· ᾧ χρώμενος ἐγὼ, καὶ προμηθούμενος ὑπὲρ τοῦ βίου τοῦ ἐμαυτοῦ παντὸς, πάντα ταῦτα πραγματεύομαι· καὶ, εἰ σὺ ἐθέλοις, ὅπερ καὶ κατ' ἀρχὰς ἔλεγον, μετὰ σοῦ

aliud quiddam esset scientia quam virtus, quod Protagoras primum asserebat, plane doceri non posset. nunc autem si scientia esse videatur, quod tu, o Socrates, inferre conaris, mirum sit, si per doctrinam virtus comparari non posset. Protagoras autem primo quidem doceri virtutem voluit: nunc contra adniti videtur, ut quodvis aliud potius quam scientia virtus appareat; quo pacto minime omnium doceretur. Equidem, o Protagora, videns haec omnia sursum deorsumque graviter perturbari, ut in lucem veniant, vehementer incumbo. Vellem autem, his inter nos decursis, quid virtus sit ostenderemus, itemque doceri possit necne, consideraremus: ne saepius nos Epimetheus ille sic in disputatione fallat, quemadmodum distribuendo neglexit, ut tu narrabas. Prometheus enim in fabula mihi magis quam Epimetheus placet: cuius exemplo utens, & universae vitae meae promethumenos, id est, prospiciens, haec omnia tracto. Ac si tu velis, id quod ab initio dixi, libentissime de his rebus tecum deliberarem,

ἂν ἥδιςα ταῦτα συνδιασκοποίην. Καὶ ὁ Πρωταγόρας, Ἐγὼ μὲν, ἔφη, ὦ Σώκρατες, ἐπαινῶ σου τὴν προθυμίαν καὶ τὴν διέξοδον τῶν λόγων. καὶ γὰρ οὔτε τἄλλα οἶμαι κακὸς εἶναι c. ἄνθρωπος, φθονερός τε ἥκιςα ἂν ἀνθρώπων. ἐπεὶ καὶ περὶ σοῦ πρὸς πολλοὺς δὴ εἴρηκα, ὅτι ὧν ἐντυγχάνω, πολὺ μάλιςα ἀγαμαί σε, τῶν μὴν τηλικούτων καὶ πάνυ. καὶ λέγω γε ὅτι οὐκ ἂν θαυμάζοιμι εἰ τῶν ἐλλογίμων γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ. καὶ περὶ τούτων δὲ εἰσαῦθις, ὅταν βούλῃ, διέξιμεν· νῦν δ' ὥρα ἤδη καὶ ἐπ' ἄλλό τι τρέπεσθαι. Ἀλλ', ἦν δ' ἐγὼ, p. οὕτω χρὴ ποιεῖν, εἴ σοι δοκεῖ. καὶ γὰρ ἐμοὶ οἵπερ ἔφην ἰέναι 362 πάλαι ὥρα· ἀλλὰ Καλλίᾳ τῷ καλῷ χαριζόμενος παρέμεινα. Ταῦτ' εἰπόντες καὶ ἀκούσαντες, ἀπῆμεν. a.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΑΓΟΡΟΥ.

Tum Protagoras, ſtudium hoc tuum, inquit, o Socrates, ſermonisque curſum laudo. etenim cum cetera, niſi me fallit opinio, a me abſint vitia, invidia certe omnium maxime abeſt. Et de te quidem apud multos ſaepe iam dixi, quod omnium quos convenerim maxime te admirer, aequalium certe prorſus. addo quinetiam, nil mirum mihi fore, ſi ſapientiae ſtudio clarus evadas. Ac de his alias, quandocunque voles, ediſſeremus. Nunc iam hora eſt, ut me ad alia conferam. Ita, inquam, agendum eſt, ſi tibi videtur; quandoquidem & iam pridem tempus erat ut abirem, quo dixi: verumtamen ut Calliae, honeſto adoleſcenti, morem gererem, perſtiti. His dictis atque auditis abivimus.

FINIS PROTAGORAE.

ΙΠΠΙΑΣ

ΙΠΠΙΑΣ

Η

ΠΕΡΙ ΤΟΥ ΨΕΥΔΟΥΣ.

Ἀνατρεπτικός.

HIPPIAS

SIVE

DE MENDACIO.

Ad evertendum comparatus.

ARGUMENTUM.

Peculiaris huius disputationis thesis (generalis enim eadem ac Euthydemi & Protagorae) est De praeposterо Sophistarum in disputando more, & in ipsa materia, & in illius explicandae modo: sicuti instituta quaestione docet Plato. Hippiam enim quendam Sophistam loquentem inducit, nihil non sibi arrogantissime attribuentem, & in Homerica scripta omne ius omnemque auctoritatem sibi vendicantem, ineptas tamen quaestiunculas agitantem. Proponitur quaestio, Uter melior sit, Achilles an Ulysses. Socrates de industria, ut Sophistam irritaret, ait Achillem esse deteriorem Ulysse, & allatis quibusdam rationibus, & collatis ex Homero verbis, nascitur locus De mendacio: in quo varie explicando reliquam sermonis partem occupat. Ita autem agit Socrates, ut adversus inanissimum Sophistam, sophisticas strophas adhibeat, quo propriis armis illum confodiat, suisque laqueis intricet atque irretiat.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΙΠΠΙΟΥ ΕΛΑΤΤΟΝΟΣ
ΠΡΟΣΩΠΑ.

ΕΥΔΙΚΟΣ, ΣΩΚΡΑΤΗΣ, ΙΠΠΙΑΣ.

p. ΣΥ δὲ δὴ τί σιγᾷς, ὦ Σώκρατες, Ἱππίου τοσαῦτα ἐπι-
363 a. δειξαμένου; καὶ οὐχὶ ἤ συνεπαινεῖς τι τῶν εἰρημένων, ἢ καὶ ἐλέγχεις, εἴτι σοὶ μὴ καλῶς δοκεῖ εἰρηκέναι; ἄλλως τε ἐπειδὴ καὶ αὐτοὶ λελείμμεθα, οἳ μάλις' ἂν ἀντιποιησαίμεθα μετεῖναι ἡμῖν τῆς ἐν φιλοσοφίᾳ διατριβῆς. ΣΩ. Καὶ μήν, ὦ Εὔδικε, ἔσι γ' ἃ ἡδέως ἂν πυθοίμην Ἱππίου ὧν νῦν δὴ ἔλεγε
b. περὶ Ὁμήρου. καὶ γὰρ τοῦ σοῦ πατρὸς Ἀπημάντου ἤκουον, ὅτι ἡ Ἰλιὰς κάλλιον εἴη ποίημα τῷ Ὁμήρῳ ἢ ἡ Ὀδύσσεια· τοσούτῳ δὲ κάλλιον, ὅσῳ ἀμείνων Ἀχιλλεὺς Ὀδυσσέως εἴη. ἑκάτερον γὰρ τῶν ποιημάτων, τὸ μὲν, εἰς Ὀδυσσέα ἔφη πεποιῆσθαι, τὸ δ' εἰς Ἀχιλλέα. περὶ ἐκείνου οὖν ἡδέως ἂν (εἰ βουλομένῳ ἐσὶν Ἱππίᾳ) ἀναπυθοίμην, ὅπως αὐτῷ δοκεῖ περὶ τοῖν ἀνδροῖν τούτοιν, πότερον ἀμείνω φησὶν εἶναι. ἐπειδὴ καὶ
c. ἄλλα πολλὰ καὶ παντοδαπὰ ἡμῖν ἐπιδέδεικται, καὶ περὶ ποιη-

DIALOGI PERSONAE

EUDICUS, SOCRATES, HIPPIAS.

TU vero quidnam taces, Socrates, cum tam multa Hippias hic ostenderit? Cur non aut comprobas dictorum aliquid, aut redarguis si quid minus recte dictum tibi videtur? praesertim cum & ipsi inferiores discesserimus, qui nobis non mediocre philosophiae studium vendicamus? *So.* Sunt, Eudice, nonnulla ex his quae circa Homerum dicebat Hippias, de quibus percontari cupio. audivi equidem ex Apemanto patre tuo, Iliadem apud Homerum eo praeclarius poëma esse Odyssea, quo Achilles Ulysse praestantior. in Achillem namque poëma unum, in Ulyssem alterum aiebat esse compositum. De hoc ergo scisciatari ab Hippia, si modo ei placet, affecto, utrum illorum hominum praestantiorem asserat: quandoquidem alia multa ac varia de Homero, ceterisque poëtis, sunt nobis ostensa.

τῶν τε ἄλλων καὶ περὶ Ὁμήρου. ΕΥ. Ἀλλὰ δῆλον ὅτι οὐ φθονήσει Ἱππίας, ἐάν τι αὐτὸν ἐρωτᾷς, ἀποκρίνεσθαι. ἢ γάρ, ὦ Ἱππία, ἐάν τι ἐρωτᾷ σε Σωκράτης, ἀποκρινῇ; ἢ πῶς ποιήσεις; ΙΠ. Καὶ γὰρ ἂν δεινὰ ποιοίην, ὦ Εὔδικε, εἰ Ὀλυμπίαζε μὲν εἰς τὴν τῶν Ἑλλήνων πανήγυριν, ὅταν τὰ Ὀλύμπια ᾖ, ἀεὶ ἐπαγιὼν οἴκοθεν ἐξ Ἤλιδος, εἰς τὸ ἱερὸν παρέχω ἐμαυτὸν, καὶ λέγοντα ὅ, τι ἂν τις βούληται ὧν ἄν μοι εἰς ἐπίδειξιν παρεσκευασμένον ᾖ, καὶ ἀποκρινόμενον τῷ βουλομένῳ ὅ, τι ἄν τις ἐρωτᾷ· νῦν δὲ τὴν Σωκράτους ἐρώτησιν φύγοιμι. ΣΩ. Μακάριόν γε, ὦ Ἱππία, πάθος πέπονθας, εἰ ἑκάσης Ὀλυμπιάδος οὕτως εὔελπις ὢν περὶ τῆς ψυχῆς εἰς σοφίαν, ἀφικνῇ εἰς τὸ ἱερόν· καὶ θαυμάσαιμ' ἄν εἴ τις τῶν περὶ τὸ σῶμα ἀθλητῶν, οὕτως ἀφόβως τε καὶ πιστευτικῶς ἔχων τῷ σώματι ἔρχεται αὐτόσε ἀγωνιούμενος, ὥσπερ σὺ φὴς τῇ διανοίᾳ. ΙΠ. Εἰκότως, ὦ Σώκρατες, ἐγὼ τοῦτο πέπονθα. ἐξ οὗ γὰρ ἤρχμαι Ὀλυμπιάσιν ἀγωνίζεσθαι, οὐδενὶ πώποτε κρείττονι εἰς οὐδὲν ἐμαυτοῦ ἐνέτυχον. ΣΩ. Καλόν γε λέγεις, ὦ Ἱππία, καὶ τῇ Ἠλείων πόλει τῆς σοφίας ἀνάθημα, τὴν

d.

p. 364 a.

b.

Eu. Nulla prorsus invidia prohibebit, quin Hippias interroganti respondeat. Respondebis, necne, Hippia, si quid Socrates quaerat? *Hip.* Haud recte agerem, Eudice, si nunc Socratis interrogationem fugerem, qui solitus sim semper ex Elide patria ad Olympica festa, quo Graeci ad communem celebritatem undique confluunt, me conferre, ipsumque me ibi apud templum praebere, cuique declarantem quodcunque demonstrari quis cupiat, & ad interrogationes singulas respondentem. *So.* O quam felix tibi fors contigit, Hippia, si adeo confisus animi sapientia qualibet Olympiade ad sacrum adventas. Mirarer profecto, si quis circa corporis exercitationem athleta illuc certaturus accederet tam corporis viribus, quam tu mentis subtilitate, confisus. *Hip.* Merito sic affectus sum, Socrates, nam ex eo tempore, quo coepi in Olympicis exerceri, neminem reperi adhuc me aliqua in re superiorem. *So.* Praeclarum hercle quod ais, Hippia: atque haec gloria tua & Elaeo-

δόξαν εἶναι τὴν σὴν, καὶ τοῖς γονεῦσι τοῖς σοῖς. ἀτὰρ τί δὴ λέγεις ἡμῖν περὶ τοῦ Ἀχιλλέως τε καὶ τοῦ Ὀδυσσέως; πότερον ἀμείνω καὶ κατὰ τί φὴς εἶναι; ἡνίκα μὲν γὰρ πολλοὶ ἔνδον ἦμεν, καὶ σὺ τὴν ἐπίδειξιν ἐποιοῦ, ἐπελείφθην σοῦ τῶν λεγομένων. ὤκνουν γὰρ ἐπανέρεσθαι, διότι ὄχλος τε πολὺς ἔνδον ἦν, καὶ μή σοι ἐμποδὼν εἴην ἐρωτῶν τῇ ἐπιδείξει. νυνὶ δὲ ἐπειδὴ ἐλάττους τε ἐσμὲν, καὶ Εὔδικος ὅδε κελεύει ἔρεσθαι,
c. εἰπέ τε καὶ δίδαξον ἡμᾶς σαφῶς τί ἔλεγες περὶ τούτοιν τοῖν ἀνδροῖν, πῶς διέκρινες αὐτούς. ΙΠ. Ἀλλ' ἐγώ σοι, ὦ Σώκρατες, ἐθέλω ἔτι σαφέστερον ἢ τότε διελθεῖν ἃ λέγω καὶ περὶ τούτων καὶ περὶ ἄλλων. φημὶ γὰρ Ὅμηρον πεποιηκέναι ἄριστον μὲν ἄνδρα Ἀχιλλέα τῶν εἰς Τροίαν ἀφικομένων· σοφώτατον δὲ, Νέστορα· πολυτροπώτατον δὲ, Ὀδυσσέα. ΣΩ. Βαβαὶ, ὦ Ἱππία, ἆρ' ἄν τι μοὶ χαρίσαιο τοιόνδε, μή μου κατα-
γελᾶν ἐὰν μόλις μανθάνω τὰ λεγόμενα, καὶ πολλάκις
d. ἀνερωτῶ. ἀλλά μοι πειρῶ πράως τε καὶ εὐκόλως ἀποκρίνεσθαι. ΙΠ. Αἰσχρὸν γὰρ ἂν εἴη, ὦ Σώκρατες, εἰ ἄλλους μὲν

rum civitati, & parentibus, erit quoddam ſapientiae monimentum. Verum quidnam de Achille & Ulyſſe iudicas? utrum horum praeſtantiorem & qua in re putas? quando enim multi intus eſſemus, tuque diſſereres, quaedam me verba ſubterfugerunt. piguit enim perquirere, tum quia turba erat intus plurima, tum etiam ne orationi tuae impedimento forem. Nunc vero poſtquam pauciores ſumus, & Eudicus hic quaerere iubet, liquidius nobis oſtende quod de his viris dicebas, quove pacto diiudicabas. *Hip.* Volo equidem, Socrates, apertius quam tunc in praeſentia referre, quae de his & de aliis ſentio. Homerum aſſero omnium qui ad Troiam pervenerunt, optimum virum finxiſſe Achillem, ſapientiſſimum Neſtorem, apprime verſutum multiformemque Ulyſſem. *So.* Papae, o Hippia! an mihi in hoc gratificaberis, ne me videlicet rideas, ſi ad percipiendum tardior fuero, ac ſaepius requiſivero? Dignare mihi, obſecro, libenter ac facile reſpondere. *Hip.* Turpe quidem eſſet, o Socrates, cum alios eadem doceam, & pro iis

αὐτὰ ταῦτα παιδεύω, καὶ ἀξιῶ διὰ ταῦτα χρήματα λαμβάνειν· αὐτὸς δὲ ὑπὸ σοῦ ἐρωτώμενος, μὴ συγγνώμην τ' ἔχοιμι, καὶ πρᾴως ἀποκρινοίμην. ΣΩ. Πάνυ καλῶς λέγεις. ἐγὼ γάρ τοι ἡνίκα μὲν ἄριστον τὸν Ἀχιλλέα ἔφησθα πεποιῆσθαι, ἐδόκουν σου μανθάνειν ὅ, τι ἔλεγες, καὶ ἡνίκα τὸν Νέστορα σοφώτατον· ἐπειδὴ δὲ τὸν Ὀδυσσέα εἶπες ὅτι πεποιηκὼς εἴη ὁ ποιητὴς πολυτροπώτατον, τοῦτο δ', ὥσγε πρός σε τἀληθῆ εἰρῆσθαι, παντάπασιν οὐκ οἶδ' ὅ, τι λέγεις. καί μοι εἰπὲ, ἄν τι ἐνθένδε μᾶλλον μάθω· ὁ Ἀχιλλεὺς οὐ πολύτροπος τῷ Ὁμήρῳ πεποίηται; ΙΠ. Ἥκιστά γε, ὦ Σώκρατες· ἀλλ' ἁπλούστατος. ἐπεὶ καὶ ἐν λιταῖς ἡνίκα πρὸς ἀλλήλους ποιεῖ αὐτοὺς διαλεγομένους, λέγει αὐτῷ ὁ Ἀχιλλεὺς πρὸς τὸν Ὀδυσσέα, e.

Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ, p.
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν, 365
Ὥσπερ δὴ φρονέω τε, καὶ ὡς τελέεσθαι ὀΐω. a.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,

pecunias exigam, si tibi quaerenti non indulgerem, nec laeto animo responderem. *So.* Praeclare admodum loqueris. Equidem cum optimum virum Achillem fictum fuisse dicebas, sapientissimum Nestorem, visus mihi sum quod diceres intelligere: cum vero Ulyssem versutum & multiformem, ut verum fatear, quid significare velles, non intellexi. Atque mihi dicas (forte enim hinc magis percipiam) numquid & Achilles ab Homero multiformis versutusque inductus fuerit, necne. *Hip.* Minime, o Socrates, sed simplex omnino. quandoquidem in supplicationibus ipsis cum eos disceptantes inducit, ita adversus Ulyssem loquentem facit Achillem,

O multum generose doli fabricator Ulysses,
Convenit intrepide me vestra refellere dicta,
Ut fieri debere puto: fallacibus ipsum
Ne me sedentes hinc obtundatis & illinc.
Is magis est quoniam quam nigri ianua Ditis
Infensus nobis, aliud qui pectore claudit,

b. Ὃς γ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ·
Αὐτὰρ ἐγὼν ἐρέω, ὡς καὶ τετελεσμένον ἔσται.

Ἐν τούτοις δηλοῖ τοῖς ἔπεσι τὸν τρόπον ἑκατέρου τοῦ ἀνδρός· ὡς ὁ μὲν Ἀχιλλεὺς εἴη ἀληθής τε καὶ ἁπλοῦς· ὁ δὲ Ὀδυσσεὺς, πολύτροπός τε καὶ ψευδής. ποιεῖ γὰρ τὸν Ἀχιλλέα εἰς τὸν Ὀδυσσέα λέγοντα ταῦτα τὰ ἔπη. ΣΩ. Νῦν δὴ, ὦ Ἱππία, κινδυνεύω μανθάνειν ὃ λέγεις. τὸν πολύτροπον, ψευδῆ
c. λέγεις, ὡς γε φαίνεται. ΙΠ. Μάλιστα, ὦ Σώκρατες. τοιοῦτον γὰρ πεποίηκε τὸν Ὀδυσσέα Ὅμηρος πολλαχοῦ καὶ ἐν Ἰλιάδι καὶ ἐν Ὀδυσσείᾳ. ΣΩ. Ἐοίκει ἄρα, ὡς ἔοικεν, Ὁμήρῳ ἕτερος μὲν εἶναι ἀνὴρ ἀληθὴς, ἕτερος δὲ, ψευδής· ἀλλ' οὐχ ὁ αὐτός. ΙΠ. Πῶς γὰρ οὐ μέλλει, ὦ Σώκρατες; ΣΩ. Ἦ καί σοι δοκεῖ αὐτῷ, ὦ Ἱππία; ΙΠ. Πάντων μάλιστα. καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ μή. ΣΩ. Τὸν μὲν Ὅμηρον τοίνυν ἐάσωμεν· ἐπειδὴ καὶ ἀδύνατον ἐπανέρεσθαί τι ποτε νοῶν ταῦτα
d. ἐποίησε τὰ ἔπη· σὺ δ' ἐπειδὴ φαίνῃ ἀναδεχόμενος τὴν αἰτίαν, καί σοι συνδοκεῖ ταῦτα ἅπερ φῂς Ὅμηρον λέγειν, ἀπόκριναι

Inde palam profert aliud quodcunque videtur.
Aſt ego nunc dicam, credo velut eſſe futurum.

His in carminibus mores utriusque declarat; Achillem eſſe veracem atque ſimplicem, Ulyſſem verſutum atque mendacem. haec ſiquidem apud eum Achilles adverſus Ulyſſem infert. *So.* Videor iam quod ais, o Hippia, intelligere. verſutum enim mendacem vocas, ut apparet. *Hip.* Maxime quidem, o Socrates. talem enim Ulyſſem ſaepe & in Iliade, & in Odyſſea fingit Homerus. *So.* Ergo exiſtimavit Homerus, alium quidem eſſe veracem virum, alium vero mendacem: neque utrumque eundem eſſe. *Hip.* Quid prohibet, Socrates? *So.* An idem & ipſe cenſes, Hippias? *Hip.* Maxime omnium. nimis enim errarem, ſi aliter ipſe ſentirem. *So.* Homerum quidem igitur mittamus, cum ab eo ſciſcitari non liceat, quae eius fuerit in condendis his carminibus ſententia. Poſtquam vero tu cauſam ſuſcipis, tibique ea videntur, quae dicere Homerum aſſeris, pro Homero ſimul ac teipſo reſponde. *Hip.*

κοινῇ ὑπὲρ Ὁμήρου τε καὶ σαυτοῦ. ΙΠ. Ἔξαι ταῦτα. ἀλλ' ἐρώτα ἔμβραχυ ὅ, τι βούλει. ΣΩ. Τοὺς ψευδεῖς λέγεις οἷον ἀδυνάτους τὶ ποιεῖν, ὥσπερ τοὺς κάμνοντας; ἢ δυνατοὺς τὶ ποιεῖν; ΙΠ. Δυνατοὺς ἔγωγε καὶ μάλα σφόδρα, ἄλλά τε πολλὰ καὶ ἐξαπατᾶν ἀνθρώπους. ΣΩ. Δυνατοὶ μὲν δὴ, ὡς ἔοικεν, εἰσὶ κατὰ τὸν σὸν λόγον καὶ πολύτροποι. ἦ γάρ; ΙΠ. e.
Ναί. ΣΩ. Πολύτροποι δ' εἰσὶ καὶ ἀπατεῶνες ὑπὸ ἠλιθιότητος καὶ ἀφροσύνης; ἢ ὑπὸ πανουργίας καὶ φρονήσεως τινός; ΙΠ. Ὑπὸ πανουργίας πάντων μάλιςα καὶ φρονήσεως. ΣΩ. Φρόνιμοι μὲν ἄρα εἰσὶν, ὡς ἔοικε. ΙΠ. Ναὶ μὰ Δία, λιαν γε. ΣΩ. Φρόνιμοι δὲ ὄντες οὐκ ἐπίςανται ὅ, τι ποιοῦσιν; ἢ ἐπίςανται; ΙΠ. Καὶ μάλα καὶ σφόδρα ἐπίςανται· διὰ τοῦτο καὶ κακουργοῦσι. ΣΩ. Ἐπιςάμενοι δὲ ταῦτα ἃ ἐπίςανται, πότερον ἀμαθεῖς εἰσιν ἢ σοφοί; ΙΠ. Σοφοὶ μὲν οὖν αὐτά γε ταῦτα ἐξαπατᾶν, ΣΩ. Ἔχε δή· ἀναμνησθῶμεν τί ἐςιν ὃ P.
λέγεις. τοὺς ψευδεῖς φῂς εἶναι δυνατοὺς καὶ φρονίμους καὶ 366
ἐπιςήμονας καὶ σοφοὺς, εἰς ἅπερ ψευδεῖς; ΙΠ. Φημὶ γὰρ a.

Fiet. interroga paucis quod lubet. *So.* Mendaceſne vocas illos qui facere aliquid nequeant, ut invalidos defeſſoſve? an eos qui facere aliquid poſſint? *Hip.* Potentes, & maxime quidem, cum in aliis multis, tum etiam in decipiendis hominibus. *So.* Potentes itaque ſunt, ſecundum ſermonem tuum, atque verſuti, nonne? *Hip.* Certe. *So.* Verſuti vero ſunt & ſubdoli ſtoliditate quadam & imprudentia? an aſtutia potius atque prudentia? *Hip.* Aſtutia maxime omnium atque prudentia. *So.* Prudentes ergo ſunt, ut videtur. *Hip.* Valde, per Iovem. *So.* Prudentes vero cum ſint, ignorantne quod faciunt, an ſciunt? *Hip.* Immo vel maxime ſciunt. nam ob hoc alios ſeducunt. *So.* Cum ergo ſcientes ſint harum rerum quas ſciunt, utrum inſipientes ſunt, an potius ſapientes? *Hip.* Sapientes videlicet in his ipſis ad decipiendum. *So.* Siſte, obſecro: repetamus dicta, ut quid dicas, inſpiciamus. Mendaces eſſe ais potentes prudentesque, ſcientes item & ſapientes circa illa de quibus mendaces? *Hip.* Aio. *So.* Alios autem veraces eſſe,

οὖν. ΣΩ. Ἄλλους δὲ, τοὺς ἀληθεῖς τε καὶ ψευδεῖς, καὶ ἐναντιωτάτους ἀλλήλοις; ΙΠ. Λέγω ταῦτα. ΣΩ. Φέρε δή· τῶν μὲν δυνατῶν τινὲς καὶ σοφῶν, ὡς ἔοικεν, εἰσὶν οἱ ψευδεῖς, κατὰ τὸν σὸν λόγον. ΙΠ. Μάλιστά γε. ΣΩ. Ὅταν δὴ λέ-
b. γῃς δυνατοὺς καὶ σοφοὺς εἶναι τοὺς ψευδεῖς εἰς αὐτὰ ταῦτα, πότερον λέγεις δυνατοὺς εἶναι ψεύδεσθαι ἐὰν βούλωνται, ἢ ἀδυνάτους εἰς ταῦτα ἅπερ ψεύδονται; ΙΠ. Δυνατοὺς ἔγωγε. ΣΩ. Ὡς ἐν κεφαλαίῳ ἄρα εἰρῆσθαι, οἱ ψευδεῖς εἰσὶ σοφοί τε καὶ δυνατοὶ ψεύδεσθαι. ΙΠ. Ναί. ΣΩ. Ἀδύνατος ἄρα ψεύδεσθαι ἀνὴρ καὶ ἀμαθὴς, οὐκ ἂν εἴη ψευδής. ΙΠ. Ἔχει οὕτω. ΣΩ. Δυνατὸς δ' ἐστὶν ἕκαστος ἄρα ὃς ἂν ποιῇ τότε ὃ
c. ἂν βουληται, ὅταν βουληται· οὐχ ὑπὸ νόσου, λέγω, ἐξειργόμενος, οὐδὲ τῶν τοιούτων· ἀλλὰ ὥσπερ σὺ δυνατὸς εἶ γράψαι τοὐμὸν ὄνομα, ὅταν βούλῃ, οὕτω λέγω. ἆρ' οὐχ ὃς ἂν οὕτως ἔχοι, καλεῖς σὺ δυνατόν; ΙΠ. Ναί. ΣΩ. Λέγε δή μοι, ὦ Ἱππία, οὐ σὺ μέντοι ἔμπειρος εἶ λογισμῶν καὶ λογιστικῆς; ΙΠ. Πάντων μάλιστα, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν εἴ καί τις σε ἔροιτο, τὰ τρὶς ἑπτακόσια, ὁπόσος ἐστὶν ἀριθμὸς, εἰ βού-

alios contra mendaces, atque hos inter se longe contrarios? *Hip.* Aio & ista. *So.* Ex hoc ergo sequitur, ut mendaces ex potentium sapientiumque numero sint. *Hip.* Maxime. *So.* Cum vero dicis potentes & sapientes esse mendaces ipsos ad eadem, utrum dicis potentes esse ad mentiendum si velint, vel impotentes ad ea quae mentiuntur? *Hip.* Potentes equidem. *So.* Ut ergo summatim dicamus, mendaces sunt qui ad mentiendum potentes sapientesque sunt. *Hip.* Plane. *So.* Ergo qui vir mentiri nequit, neque scit quidquam, non erit mendax. *Hip.* Sic est. *So.* Potens autem est qui facit quod vult, & quando vult. haud morbo vel quibusdam talibus impeditum inquam; verum quemadmodum tu meum nomen, quotiescunque vis, scribere potes, ita nunc interrogo. an non hominem sic affectum, potentem vocas? *Hip.* Sane. *So.* Dic vero, o Hippia, nonne es numerandi computandique peritus? *Hip.* Maxime omnium. *So.* Si quis ergo te percontetur, ter septingenta quan-

λοιο, πάντων τάχιστα καὶ μάλιστα ἂν εἴπῃς τἀληθῆ περὶ τού- d.
του; ΙΠ. Πάνυ γε. ΣΩ. Ἆρα ὅτι δυνατώτατός τε εἶ καὶ
σοφώτατος κατὰ ταῦτα; ΙΠ. Ναί. ΣΩ. Πότερον οὖν σο-
φώτατός τε εἶ καὶ δυνατώτατος μόνον, ἢ καὶ ἄριστος ταῦτα
ἅπερ δυνατώτατός τε καὶ σοφώτατος, τὰ λογιστικά; ΙΠ. Καὶ
ἄριστος δήπου, ὦ Σώκρατες. ΣΩ. Τὰ μὲν δὴ ἀληθῆ σὺ ἂν
δυνατώτατα εἴποις περὶ τούτων. ἦ γάρ; ΙΠ. Οἶμαι ἔγωγε.
ΣΩ. Τί δέ; τὰ ψευδῆ περὶ τῶν αὐτῶν τούτων; καί μοι, e.
ὥσπερ τὰ πρότερα, γενναίως καὶ μεγαλοπρεπῶς ἀπόκριναι,
ὦ Ἱππία. εἴτις σε ἔροιτο, τὰ τρὶς ἑπτακόσια πόσα ἐστί, πότε-
ρον σὺ ἂν μάλιστα ψεῦδοιο, καὶ ἀεὶ κατὰ ταυτὰ ψευδῆ λέ-
γοις περὶ τούτων, βουλόμενος ψεύδεσθαι, καὶ μηδέποτε ἀληθῆ
ἀποκρίνεσθαι· ἢ ὁ ἀμαθὴς εἰς λογισμοὺς δύναιτ' ἂν σου μᾶλ-
λον ψεύδεσθαι βουλομένου; ἢ ὁ μὲν ἀμαθὴς πολλάκις ἂν p.
βουλόμενος ψευδῆ λέγειν, τἀληθῆ ἂν εἴποι ἄκων, εἰ τύχοι, 367
διὰ τὸ μὴ εἰδέναι· σὺ δὲ ὁ σοφὸς, εἴπερ βούλοιο ψεύδεσθαι, a.
ἀεὶ ἂν κατὰ τὰ αὐτὰ ψεύδοιο; ΙΠ. Ναί· οὕτως ἔχει ὡς σὺ

tum compleant numerum, nonne, modo velis, omnium quam ociſſime atque maxime de his reſpondebis? *Hip.* Prorſus. *So.* Numquid ex eo quod circa iſta potentiſſimus & ſapientiſſimus es? *Hip.* Nempe. *So.* Utrum ſapientiſſimus es ac potentiſſimus dumtaxat? an etiam circa eadem optimus, circa quae ſapientia & potentia praeſtas, hoc eſt, in numeris computandis? *Hip.* Et optimus inſuper, Socrates. *So.* Vera itaque de his prae ceteris maxime dicere poſſes? an non? *Hip.* Reor equidem. *So.* An & falſa circa eadem? Age nunc, Hippia, ut & ſupra, generoſe magnificeque reſponde. Si quis quaerat, ter ſeptingenta quot ſunt, tunc magis de his mentiere, ſemperque ſecundum eadem falſa de his pronuntiabis, mentiri, & nunquam vera proferre volens? an qui numerorum ignarus eſt, poterit magis mentiri quam tu, etiamſi mentiri voles? an contra potius ignorans ſaepe dum volet falſa proferre, vera forte praeter ſententiam proferet, quia rem ipſam ignoret: tu vero quum ſapiens ſis, ſemper dum mentiri voles, ſimiliter

λέγεις. ΣΩ. Ὁ ψευδὴς οὖν πότερα περὶ μὲν τἄλλα ψευδής ἐστιν, οὐ μέντοι περὶ ἀριθμόν; οὐδὲ ἀριθμῶν ἂν ψεύσαιτο; ΙΠ. Καὶ ναὶ μὰ Δία περὶ ἀριθμόν. ΣΩ. Θῶμεν ἄρα καὶ τοῦτο, ὦ Ἱππία, περὶ λογισμόν τε καὶ ἀριθμὸν εἶναί τινα ἄνθρωπον
b. ψευδῆ. ΙΠ. Ναί. ΣΩ. Τίς οὖν ἂν εἴη οὗτος; οὐχὶ δεῖ ὑπάρχειν αὐτῷ, εἴπερ μέλλει ψευδὴς ἔσεσθαι, ὡς σὺ ἄρτι ὡμολόγεις, δυνατὸν εἶναι ψεύδεσθαι; ὁ γὰρ ἀδύνατος ψεύδεσθαι, εἰ μέμνησαι, ὑπὸ σοῦ ἐλέγετο ὅτι οὐκ ἄν ποτε ψευδὴς γένοιτο. ΙΠ. Ἀλλὰ μέμνημαι, καὶ ἐλέχθη οὕτως. ΣΩ. Οὐκοῦν ἄρτι ἐφάνης σὺ δυνατώτατος ὢν ψεύδεσθαι περὶ λογισμόν; ΙΠ. Ναὶ ἐλέχθη γέ τοι καὶ τοῦτο. ΣΩ. Ἆρ' οὖν καὶ δυνα-
c. τώτατος εἶ ἀληθῆ λέγειν περὶ λογισμῶν; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ὁ αὐτὸς ψευδῆ καὶ ἀληθῆ λέγειν περὶ λογισμῶν δυνατώτατος; οὗτος δ' ἐστὶν ὁ ἀγαθὸς περὶ τούτων, ὁ λογιστικός; ΙΠ. Ναί. ΣΩ. Τίς οὖν ψευδὴς περὶ λογισμῶν γίγνεται, ὦ Ἱππία, ἄλλος, ἢ ὁ ἀγαθός; ὁ αὐτὸς γὰρ καὶ δυνατός· οὗτος δὲ καὶ ἀληθής. ΙΠ. Φαίνεται. ΣΩ. Ὁρᾷς οὖν ὅτι ὁ αὐτὸς

mentieris? *Hip.* Est ut dicis. *So.* Mendax itaque utrum circa alia mendax est, non tamen circa numeros; neque de numero mentietur? *Hip.* Immo & circa numeros. *So.* Ponamus igitur hoc, Hippia, circa computationem ac numerum aliquem esse mendacem. *Hip.* Certe. *So.* Quis igitur hic erit? necesse est ut mentiri possit, ut ipse dicebas, si mendax futurus est. Nempe abs te dictum est, si recordaris, eum qui mentiri nequeat, non esse mendacem. *Hip.* Recordor equidem, atque ita dictum. *So.* Nonne paulo ante constitit, te esse ad mentiendum in computandis numeris potentissimum? *Hip.* Ita dictum fuit & istud. *So.* Num & quam maxime es ad vera proferenda de numeris iisdem potens? *Hip.* Valde. *So.* Idem ergo potest maxime in computando vera loqui, atque mentiri. is autem est qui bonus est in numeris, videlicet computator. *Hip.* Sic omnino. *So.* Quis igitur alius, Hippia, in computando sit mendax, nisi qui ad idem bonus? hic enim potens, hic & verax. *Hip.* Apparet. *So.* Vides igitur, eundem veracem esse in his

ψευδής τε καὶ ἀληθὴς περὶ τούτων; καὶ οὐδὲν ἀμείνων ὁ ἀληθὴς τοῦ ψευδοῦς; ὁ αὐτὸς γὰρ δή που ἐξὶ, καὶ οὐκ ἐναντιότητα ἔχει, ὥσπερ σὺ ὄρτι. ΙΙΙ. Οὐ φαίνεται ἐνταῦθά γε. ΣΩ. Βούλει οὖν σκεψώμεθα καὶ ἄλλοθι; ΙΙΙ. Εἰ ἄλλως γε σὺ βουλει. ΣΩ. Οὐκοῦν καὶ γεωμετρίας ἔμπειρος εἶ; ΙΙΙ. Ἔγωγε. ΣΩ. Τί οὖν; οὐ καὶ ἐν γεωμετρίᾳ οὕτως ἔχει; ὁ αὐτὸς δυνατώτατος ψεύδεσθαι καὶ ἀληθῆ λέγειν περὶ τῶν διαγραμμάτων, ὁ γεωμετρικός; ΙΙΙ. Ναί. ΣΩ. Περὶ ταῦτα οὖν ἀγαθὸς ἄλλός τις, ἢ οὗτος; ΙΙΙ. Οὐκ ἄλλος. ΣΩ. Οὐκοῦν ὁ ἀγαθὸς καὶ σοφὸς γεωμέτρης, δυνατώτατός γε ἀμφότερα. καὶ εἴπέρ τις ἄλλος ψευδὴς περὶ διαγράμματα, οὗτος ἂν εἴη, ὁ ἀγαθός. οὗτος γὰρ δυνατός. ὁ δὲ κακὸς, ἀδύνατος ἦν ψεύδεσθαι. ὥστε οὐκ ἂν γένοιτο ψευδὴς ὁ μὴ δυνάμενος ψεύδεσθαι, ὡς ὡμολόγηται; ΙΙΙ. Ἔξι ταῦτα. ΣΩ. Ἔτι τοίνυν καὶ τὸν τρίτον ἐπισκεψώμεθα, τὸν ἀστρονόμον· ἧς αὖ σὺ τέχνης ἔτι μᾶλλον ἐπιστήμων οἴει εἶναι, ἢ τῶν ἔμπροσθεν. ἢ γὰρ, ὦ Ἱππία; ΙΙΙ. Ναί. ΣΩ. Οὐκοῦν καὶ ἐν ἀστρονομίᾳ ταυτὰ ταῦτά ἐξιν. ΙΙΙ. Εἰκός γε, ὦ Σώκρατες. ΣΩ. Καὶ ἐν

d.

e.

p. 368 a.

atque mendacem, & nihilo meliorem mendace ipso veracem esse. iidem namque sunt, neque valde contrarii, ut tu nuper existimabas. *Hip.* Haud certe nunc in his apparet. *So.* Visne in aliis quoque consideremus? *Hip.* Ut lubet. *So.* Nonne es & geometriae peritus? *Hip.* Sum. *So.* An non idem in geometria contingit? idem falsa quam maxime de figuris pronuntiare potest, qui & vera. est autem is geometra. *Hip.* Profecto. *So.* An alius ad haec praeter hunc bonus? *Hip.* Non alius. *So.* Nonne bonus ac sapiens geometra utraque potest? & si quis alius in figuris mendax, is maxime qui in iisdem est bonus. hic siquidem potens. malus autem ad mentiendum impotens: neque unquam fit mendax qui est impotens mentiendi, ut est concessum. *Hip.* Sunt haec. *So.* Tertium insuper inspiciamus astronomum: quam ipse artem magis etiam quam superiores soles, Hippia, profiteri. sicne? *Hip.* Sic certe. *So.* An non eadem in Astronomia contingunt? *Hip.*

ἀστρονομίᾳ ἄρα εἴπέρ τις καὶ ἄλλος ψευδὴς, ὁ ἀγαθὸς ἀστρονόμος ψευδὴς ἔσαι, ὁ δυνατὸς ψεύδεσθαι. οὐ γὰρ ὅγε ἀδύνατος. ἀμαθὴς γάρ. ΙΠ. Φαίνεται οὕτως. ΣΩ. Ὁ αὐτὸς ἄρα καὶ ἐν ἀστρονομίᾳ ἀληθής τε καὶ ψευδὴς ἔσαι. ΙΠ. Ἔοικεν. ΣΩ. Ἴθι δὴ, ὦ Ἱππία, ἀνέδην οὑτωσὶ ἐπίσκεψαι κατὰ πασῶν
b. τῶν ἐπιστημῶν, εἴπου ἔστιν ἄλλως ἔχον ἢ οὕτως. πάντως δὲ πλείστας τέχνας πάντων σοφώτατος εἶ ἀνθρώπων· ὡς ἐγώ ποτέ σου ἤκουον μεγαλαυχουμένου πολλὴν σοφίαν καὶ ζηλωτὴν σαυτοῦ, διεξιόντος ἐν ἀγορᾷ ἐπὶ ταῖς τραπέζαις. ἔφησθα δὲ ἀφικέσθαι ποτὲ εἰς Ὄλυμπίαν, ἃ εἶχες περὶ τὸ σῶμα ἅπαντα, σαυτοῦ ἔργα ἔχων. πρῶτον μὲν, δακτύλιον (ἐντεῦθεν γὰρ ἤρχου) ὃν εἶχες, σαυτοῦ ἔχειν ἔργον· ὡς ἐπιστάμενος
c. δακτυλίους γλύφειν. καὶ ἄλλην σφραγῖδα, σὸν ἔργον, καὶ στλεγγίδα, καὶ λήκυθον, ἃ αὐτὸς εἰργάσω. ἔπειτα, ὑποδήματα ἃ εἶχες, ἔφησθα αὐτὸς σκυτοτομῆσαι, καὶ τὸ ἱμάτιον ὑφῆναι, καὶ τὸν χιτωνίσκον· καὶ (ὅ γε πᾶσιν ἔδοξεν ἀτοπώτατον, καὶ σοφίας πλείστης ἐπίδειγμα) ἐπειδὴ τὴν ζώνην ἔφησθα τοῦ

Conſentaneum eſt, o Socrates. *So.* Quare & in aſtronomia ſi quis alius mendax, is erit maxime, qui bonus aſtronomus: is namque mentiri ſummopere poteſt. neque enim qui impotens eſt: is enim inſcius eſt. *Hip.* Sic apparet. *So.* Idem ergo & in aſtronomia verax erit & mendax. *Hip.* Videtur. *So.* Age, Hippia, paſſim ita per omnes ſcientias cogita, num ita ſit, an aliter. nam ante alios omnes plurimis artibus es ornatus: quemadmodum ego te quandoque iactantem audivi, quod ſapientia multa exoptandaque prae ceteris abundares, & in foro inter menſas diſputando deambulantem; quum diceres, te quondam Olympiam adiiſſe, & omnia quae habebas, corporis ornamenta propriis manibus confeciſſe. Primo quidem anulum quem habebas, (hinc enim coepiſti,) tuum fuiſſe opus: quaſi eſſes ſculpendi peritus. quinetiam ſigillum quoddam tuum opus, & ſtrigilem, & vaſculum unguentarium ſimiliter opus tuum: ſoccos quinetiam tuis conſutos manibus, pallium, & interulam abs te contextam. quodque admodum

χιτωνίσκου ἦν εἶχες, εἶναι μὲν οἷαι αἱ Περσικαὶ τῶν πολυτελῶν, ταύτην δὲ αὐτὸς πλέξαι. πρὸς δὲ τούτοις ποιήματα ἔχων ἐλθεῖν, καὶ ἔπη καὶ τραγῳδίας, καὶ διθυράμβους, καὶ κατα- d. λογάδην πολλοὺς λόγους καὶ παντοδαποὺς συγκειμένους. καὶ περὶ τῶν τεχνῶν δὴ ὧν ἄρτι ἐγὼ ἔλεγον ἐπιςήμων ἀφικέσθαι διαφερόντως τῶν ἄλλων, καὶ περὶ ῥυθμῶν καὶ ἁρμονιῶν καὶ γραμμάτων ὀρθότητος· καὶ ἄλλα ἔτι πρὸς τούτοις πάνυ πολλά, ὡς ἐγὼ δοκῶ μνημονεύειν. καίτοι τό γε μνημονικὸν ἐπελαθόμην σου, ὡς ἔοικε, τέχνημα, ἐν ᾧ σὺ οἴει λαμπρότατος εἶναι. οἶμαι δὲ καὶ ἄλλα πάμπολλα ἐπιλελῆσθαι. ἀλλ' ὅπερ ἐγὼ λέγω, καὶ εἰς τὰς σαυτοῦ βλέψας τέχνας, ἱκαναὶ δὲ, e. καὶ εἰς τὰς τῶν ἄλλων, εἰπέ μοι ἐάν που εὕρῃς ἐκ τῶν ὡμολογημένων ἐμοί τε καὶ σοι, ὅπου ἔξιν, ὁ μὲν, ἀληθὴς, ὁ δὲ, ψευδὴς, χωρὶς, καὶ οὐχ ὁ αὐτός. ἐν ᾗ τινι βούλει σοφίᾳ τοῦτο σκέψαι, ἢ πανουργίᾳ, ἢ ὁτιοῦν χαίρεις ὀνομάζων. ἀλλ' οὐχ p. εὑρήσεις, ὦ ἑταῖρε. οὐ γάρ ἐςιν. ἐπεὶ σὺ εἰπέ. III. Ἀλλ' οὐκ 69 ἔχω, ὦ Σώκρατες, νῦν γε οὕτω. ΣΩ. Οὐδὲ γε ἐξεις, ὡς ἐγὼ a.

mirabile visum est, & singularis sapientiae indicium, cingulum dicebas ostendisse te opus tuum, Persicis pretiosisque simile. Item tua quaedam poëmata, epicos versus, tragoedias, dithyrambos, & orationes plurimas variasque, liberioribus numeris compositas. praeterea te illa, quae in superioribus commemorabam, ante alios omnes tenere: & in rhythmis harmoniisque, & recta ratione literarum, ac in ceteris generis huius permultis, si recte recordor, excellere. At vero praetermiseram tuae memoriae artificium, quo pollere mirum in modum mihi videris. forte vero & alia multa sum oblitus. Verum quod dixi, & in tuas (quae multae nimis sunt) & in aliorum artes respiciens, dic age, si repereris unquam, ex his quae inter nos concessa fuerunt, a mendace veracem esse diversum, neque eundem exsistere. In qualibet autem sapientia calliditateve, vel quomodocunque appellare iuvat, quaere. sed nunquam, o amice, invenies. neque enim est usquam. quod si est alicubi, dicas. *Hip.* Haud in praesentia invenio, Socrates. *So.* Neque

οἶμαι. εἰ δ' ἐγὼ ἀληθῆ λέγω, μέμνησαι ὃ ἡμῖν συμβαίνει ἐκ τοῦ λόγου, ὦ Ἱππια. ΙΠ. Οὐ πάνυ τι ἐνοῶ, ὦ Σώκρατες, ὃ λέγεις. ΣΩ. Νυνὶ γὰρ ἴσως οὐ χρῇ τῷ μνημονικῷ τεχνήματι· δῆλον γὰρ ὅτι οὐκ οἴει δεῖν. ἀλλ' ἐγώ σε ὑπομνήσω. οἶσθα ὅτι τὸν μὲν Ἀχιλλέα ἔφησθα ἀληθῆ εἶναι, τὸν δὲ
b. Ὀδυσσέα, ψευδῆ καὶ πολυτροπον; ΙΠ. Ναί. ΣΩ. Νῦν οὖν αἰσθάνῃ ὅτι ἀναπέφανται ὁ αὐτὸς ὢν ψευδής τε καὶ ἀληθής; ὥστε εἰ ψευδὴς ὁ Ὀδυσσεὺς ἦν, καὶ ἀληθὴς γίγνεται· καὶ εἰ ἀληθὴς ὁ Ἀχιλλεύς, καὶ ψευδής. καὶ οὐ διάφοροι ἀλλήλων οἱ ἄνδρες οὐδ' ἐναντίοι, ἀλλ' ὅμοιοι. ΙΠ. Ὦ Σώκρατες, ἀεὶ σύ τινας τοιούτους πλέκεις λόγους· καὶ ἀπολαμβάνων ὃ ἂν ᾖ δυσχερέστατον τοῦ λόγου, τούτου ἔχῃ, κατὰ σμικρὸν ἐφαπ-
c. τόμενος· καὶ οὐχ ὅλῳ ἀγωνίζῃ τῷ πράγματι περὶ ὅτου ἂν ὁ λόγος ᾖ. ἐπεὶ καὶ νῦν, ἐὰν βούλῃ, ἐπὶ πολλῶν τεκμηρίων ἀποδείξω σοι ἱκανῷ λόγῳ, Ὅμηρον Ἀχιλλέα πεποιηκέναι ἀμείνω Ὀδυσσέως καὶ ἀψευδῆ· τὸν δὲ, δολερόν τε καὶ πολλὰ ψευ-

invenies posthac, ut arbitror. Si autem vera loquor, recordare, Hippia, quid ex superioribus sequatur. *Hip.* Non satis adverto quod loqueris, Socrates. *So.* Nihil opus est in praesentia memoriae artificio. patet enim quod non putas oportere: sed ego tibi in memoriam reducam. Recordaris dixisse te, Achillem virum fuisse veridicum, Ulyssem vero mendacem atque versutum? *Hip.* Utique. *So.* Nunc autem sentis, eundem apparuisse veracem esse atque mendacem. ideoque si mendax erat Ulysses, erat & verax: item si veridicus Achilles, erat & mendax: neque differentes hi viri invicem, neque contrarii, sed similes exstiterunt. *Hip.* Semper tu quidem, Socrates, captiunculas tales contexis, & occupans quod in sermone molestissimum est, ad hoc instas, & minima quaeque contrectas, neque adversus totam rem ipsam, de qua est sermo, contendis. Namque si velis, nunc pluribus argumentis sufficientique ratione ostendam tibi, Homerum, Ulysse meliorem Achillem veracemque finxisse: Ulyssem vero subdolum, & in pluribus mentientem, atque Achille deteriorem. At, si

δόμενον, καὶ χείρω Ἀχιλλέως. εἰ δὲ βούλει σὺ αὖ, ἀντιπαράβαλλε λόγον παρὰ λόγον, ὡς ὁ ἕτερος ἀμείνων ἐσί· καὶ μᾶλλον εἴσονται οὗτοι ὁπότερος ἄμεινον λέγει. ΣΩ. Ὦ Ἱππία, ἐγώ τοι οὐκ ἀμφισβητῶ, μὴ οὐχί σε εἶναι σοφώτερον d. ἢ ἐμέ· ἀλλ' ἀεὶ εἰώθα, ἐπειδάν τις λέγῃ τι, προσέχειν τὸν νοῦν· ἄλλως τε καὶ ἐπειδάν μοι δοκῇ σοφὸς εἶναι ὁ λέγων, καὶ ἐπιθυμῶν μαθεῖν ὅ, τι λέγει, διαπυνθάνομαι καὶ ἐπανασκοπῶ καὶ συμβιβάζω τὰ λεγόμενα, ἵνα μάθω· ἐὰν δὲ φαῦλος δοκῇ μοι εἶναι ὁ λέγων, οὔτε ἐπανερωτῶ, οὔτέ μοι μέλει περὶ ὧν λέγει καὶ γνώσῃ τοῦτῳ οὓς ἂν ἐγὼ ἡγῶμαι σοφοὺς εἶναι· εὑρήσεις γάρ με λιπαρῆ ὄντα περὶ τὰ λεγόμενα ὑπὸ τούτου, καὶ πυνθανόμενον παρ' αὐτοῦ, ἵνα μαθών τι ὠφεληθῶ. ἐπεὶ καὶ e. νῦν ἐννενόηκά σου λέγοντος ὅτι ἐν τοῖς ἔπεσιν οἷς σὺ ἄρτι ἔλεγες, ἐνδεικνύμενος τὸν Ἀχιλλέα εἰς τὸν Ὀδυσσέα λέγειν, ὡς ἀλαζόνα ὄντα, ἄτοπόν μοι δοκεῖ εἶναι εἰ σὺ ἀληθῆ λέγεις· ὅτι ὁ μὲν Ὀδυσσεὺς οὐδαμοῦ φαίνεται ψευσάμενος, ὁ πολύ- p. 370 a.

tibi placet, viciſſim reſponde, cumque mea orationem tuam compara, qua oſtendas, alterum meliorem eſſe: atque ita praeſentes hi magis intelligent, uter noſtrum rectius loquutus fuerit. *So.* Haud iſtud dubito, vel contendo, Hippia, quo minus me ſapientior videaris: verum conſuevi ſemper, cum aliquis de re aliqua diſputat, diligenter attendere; praeſertim quando qui loquitur, ſapiens eſſe mihi videtur. tunc ſane avidus intelligendi quod dicit, percontor, expendo, atque aeſtimo, ut clarius dicta percipiam. ſin autem dicentem ipſum parvi facio; neque requiro ab eo quidquam, neque quid dicat, attendo. Atque hac ipſa coniectura comprehendes, quos aeſtimem ſapientes. cernes enim me verba illorum accuratiſſime auſcultantem, ſciſcitantemque ab illis; ut aliquid diſcendo in vita proficiam. Et nunc quidem, quum dicta tua animadverterem, quibus illorum carminum teſtimonio Achillem oſtendis adverſus Ulyſſem, ut iactabundum dicere, mirum quiddam mihi viſum eſt, ſi vera dixeris: quoniam Ulyſſes ipſe verſutus, mendacii nullius redargui poteſt: Achilles autem

τροπος· ὁ δὲ Ἀχιλλεὺς, πολύτροπός τις φαίνεται κατὰ τὸν σον λόγον. ψεύδεται γοῦν. προειπὼν γὰρ ταῦτα τὰ ἔπη, ἅπερ καὶ σὺ εἶπες ἄρτι,

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλα δὲ εἴπῃ,

ὀλίγον ὕστερον λέγει ὡς οὔτ' ἂν ἀναπεισθείη ὑπὸ τοῦ Ὀδυσ-
b. σέως τε καὶ τοῦ Ἀγαμέμνονος, οὔτε μένοι τοπαράπαν ἐν τῇ Τροίᾳ· ἀλλ'

Αὔριον ἱρὰ Διῒ ῥέξας, φησὶ, καὶ πᾶσι θεοῖσι,
Νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
Ὄψεαι, αἴκ' ἐθέλῃσθα, καὶ αἴκέν τοι τὰ μεμήλῃ,
Ἠρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας
Νῆας ἐμὰς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας.
c. Εἰ δέ κεν εὐπλοίην δῴῃ κλυτὸς Ἐννοσίγαιος,
Ἡματί κεν τριτάτῳ Φθίην ἐριβωλον ἱκοίμην.

Ἔτι δὲ πρότερον τούτων πρὸς τὸν Ἀγαμέμνονα λοιδορούμενος εἶπε,

versutus & varius, secundum sermonem tuum, esse videtur. mentitur enim. Nam cum ea pronuntiasset carmina, quae tu nunc recensuisti,

Is magis est quoniam quam nigri ianua Ditis
Infensus nobis, aliud qui pectore claudit,
Inde palam profert aliud quodcunque videtur.

Paulo post addit, quod neque ab Ulysse, neque ab Agamemnone persuadebitur: neque ad Troiam manebit:

Sed cras ipse Iovi reliquisque ubi sacra pararo
Coelicolis, curvo collectas litore naves
In mare deducam, prima quas luce videbis
Nare per Hellespontiacum mare piscibus aptum.
In quibus aspicies, cupias modo visere, fortes
Edoctosque viros remis incumbere. nam si
Neptunus ventis implebit vela secundis,
Tertia frugiferis Phthiae lux sistet in oris.

Item supra adversus Agamemnonem iurgans ait,

Νῦν δ' εἶμι Φθίην δ'· ἐπειὴ πολὺ λώϊόν ἐστιν
Οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν. οὐδέ σ' ὀΐω
Ἐνθάδ' ἄτιμος ἐὼν, ἄφενος καὶ πλοῦτον ἀφύξειν.

d. Ταῦτα εἰπὼν, τοτὲ μὲν ἐναντίον τῆς στρατιᾶς πάσης, τοτὲ δὲ πρὸς τοὺς ἑαυτοῦ ἑταίρους, οὐδαμοῦ φαίνεται οὔτε παρασκευασάμενος, οὔτ' ἐπιχειρήσας καθέλκειν τὰς ναῦς, ὡς ἀποπλευσούμενος οἴκαδε, ἀλλὰ πάνυ γενναίως ὀλιγωρῶν τοῦ τἀληθῆ λέγειν. ἐγὼ μὲν οὖν, ὦ Ἱππία, καὶ ἐξαρχῆς σε ἠρόμην, ἀπορῶν ὁπότερος τούτοιν τοῖν ἀνδροῖν ἀμείνων πεποίηται τῷ ποιητῇ, καὶ ἡγούμενος ἀμφοτέρω ἀρίζω εἶναι, καὶ e. δύσκριτον ὁπότερος ἀμείνων εἴη, καὶ περὶ ψεύδους καὶ ἀληθείας καὶ τῆς ἄλλης ἀρετῆς. ἀμφοτέρω γὰρ καὶ κατὰ τοῦτο παραπλησίω ἐστόν. ΙΠ. Οὐ γὰρ καλῶς σκοπεῖς, ὦ Σώκρατες. ἃ μὲν γὰρ ὁ Ἀχιλλεὺς ψεύδεται, οὐκ ἐξ ἐπιβουλῆς φαίνεται ψευδόμενος, ἀλλ' ἄκων, διὰ τὴν συμφορὰν τὴν τοῦ στρατοπέδου ἀναγκασθεὶς καταμεῖναι καὶ βοηθῆσαι· ἃ δὲ ὁ Ὀδυσσεὺς ἑκών τε καὶ ἐξ ἐπιβουλῆς. ΣΩ. Ἐξαπατᾷς με, ὦ φίλτατε Ἱππία, καὶ αὐτὸς τὸν Ὀδυσσέα μιμῇ. ΙΠ. Οὐδαμῶς,

Navibus ecce domum nigris, quia praestat, abibo
In patriam Phthiam. neque enim mens optat, ut hic te
Divitiis repleam, validis inglorius armis.

Haec fatus, tum coram omni exercitu, tum ad eius amicos, nusquam apparet, vel se ad opus accingere, vel naves detrahere, ut domum reversurus: immo parum admodum curare, ut revera sint quae loquitur. Ego igitur, Hippia, ab initio te rogavi, quum ambigerem, uter horum apud poëtam praestantior habeatur, putaremque, utrumque virum optimum esse, & difficile cognitu, uter horum excellat magis mendacio, & veritate, aliaque virtute. ambo enim in hoc quam proxime sunt. *Hip.* Haud recte discernis, o Socrates. nam quae mentitur Achilles, non ex insidiis, sed invitus propter exercitus calamitatem mentiri videtur, coactus restare atque succurrere: Ulysses autem sponte ac dolo. *So.* Decipis me, carissime Hippia, ipseque imitaris Ulyssem. *Hip.* Minime omnium, Socrates. quid

p. ὦ Σώκρατες. λέγεις δὴ τί καὶ πρός τι; ΣΩ. Ὅτι οὐκ ἐξ ἐπι-
371 a. βουλῆς φῂς τὸν Ἀχιλλέα ψευδεσθαι, ὃς ἦν οὕτω γόης καὶ ἐπίβουλος πρὸς τὴν ἀλαζονείαν (ὡς πεποιηκεν Ὅμηρος) ὥστε καὶ τοῦ Ὀδυσσέως τοσοῦτον φαίνεται φρονεῖν πλέον, πρὸς τὸ ῥᾳδίως λανθάνειν αὐτὸν ἀλαζονευόμενος, ὥστε ἐναντίον αὐτοῦ αὐτὸς ἑαυτῷ ἐτόλμα ἐναντία λέγειν, καὶ ἐλάνθανε τὸν Ὀδυσσέα, οὐδὲν γοῦν φαίνεται εἰπὼν πρὸς αὐτὸν
b. ὡς αἰσθανόμενος αὐτοῦ ψευδομένου ὁ Ὀδυσσεύς. ΙΠ. Ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; ΣΩ. Οὐκ οἶσθα ὅτι λέγων, ὕστερον ἢ ὡς πρὸς τὸν Ὀδυσσέα ἔφη ἅμα τῇ ἡοῖ ἀποπλευσεῖσθαι, πρὸς τὸν Αἴαντα δὲ οὐκ αὖ φησὶν ἀποπλευσεῖσθαι, ἀλλὰ ἄλλα λέγει. ΙΠ. Ποῦ δή; ΣΩ. Ἐν οἷς λέγει,

Οὐ γὰρ πρὶν πολέμοιο μεθήσομαι αἱματόεντος,
c. Πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἰκέσθαι,
Κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας,
Ἀμφὶ δέ μιν τῇ μῇ κλισίῃ καὶ νηΐ μελαίνῃ

vero dicis? & qua de cauſa? *So.* Quoniam Achillem ais non ex inſidiis mentiri: qui uſque adeo ſeductor erat, atque inſidiator praeter ipſam iactantiam, ſicut fingit Homerus, ut tanto eſſet Ulyſſe callidior, ut ipſi vanitatem abſconderet ſuam, dum coram eo contraria ſibiipſi loqui auderet, Ulyſſemque falleret. Quocirca adverſus eum nihil inferre videtur Ulyſſes, utpote qui mendacium non advertit. *Hip.* Quaenam iſta dicis, o Socrates? *So.* Neſcis, quod poſtea ad Ulyſſem inquit prima luce ſe diſceſſurum: ad Aiacem vero non ita, ſed aliter? *Hip.* Ubinam? *So.* His in carminibus,

Diri nulla prius belli me cura tenebit,
Hectora quam Priami natum veniſſe ſub armis,
Myrmidonum naves, tentoria longa, petentem,
Audiero, premat Argivos qui Marte ſubactos,
Quique rates ignem poſthaec iaculetur in ipſas.
Hectora namque meas naves, aut caſtra furentem

Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.

Σὺ δὴ οὖν, ὦ Ἱππία, πότερον οὕτως ἐπιλήσμονα οἴει εἶναι τὸν τῆς Θέτιδός τε, καὶ ὑπὸ τοῦ σοφωτάτου Χείρωνος πεπαιδευμένον, ὥστε ὀλίγον πρότερον λοιδοροῦντα τοὺς ἀλα- d.
ζόνας τῇ ἐσχάτῃ λοιδορίᾳ, αὐτὸν παραχρῆμα πρὸς μὲν τὸν Ὀδυσσέα φάναι ἀποπλευσεῖσθαι, πρὸς δὲ τὸν Αἴαντα, μενεῖν· ἀλλ' οὐκ ἐπιβουλεύοντά τε καὶ ἡγούμενον ἀρχαῖον εἶναι τὸν Ὀδυσσέα, καὶ αὐτοῦ αὐτῷ τούτῳ τῷ τεχνάζειν τε καὶ ψεύδεσθαι περιέσεσθαι; ΙΠ. Οὔκουν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες· ἀλλὰ καὶ αὐτὰ ταῦτα ὑπὸ εὐηθείας ἀναπεισθεὶς, πρὸς τὸν Αἴαντα ἄλλα εἶπεν ἢ πρὸς τὸν Ὀδυσσέα. ὁ δὲ Ὀδυσσεὺς ἅ τε ἀληθῆ e.
λέγει, ἐπιβουλεύσας ἀεὶ λέγει, καὶ ὅσα ψεύδεται, ὡσαύτως. ΣΩ. Ἀμείνων ἄρ' ἐστὶν, ὡς ἔοικεν, ὁ Ὀδυσσεὺς Ἀχιλλέως. ΙΠ. Ἥκιστά γε δήπου, ὦ Σώκρατες. ΣΩ. Τί δέ; οὐκ ἄρτι ἐφάνησαν οἱ ἑκόντες ψευδόμενοι, βελτίους ἢ οἱ ἄκοντες; ΙΠ. Καὶ πῶς ἄν, ὦ Σώκρατες, οἱ ἑκόντες ἀδικοῦντες, καὶ ἑκόντες ἐπιβουλεύσαντες, καὶ κακὰ ἐργασάμενοι, βελτίους ἂν p.
εἶεν τῶν ἀκόντων; οἷς πολλὴ δοκεῖ συγγνώμη εἶναι, ἐὰν μὴ 372
a.

Haud reor auſurum dubio contingere bello.

An cenſes, Hippia, uſque adeo oblivioſum fuiſſe Thetidis filium, a Chirone ſapientiſſimo eruditum, ut, quum paulo antea in vanos iſtos iactatores vehementiſſima oratione invectus eſſet, ipſe confeſtim Ulyſſi quidem, quaſi ſui ipſius oblitus, dixerit navigaturum ſe, Aiaci vero commoraturum: potius quam inſidiatus, cum Ulyſſem cognoſceret ſeniorem, commentitiisque machinamentis & dolis ſe longe potentiorem? *Hip.* Haud dolo dixiſſe iſta mihi videtur Achilles, ſed ipſa ſimplicitate aliter perſuaſus, aliter cum Aiace quam cum Ulyſſe fuiſſe loquutus. Ulyſſes autem, ſeu vera, ſive falſa loquatur, ſemper inſidias tendit. *So.* Melior ergo, ut videtur, eſt Ulyſſes Achille. *Hip.* Minime, o Socrates. *So.* An non ſupra viſi ſunt qui ſponte mendacium dicunt, meliores eſſe quam qui non ſponte? *Hip.* Quonam pacto, Socrates, qui ſcientes iniuriantur, volentes inſidiantur, & laedunt, meliores eſſe poſ-

εἰδώς τις ἀδικήσῃ, ἢ ψεύσηται, ἢ ἄλλό τι κακὸν ποιήσῃ. καὶ οἱ νόμοι δή που πολὺ χαλεπώτεροί εἰσι τοῖς ἑκοῦσι κακα ἐργαζομένοις, καὶ ψευδομένοις, ἢ τοῖς ἄκουσιν. ΣΩ. Ὁρᾷς, ὦ Ἱππία, ὅτι ἐγὼ ἀληθῆ λέγω, λέγων ὡς λιπαρής εἰμι πρὸς τὰς
b. ἐρωτήσεις τῶν σοφῶν; καὶ κινδυνεύω ἓν μόνον ἔχειν τοῦτο ἀγαθὸν, τἄλλα ἔχων πάνυ γε φαῦλα. τῶν μὲν γὰρ πραγμάτων ἢ ἔχει ἔσφαλμαι, καὶ οὐκ οἶδ' ὅπη ἔχει. τεκμήριον δέ μοι τούτου ἱκανὸν, ὅτι ἐπειδὰν συγγένωμαί τῷ ὑμῶν τῶν εὐδοκιμούντων ἐπὶ σοφίᾳ, καὶ οἷς οἱ Ἕλληνες πάντες μάρτυρές εἰσι τῆς σοφίας, φαίνομαι οὐδὲν εἰδώς. οὐδὲν γάρ μοι δοκεῖ τῶν αὐτῶν καὶ ὑμῖν, ὡς ἔπος εἰπεῖν. καίτοι τί μεῖζον
c. ἀμαθίας τεκμήριον, ἢ ἐπειδάν τις σοφοῖς ἀνδράσι διαφέρηται; ἓν δὲ τοῦτο θαυμάσιον ἔχω ἀγαθὸν, ὅ με σώζει. οὐ γὰρ αἰσχύνομαι μανθάνων, ἀλλὰ πυνθάνομαι καὶ ἐρωτῶ· καὶ χάριν πολλὴν ἔχω τῷ ἀποκρινομένῳ, καὶ οὐδένα πώποτε ἀπεξέρησα χάριτος. οὐ γὰρ πώποτε ἔξαρνος ἐγενόμην μαθών τι,

sunt quam qui haec praeter sententiam faciunt? quandoquidem multum ignoscitur illi, qui per ignorantiam iniuriam infert, mendacium loquitur, vel aliud quidquam committit mali: legesque in eos severius animadvertunt, qui volentes mala faciunt, mentiunturque, quam qui nolentes. *So.* Vides, Hippia, vera me loqui, quum dico accuratum esse me ad sapientum virorum interrogationes; quumque in ceteris valde deficiam, hoc tantum habeo boni. Quae enim natura ipsa rerum sit, nescio. quod hinc maxime coniectare licet, quia quoties cum aliquo vestrum loquor, qui opinione excellitis sapientiae, testesque doctrinae Graecos omnes habetis, scire nihil appareo. nunquam enim idem mihi, ut ita dixerim, ac vobis videtur. Quod autem evidentius est inscitiae argumentum, quam si quis a sapientibus viris dissentiat? Mirificum tamen hoc habeo bonum, quod me servat, quoniam sine rubore verecundiae ad discendum me praeparo. rogo autem ac scisciter, gratiamque ingentem habeo respondenti, nec ulli unquam ingratus exstiti; neque apud auditores unquam vendi-

ἐμαυτοῦ ποιούμενος τὸ μάθημα εἶναι ὡς εὕρημα· ἀλλ' ἐγκωμιάζω τὸν διδάξαντά με ὡς σοφὸν ὄντα, ἀποφαίνων ἃ ἔμαθον παρ' αὐτοῦ. καὶ δὴ καὶ νῦν, ἃ σὺ λέγεις οὐχ ὁμολογῶ σοι, ἀλλὰ διαφέρομαι πάνυ σφόδρα. καὶ τοῦτ' εὖ οἶδα ὅτι δι' d.
ἐμὲ γίγνεται, ὅτι τοιοῦτός εἰμι οἷόσπερ εἰμι, ἵνα μηδὲν ἐμαυτὸν μεῖζον εἴπω. ἐμοὶ γὰρ φαίνεται, ὦ Ἱππία, πᾶν τοὐναντίον ἢ ὃ σὺ λέγεις. οἱ βλάπτοντες τοὺς ἀνθρώπους καὶ ἀδικοῦντες καὶ ψευδόμενοι καὶ ἐξαπατῶντες, καὶ ἁμαρτάνοντες ἑκόντες, ἀλλὰ μὴ ἄκοντες, βελτίους εἶναι ἢ οἱ ἄκοντες. ἐνιοτε μέντοι καὶ τοὐναντίον δοκεῖ μοι τούτων, καὶ πλανᾶμαι περὶ ταῦτα, δηλονότι διὰ τὸ μὴ εἰδέναι. νυνὶ δὲ ἐν τῷ παρόντι μοι e.
ὥσπερ καταβολὴ περιελήλυθεν· καὶ δοκοῦσί μοι οἱ ἑκόντες ἐξαμαρτάνοντες περί τι, βελτίους εἶναι τῶν ἀκόντων. αἰτιῶμαι δὲ τοῦ νῦν παρόντος παθήματος τοὺς ἔμπροσθεν λόγους αἰτίους εἶναι. ὥστε φαίνεσθαι νῦν ἐν τῷ παρόντι τοὺς ἄκοντας τούτων ἔκαζα ποιοῦντας, πονηροτέρους ἢ τοὺς ἑκόντας. σὺ οὖν χάρισαι, καὶ μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν μου. πολὺ γὰρ τοι μεῖζόν με ἀγαθὸν ἐργάσῃ, ἀμαθίας παυσας

cavi mihi aliorum inventa, ſed docentem laudibus ſemper extollo, illique apud omnes quae ſua ſunt, tribuo. Atqui & nunc quae dicis ipſe, nequaquam admitto; immo longe diſſentio. & hoc mea culpa contingere certe ſcio: quippe qui talem eſſe me fatear, qualis ſum, ne me extollam. Mihi quidem, Hippia, omnino contra ac tibi videtur. opinor ſiquidem eos qui ſponte laedunt homines, iniuriantur, mentiuntur, decipiunt, delinquunt, meliores eſſe his, qui non ſponte. Nonnunquam vero contra iudico, & circa haec oberro, utpote qui rem ipſam ignorem. Nunc autem animi morbus me quidam invaſit: videnturque mihi qui propoſito circa aliquid peccant, meliores eſſe, quam qui praeter ſententiam errant. Huius autem mali ſuperiores ſermones cauſam duco, quibus fit, ut in praeſentia exiſtimem eos qui non ſponte peccant, deteriores eſſe his qui ſponte. Ergo tu mihi ignoſces; nec ulla invidia te detineat, quin animum meum cures, multo

p. τὴν ψυχὴν, ἢ νόσου τὸ σῶμα. μακρὸν μὲν οὖν λόγον εἰ ἐθέ-
373 λεις, προλέγω σοι ὅτι οὐκ ἂν με ἰάσαιο· (οὐ γὰρ ἂν ἀκολου-
a. θήσαιμι) ὥσπερ δὲ ἄρτι εἰ θέλεις μοι ἀποκρίνεσθαι, πάνυ
ὀνήσεις· οἶμαι δὲ οὐδ' αὐτὸν σε βλαβήσεσθαι. δικαίως δ' ἂν
καί σε παρακαλοίην, ὦ παῖ Ἀπημάντου. σὺ γάρ με ἐπῆρας
Ἱππίᾳ διαλέγεσθαι· καὶ νῦν, ἐὰν μή μοι ἐθέλῃ Ἱππίας ἀπο-
κρίνεσθαι, δέου αὐτοῦ περὶ ἐμοῦ. ΕΥ. Ἀλλ', ὦ Σώκρατες,
οἶμαι οὐδὲν δεήσεσθαι Ἱππίαν τῆς ἡμετέρας δεήσεως. οὐ γὰρ
b. τοιαῦτα αὐτῷ ἐστι τὰ προειρημένα, ἀλλ' ὅτι οὐδενὸς ἂν φύ-
γοι ἀνδρὸς ἐρώτησιν. ἦ γάρ, ὦ Ἱππία, οὐ ταῦτα ἦν ἃ ἔλεγες;
ΙΠ. Ἔγωγε. ἀλλὰ Σωκράτης, ὦ Εὔδικε, ἀεὶ ταράττει ἐν
τοῖς λόγοις, καὶ ἔοικεν ὥσπερ κακουργοῦντι. ΣΩ. Ω βέλτιστε
Ἱππία, οὔτι ἑκών γε ταῦτα ποιῶν (σοφὸς γὰρ ἂν ἦν καὶ δει-
νὸς, κατὰ τὸν σὸν λόγον) ἀλλὰ ἄκων. ὥστε μοι συγγνώμην
ἔχε. φῂς γὰρ αὖ δεῖν, ὃς ἂν κακουργῇ ἄκων, συγγνώμην
ἔχειν. ΕΥ. Καὶ μηδαμῶς γε, ὦ Ἱππία, ἄλλως ποιεῖ· ἀλλὰ

enim maius beneficium mihi conferes, si inscitia liberaveris animum, quam si aegritudine corpus. Si hoc velis multis verbis efficere, praedico tibi, hunc in modum te minime curaturum. neque enim assequar. Sin autem ita ut supra respondere volueris, admodum mihi proderis. spero autem, tibi hoc haud noxium fore. Merito vero te nunc invocabo, Apemanti fili. nam ipse me induxisti, ut cum Hippia disputarem. quare si nunc Hippias respondere noluerit, pro me ipse intercedito. *Eu.* Nil opus esse arbitror meis ad Hippiam precibus, Socrates. neque enim id proposuit, ut coactus videlicet responderet: immo se libenter omnibus responsurum est pollicitus. nonne haec sunt, Hippia, quae dicebas? *Hip.* Dicebam equidem. verum Socrates hic, o Eudice, semper dicentes interturbat, & quasi praestigiator quidam esse videtur. *So.* O vir optime Hippia, haud sponte haec facio: (essem utique sapiens secundum sermonem tuum, atque astutus) verum praeter sententiam ago. quamobrem ignosce mihi. ais enim, non sponte peccanti ignoscendum esse. *Eu.* Haud aliter facias, Hippia:

καὶ ἡμῶν ἕνεκα καὶ τῶν προειρημένων σοι λόγων ἀποκρίνου c.
ἃ ἄν σε ἐρωτᾷ Σωκράτης. ΙΠ. Ἀλλ' ἀποκρινοῦμαι, σοῦ γε δεομένου· ἀλλ' ἐρώτα ὅ, τι βούλει. ΣΩ. Καὶ μὴν σφόδρα γε ἐπιθυμῶ, ὦ Ἱππία, διασκέψασθαι τὸ νῦν δὴ λεγόμενον, πότεροι ποτὲ ἀμείνους, οἱ ἑκόντες ἢ οἱ ἄκοντες ἁμαρτάνοντες. οἶμαι οὖν ἐπὶ τὴν σκέψιν ὀρθότατ' ἂν ὧδε ἐλθεῖν· ἀλλ' ἀπόκριναι. καλεῖς τινὰ δρομέα ἀγαθόν; ΙΠ. Ἔγωγε. ΣΩ. Καὶ κακόν; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ἀγαθὸς μὲν, ὁ εὖ θέων· d.
κακὸς δ', ὁ κακῶς; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ὁ βραδέως θέων, κακῶς θεῖ, ὁ δὲ ταχέως, εὖ; ΙΠ. Ναί. ΣΩ. Ἐν δρόμῳ μὲν ἄρα καὶ τῷ θεῖν, τάχος μὲν, ἀγαθὸν, βραδυτὴς δὲ, κακόν; ΙΠ. Ἀλλὰ τί μέλλει; ΣΩ. Πότερος οὖν ἀμείνων δρομεύς; ὁ ἑκὼν βραδέως θέων, ἢ ὁ ἄκων; ΙΠ. Ὁ ἑκών. ΣΩ. Ἆρ' οὖν οὐ ποιεῖν τι ἐστὶ τὸ θεῖν; ΙΠ. Ποιεῖν μὲν οὖν. ΣΩ. Εἰ δὲ ποιεῖν, οὐ καὶ ἐργάζεσθαί τι; ΙΠ. Ναί. ΣΩ. Ὁ κακῶς ἄρα θέων, e.
κακὸν καὶ αἰσχρὸν ἐν δρόμῳ τοῦτο ἐργάζεται. ΙΠ. Κακόν. πῶς γὰρ οὔ; ΣΩ. Κακῶς δὲ θεῖ ὁ βραδέως θέων; ΙΠ. Ναί.

sed noſtri gratia, & propter ea quae ſupra tibi dicta ſunt, reſponde ad ea quae interrogat Socrates. *Hip.* Reſpondebo equidem, cum tu roges. Pete ergo quod lubet. *So.* Vehementer cupio, Hippia, quod modo dictum eſt, conſiderare, utri meliores ſint, an qui ſponte volentesque peccant, an qui contra. ſpero autem hunc in modum rectiſſime poſſe conſiderari. Reſponde iam. Vocasne curſorem aliquem bonum? *Hip.* Equidem. *So.* Et malum? *Hip.* Ita. *So.* Nonne bonus qui bene currit, malus qui male? *Hip.* Certe. *So.* An non qui tarde currit, male currit? qui autem velociter, bene? *Hip.* Procul dubio. *So.* In ipſo itaque curſu celeritas quidem bonum, tarditas autem malum. *Hip.* Quid tum? *So.* Uter ergo curſor eſt melior? utrum qui ſponte currit tarde, an qui ſecus? *Hip.* Qui ultro. *So.* Nonne currere eſt aliquid facere? *Hip.* Facere utique. *So.* Facere autem aliquid operari? *Hip.* Profecto. *So.* Ergo qui male currit, malum hoc & turpe operatur in curſu. *Hip.* Malum. quidni? *So.* Male autem

ΣΩ. Οὐκοῦν ὁ μὲν ἀγαθὸς δρομεὺς, ἑκὼν τὸ κακὸν τοῦτο ἐργάζεται, καὶ τὸ αἰσχρόν· ὁ δὲ κακὸς, ἄκων; ΙΠ. Ἔοικέ γε. ΣΩ. Ἐν δρόμῳ μὲν ἄρα πονηρότερος ὁ ἄκων κακὰ ἐρ-
p. γαζόμενος ἢ ὁ ἑκών. ΙΠ. Ἐν δρόμῳ γε. ΣΩ. Τί δ' ἐν πά-
374 λῃ; πότερος παλαιστὴς ἀμείνων; ὁ ἑκὼν πίπτων, ἢ ὁ ἄκων;
a. ΙΠ. Ὁ ἑκών. ἔοικε. ΣΩ. Πονηρότερον δὲ καὶ αἰσχιον ἐν πάλῃ, τὸ πίπτειν, ἢ τὸ καταβάλλειν; ΙΠ. Τὸ πίπτειν. ΣΩ. Καὶ ἐν πάλῃ ἄρα ὁ ἑκὼν τὰ πονηρὰ καὶ αἰσχρὰ ἐργαζόμενος, βελτίων παλαιστὴς ἢ ὁ ἄκων. ΙΠ. Ἔοικε. ΣΩ. Τί δὲ ἐν τῇ ἄλλῃ πάσῃ τῇ τοῦ σώματος χρείᾳ; οὐχ ὁ βελτίων τὸ σῶμα δύναται ἀμφότερα ἐργάζεσθαι, καὶ τὰ ἰσχυρὰ
b. καὶ τὰ ἀσθενῆ, καὶ τὰ αἰσχρὰ καὶ τὰ καλά; ὥστε ὅταν κατὰ τὸ σῶμα πονηρὰ ἐργάζηται, ἑκὼν ἐργάζεται ὁ βελτίων τὸ σῶμα· ὁ δὲ πονηρότερος, ἄκων. ΙΠ. Ἔοικε καὶ κατὰ τὴν ἰσχὺν οὕτως ἔχειν. ΣΩ. Τί δὲ κατ' εὐσχημοσύνην, ὦ Ἱππία; οὐ τοῦ βελτιονος σώματος ἐξιν, ἑκόντος τὰ αἰσχρὰ

currit, qui tarde currit. *Hip.* Sane. *So.* Nonne igitur curſor bonus de induſtria malum hoc & turpe operatur: malus, praeter propoſitum? *Hip.* Videtur. *So.* In curſu igitur deterior eſt qui praeter voluntatem agit mala, quam qui volens. *Hip.* In curſu plane. *So.* Quid autem in palaeſtra? uter luctator eſt melior? num qui dedita opera cadit? an qui invitus? *Hip.* Qui dedita opera. *So.* Ita videtur. Peius autem ac turpius in palaeſtra cadere, an deiicere? *Hip.* Cadere. *So.* Et in palaeſtra igitur qui ſtudio mala agit & turpia, melior luctator eſt, quam qui imbecillitate atque inertia. *Hip.* Videtur. *So.* Quid vero in omni reliquo corporis uſu? nonne qui corpore robuſtior atque aptior eſt, facere pro arbitrio utraque poteſt, tam quae robuſti hominis ſunt, quam quae debilis, & pulchra & turpia? quapropter qui habitu corporis praeſtat, quoties male ſecundum corpus facit, volens efficit: imbecillis autem invitus. *Hip.* Videtur quoque idem circa robur contingere. *So.* Quid vero de ipſius figurae concinnitate dicendum? nonne formoſioris meliorisque corporis eſt, impenſa opera turpes

καὶ πονηρὰ σχήματα σχηματίζειν; τοῦ δὲ πονηροτέρου, ἄκοντος; ἢ πῶς σοι δοκεῖ; ΙΠ. Οὕτω. ΣΩ. Καὶ ἀσχημοσύνη ἄρα, ἡ μὲν ἑκούσιος, πρὸς ἀρετῆς ἐστιν, ἡ δὲ ἀκούσιος, πρὸς πονηρίας σώματος. ΙΠ. Φαίνεται. ΣΩ. Τί δὲ φωνῆς πέρι c. λέγεις; ποτέραν φῂς εἶναι βελτίω; τὴν ἑκουσίως ἀπᾴδουσαν, ἢ τὴν ἀκουσίως; ΙΠ. Τὴν ἑκουσίως. ΣΩ. Μοχθηροτέραν δὲ τὴν ἀκουσίως; ΙΠ. Ναί. ΣΩ. Δέξαιο δ' ἂν πότερον τἀγαθὰ κεκτῆσθαι; ἢ τὰ κακά; ΙΠ. Τἀγαθά. ΣΩ. Πότερον οὖν ἂν δέξαιο πόδας κεκτῆσθαι ἑκουσίως χωλαίνοντας, ἢ ἀκουσίως; ΙΠ. Ἑκουσίως. ΣΩ. Χωλεία δὲ ποδῶν, οὐχὶ πονηρία καὶ ἀσχημοσύνη ἐστί; ΙΠ. Ναί. ΣΩ. Τί δέ; ἀμβλυωπία οὐ d. πονηρία ὀφθαλμῶν; ΙΠ. Ναί. ΣΩ. Ποτέρους οὖν ἂν βούλοιο ὀφθαλμοὺς κεκτῆσθαι, καὶ ποτέροις συνεῖναι; οἷς ἑκὼν ἄν τις ἀμβλυώττοι καὶ παρορῴη, ἢ οἷς ἄκων; ΙΠ. Οἷς ἑκών. ΣΩ. Βελτίω ἄρα ἡγήσαι τῶν σαυτοῦ τὰ ἑκουσίως πονηρὰ ἐργαζόμενα, ἢ τὰ ἀκουσίως. ΙΠ. Τὰ γοῦν τοιαῦτα. ΣΩ. Οὐκοῦν πάντα, οἷον καὶ ὦτα καὶ ῥῖνας καὶ στόμα, καὶ πάσας

figuras confingere? deformis autem contra? quid tibi videtur? *Hip.* Quod & tibi. *So.* Figurae itaque inconcinnitas voluntaria ad virtutem corporis attinet: contraria vero ad vitium. *Hip.* Apparet. *So.* De voce vero quid ais? utram meliorem asseris? ex animine voluntate dissonam, an ex inertia? *Hip.* Ex animi voluntate. *So.* Alteram vero peiorem. *Hip.* Absque dubio. *So.* Utrum bona optas habere, an mala? *Hip.* Bona. *So.* Utrum malles pedes habere qui dedita opera claudicarent, an qui inviti? *Hip.* Eos plane qui de industria. *So.* Claudicatio pedum nonne vitium est atque deformitas? *Hip.* Est. *So.* Hebetudo autem nonne vitium est oculorum? *Hip.* Vitium. *So.* Utros igitur potius oculos eliges, eosne quibus sponte quis confuse videat, vel perverse inspiciat; an contra quibus nolens male aliquis videat? *Hip.* Eos quibus volens. *So.* Ex his igitur quae tua sunt, potiora censes illa quae male agunt sponte, quam quae invita? *Hip.* Eiusmodi quaedam videlicet. *So.* An non & reliqua omnia, aures, nares, os,

τὰς αἰσθήσεις, εἷς λόγος συνέχει· τὰς μὲν ἀκόντως κακὰ
e. ἐργαζομένας, ἀκτήτους εἶναι, ὡς πονηρὰς οὔσας· τὰς δὲ
ἑκουσίως, κτητὰς, ὡς ἀγαθὰς οὔσας. ΙΠ. Ἔμοιγε δοκεῖ.
ΣΩ.. Τί δέ; ὀργάνων ποτέρων βελτίων ἡ κοινωνία; οἷς ἑκών
τις κακὰ ἐργάζεται, ἢ οἷς ἄκων; οἷον, πηδάλιον ᾧ ἄκων
κακῶς τις κυβερνήσει, βέλτιον ἢ ᾧ ἑκών; ΙΠ. Ὦ ἑκών.
ΣΩ. Οὐ καὶ τόξον ὡσαύτως, καὶ λύρα, καὶ αὐλοὶ, καὶ
p. τἄλλα ξύμπαντα; ΙΠ. Ἀληθῆ λέγεις. ΣΩ. Τί δέ; ψυχὴν
375 κεκτῆσθαι ἵππου, ἢ ἑκών τις κακῶς ἱππεύσει, ἀμείνων ἢ
a. ἄκων; ΙΠ. Ἡ ἑκών. ΣΩ. Ἀμείνων, ἄρα ἐοῖ. ΙΠ. Ναί. ΣΩ.
Τῇ ἀμείνονι ἄρα ψυχῇ ἵππου τὰ τῆς ψυχῆς ἔργα ταύτης
τὰ πονηρὰ ἑκουσίως ἂν ποιοῖ, τὰ δὲ τῆς πονηρίας, ἀκουσίως;
ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ κυνὸς καὶ τῶν ἄλλων ζώων
πάντων; ΙΠ. Ναί. ΣΩ. Τί δὲ δή; ἀνθρώπου ψυχὴν κεκτῆ-
σθαι τοξότου ἀμείνονος ἐστὶν, ἥτις ἑκουσίως ἁμαρτάνει τοῦ
b. σκοποῦ, ἢ ἥτις ἀκουσίως; ΙΠ. Ἥτις ἑκουσίως. ΣΩ. Οὐκοῦν

omnesque ſenſus ratio una comprehendit; quae docet, ſenſus praeter propoſitum peccantes, eligendos eſſe nunquam, utpote qui pravi ſint: eos autem qui ex inſtituto, tanquam bonos, potius eligendos? *Hip.* Mihi quidem videtur. *So.* Quorum vero inſtrumentorum melior uſus? utrum quibus volens aliquis errat, an quibus nolens? ceu gubernaculum, utrum melius illud quo de induſtria quispiam male gubernet, an quo invitus? *Hip.* Quo de induſtria. *So.* Nonne arcus ſimiliter, & lyra, & tibiae, ac cetera omnia? *Hip.* Vera loqueris. *So.* Utra equi anima ad poſſidendum melior? eane qua ſponte quis male equitet, an qua invitus? *Hip.* Qua ſponte. *So.* Eſt itaque melior. *Hip.* Eſt. *So.* Meliori igitur equi anima, mala huius animae opera volens quis faciet: contraria vero contra. *Hip.* Omnino. *So.* Nonne eadem de anima canis ceterorumque animalium ratio? *Hip.* Eadem. *So.* Utrius autem ſagittatoris animam tanquam meliorem eligeres? illiusne qui volens aberrat a ſigno, an illius qui nolens? *Hip.* Illius qui ultro. *So.* An non haec ad ſagittandi artem melior? *Hip.* Me-

αὕτη ἀμείνων εἰς τοξικήν ἐστι; ΙΠ. Ναί. ΣΩ. Καὶ ψυχὴ ἄρα ἀκουσίως ἁμαρτάνουσα, πονηροτέρα ἢ ἑκουσίως. ΙΠ. Ἐν τοξικῇ γε. ΣΩ. Τί δ' ἐν ἰατρικῇ; οὐχὶ ἡ ἑκοῦσα κακὰ ἐργαζομένη περὶ τὰ σώματα, ἰατρικωτέρα; ΙΠ. Ναί. ΣΩ. Ἀμείνων ἄρα αὕτη ἐν ταύτῃ τῇ τέχνῃ τῆς μὴ ἰατρικῆς. ΙΠ. Ἀμείνων. ΣΩ. Τί δέ; ἡ κιθαριστικωτέρα, καὶ ἡ αὐλητικωτέρα, καὶ τἆλλα πάντα τὰ κατὰ τὰς τέχνας τε καὶ τὰς ἐπιστήμας, c. οὐχὶ ἡ ἀμείνων, ἑκοῦσα τὰ κακὰ ἐργάζεται καὶ τὰ αἰσχρὰ, καὶ ἐξαμαρτάνει; ἡ δὲ πονηροτέρα, ἄκουσα; ΙΠ. Φαίνεται. ΣΩ. Ἀλλὰ μήν που τάς γε τῶν δούλων ψυχὰς κεκτῆσθαι δεξαίμεθ' ἂν μᾶλλον τὰς ἑκουσίως ἢ τὰς ἀκουσίως ἁμαρτανούσας τε καὶ κακουργούσας, ὡς ἀμείνους οὔσας εἰς ταῦτα. ΙΠ. Ναί. ΣΩ. Τί δέ; τὴν ἡμετέραν αὐτῶν οὐ βουλοίμεθ' ἂν ὡς βελτίστην κεκτῆσθαι; ΙΠ. Ναί. ΣΩ. Οἰκοῦν βελτίων ἔσαι ἐὰν ἑκοῦσα κακουργῇ τε καὶ ἐξαμαρτάνῃ, ἢ d. ἐὰν ἄκουσα; ΙΠ. Δεινὸν μέντ' ἂν εἴη, ὦ Σώκρατες, εἰ οἱ ἑκόντες ἀδικοῦντες, βελτίους ἔσονται ἢ οἱ ἄκοντες. ΣΩ. Ἀλ-

lior. *So.* Quare anima quae aberrat inscia, deterior est ea quae sciens aberrat. *Hip.* In sagittandi videlicet facultate. *So.* Quid vero in studio medicinae? nonne quae medendo dedita opera mala quaedam corporibus infert, quod ad medicinae artem pertinet, peritior est quam illa quae per ignorantiam peccat? *Hip.* Plane. *So.* Ergo haec in medicinae arte est melior. *Hip.* Melior. *So.* Utra vero ad citharam pulsandam, vel inflandas tibias, & alia uniuscuiusque artis vel scientiae opera est instructior, nonne ad haec & melior? & si quando praeter artem male quid facit, de industria facit? quae vero deterior, praeter sententiam? *Hip.* Apparet. *So.* Servorum autem animas eligemus potius quae scientes circa ministerium peccant, quam quae ignorantes, quasi ad haec opera meliores? *Hip.* Sane. *So.* Animam vero nostram nonne quam optimam exoptamus habere? *Hip.* Nempe. *So.* An non melior erit, si sponte mala facit atque delinquit, quam si nescia? *Hip.* Grave id esset, o Socrates, si qui sponte iniuriantur,

λὰ μὴν φαίνεταί γε ἐκ τῶν εἰρημένων. ΙΙΙ. Οὐκοῦν ἔμοιγε, ΣΩ. Ἐγὼ δ' ὦμην, ὦ Ἱππία, καί σοι φανῆναι. πάλιν δ' ἀπόκριναί ἡ δικαιοσύνη, οὐχί δυναμίς τις ἐστὶν ἢ ἐπιστήμη, ἢ ἀμφότερα; ἢ οὐκ ἀνάγκη ἓν γέ τι τούτων εἶναι τὴν δικαιοσύ-
c. νην; ΙΙΙ. Ναί. ΣΩ. Οὐκοῦν εἰ μὲν δύναμίς ἐστι τῆς ψυχῆς ἡ δικαιοσύνη, ἡ δυνατωτέρα ψυχὴ, δικαιοτέρα ἐστί. βελτίων γάρ που ἡμῖν ἐφάνη, ὦ ἄριστε, ἡ τοιαύτη. ΙΙΙ. Ἐφάνη γάρ. ΣΩ. Τί δ' εἰ ἐπιστήμη, οὐχ ἡ σοφωτέρα ψυχὴ, δικαιοτέρα; ἡ δὲ ἀμαθεστέρα, ἀδικωτέρα; τί δ' εἰ ἀμφότερα; οὐχ ἡ ἀμφοτέρας ἔχουσα, ἐπιστήμην καὶ δύναμιν, δικαιοτέρα; ἡ δὲ ἀμαθεστέρα, ἀδικωτέρα; οὐχ οὕτως ἀνάγκη ἔχειν; ΙΙΙ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἡ δυνατωτέρα καὶ σοφωτέρα, αὕτη ἀμείνων οὖσα ἐφάνη, καὶ ἀμφότερα μᾶλλον δυναμένη ποιεῖν, καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ, περὶ πᾶσαν ἐργασίαν; ΙΙΙ.
p. Ναί. ΣΩ. Ὅταν ἄρα τὰ αἰσχρὰ ἐργάζηται, ἑκοῦσα ἐργά-
376 a. ζεται, διὰ δύναμιν καὶ τέχνην. ταῦτα δὲ δικαιοσύνης φαίνε-

meliores essent his qui non sponte. *So.* Ex his tamen quae supra dicta sunt, sequi videtur. *Hip.* Mihi vero nequaquam. *So.* Putaram, Hippia, idem tibi quoque videri. Respondeigitur iterum. Iustitia nonne vel potentia quaedam est, vel scientia, vel utrumque? an non necesse est aliquid horum esse iustitiam? *Hip.* Necesse. *So.* Si potentia quaedam animae iustitia est, potentior anima, iustior erit? melior enim, o vir optime, haec talis nobis apparuit. *Hip.* Apparuit. *So.* Quid vero si scientia iustitia sit? nonne quae sapientior anima, illa iustior? quae insipientior, contra iniustior? *Hip.* Ita est. *So.* Quid si utrumque? an non quae ambo haec habet, scientiam scilicet & potentiam, iustior erit? quae scientiam non habet, iniustior? nonne ita rem se habere necessarium est? *Hip.* Apparet. *So.* Quae vero potentior & sapientior est, ea melior apparuit esse, & ad utraque, tam pulchra quam turpia, circa quamlibet actionem peragenda paratior? *Hip.* Certe. *So.* Quoties itaque turpia facit, volens facit, propter artem atque potentiam. haec autem, vel ambo, vel alterum,

ταὶ, ἤτοι ἀμφότερα, ἢ τὸ ἕτερον. ΙΠ. Ἔοικε. ΣΩ. Καὶ τὸ μέν γε ἀδικεῖν, κακὰ ποιεῖν ἐστί; τὸ δὲ μὴ ἀδικεῖν, καλά; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν ἡ δυνατωτέρα καὶ ἀμείνων ψυχὴ, ὅταν περ ἀδικῇ, ἑκοῦσα ἀδικήσει· ἡ δὲ πονηρὰ, ἄκουσα; ΙΠ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἀγαθὸς ἀνὴρ, ὁ τὴν ἀγαθὴν ψυχὴν ἔχων· κακὸς δὲ, ὁ τὴν κακήν; ΙΠ. Ναί. ΣΩ. Ἀγαθοῦ μὲν b. ἄρα ἀνδρός ἐστιν, ἑκόντα ἀδικεῖν· κακοῦ δὲ, ἄκοντα· εἴπερ ὁ ἀγαθὸς ἀγαθὴν ψυχὴν ἔχει. ΙΠ. Ἀλλὰ μὴν ἔχει γε. ΣΩ. Ὁ ἄρα ἑκὼν ἁμαρτάνων, καὶ αἰσχρὰ καὶ ἄδικα ποιῶν, ὦ Ἱππία, εἰπέρ τις ἐστὶν οὗτος, οὐκ ἂν ἄλλος εἴη ἢ ὁ ἀγαθός. ΙΠ. Οὐκ ἔχω ὅπως σοὶ συγχωρήσω, ὦ Σώκρατες, ταῦτα. ΣΩ. Οὐδὲ γὰρ ἐγὼ ἐμοὶ, ὦ Ἱππία. ἀλλ' ἀναγκαῖον οὕτω φαίνεσθαι νῦν γε ἡμῖν ἐκ τοῦ λόγου. ὅπερ μέντοι πά- c. λαι ἔλεγον, ἐγὼ περὶ ταῦτα ἄνω καὶ κάτω πλανῶμαι, καὶ οὐδέποτε ταυτά μοι δοκεῖ. καὶ ἐμὲ μὲν οὐδὲν θαυμαστὸν πλανᾶσθαι, οὐδὲ ἄλλον ἰδιώτην· εἰ δὲ καὶ ὑμεῖς πλανήσεσθε οἱ

ad iuſtitiam pertinent. *Hip.* Videtur. *So.* Enimvero iniuriari, mala facere eſt: non iniuriari, bona. *Hip.* Sic eſt. *So.* Nonne ergo potentior ac melior anima, quoties iniuſte aget, ſponte aget? prava autem contra? *Hip.* Apparet. *So.* Nonne vir bonus, qui animam habet bonam? malus contra, qui malam? *Hip.* Absque dubio. *So.* Quamobrem boni viri eſt, ſponte iniuriari: mali autem non ſponte: ſiquidem bonus vir animam bonam habet. *Hip.* Habet quidem. *So.* Si quis eſt igitur hominum qui ſponte aberret, turpiaque & iniuſta committat, haud alius eſt, o Hippia, quam vir bonus. *Hip.* Concedere tibi iſta non poſſum, o Socrates. *So.* Neque ego ipſe mihi, Hippia. verumtamen ex ſuperiori ſermone neceſſe eſt in praeſentia nobis ita videri. At vero, ut ſupra dicebam, circa haec ſemper ſurſum deorſumve deerro, nec in eadem perſiſto ſententia. Neque mirum eſt, me, meique ſimiles, rudesque homines ad contraria circumvagari, ſi & ſapientes vos ob-

σοφοὶ, τοῦτο ἤδη καὶ ἡμῖν δεινὸν, εἰ μηδὲ παρ' ὑμᾶς ἀφικόμενοι, παυσόμεθα τῆς πλάνης.

ΤΕΛΟΣ ΤΟΥ ΙΠΠΙΟΥ.

erretis. Id autem nobis grave malum, si neque etiam ad vos profecti errare cessemus.

FINIS HIPPIAE.

ΚΡΑΤΥΛΟΣ

ΚΡΑΤΥΛΟΣ

ΚΡΑΤΥΛΟΣ
Η
ΠΕΡΙ ΟΝΟΜΑΤΩΝ ΟΡΘΟΤΗΤΟΣ.
Λογικός.

CRATYLUS
SIVE
DE RECTA NOMINUM RATIONE.
Ad orationem sive rationem spectans.

ARGUMENTUM.

Thesis, ut ipse titulus prae se fert, est De recta nominum ratione, id est, unde Nomina veram germanamque appellationem sortiantur. Duae autem de hac recta nominum ratione sententiae proponuntur. Prima, Omnibus hominibus natura ingenitam esse insitamque nominum rationem, id est, talia esse revera nomina, qualis fuerit ipsarum rerum natura: non vero ex hominum constitutione. Secunda, Ex hominum pactis atque conventis nomina imponi, nec alia esse quam quae fuerint hominum arbitrio atque voluntate constituta. Primigenia autem nomina quaedam exstare, quae a priscis illis auctoribus instituta, & potentia quidem maiore quam sit humana, ceterorum vocabulorum fundamentum sint. inde tamen vocabulorum tantam perturbationem exstitisse, ut longis annorum spatiis obfuscata, vix, ac ne vix quidem, agnoscantur primorum illorum vocabulorum vestigia: quae in barbaris quibusdam linguis melius perspiciantur, quam in Graeca. Disputant tres ipsius Platonis praeceptores, Hermogenes, Cratylus, & Socrates. Hermogenes (Parmenidis Pythagoreorumque cultor, putantium omnia permanere) nomina naturali quadam ratione vim habere putat: Cratylus contra (secta-

tor Heracliti, ceterorumque priſcorum, qui putarunt nihil uſquam ſtabile) ex arbitrio ſolum conſtituta exiſtimat. Socrates vero, cuius illi ſe iudicio ſubiiciunt, in Cratyli ſententiam magis inclinare videtur.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΚΡΑΤΥΛΟΥ ΠΡΟΣΩΠΑ
ΕΡΜΟΓΕΝΗΣ, ΚΡΑΤΥΛΟΣ, ΣΩΚΡΑΤΗΣ.

p. 383 a. Βούλει οὖν καὶ Σωκράτει τῷδε ἀνακοινώσωμεν τὸν λόγον; ΚΡ. Εἴ σοι δοκεῖ. ΕΡΜ. Κρατύλος φησὶν ὅδε, ὦ Σώκρατες, ὀνόματος ὀρθότητα εἶναι ἑκάστῳ τῶν ὄντων φύσει πεφυκυῖαν· καὶ οὐ τοῦτο εἶναι ὄνομα, ὅ, τι ἄν τινες συνθέμενοι καλεῖν, καλῶσι, τῆς αὐτῶν φωνῆς μόριον ἐπιφθεγγόμενοι· ἀλλὰ ὀρθότητά τινα τῶν ὀνομάτων πεφυκέναι καὶ Ἕλλησι b. καὶ βαρβάροις τὴν αὐτὴν ἅπασιν. ἐρωτῶ οὖν αὐτὸν ἐγὼ εἰ αὐτῷ Κρατύλος τῇ ἀληθείᾳ ὄνομα ἐστιν, ἢ οὔ. ὁ δὲ ὁμολογεῖ αὐτῷ γε τοῦτο ὄνομα εἶναι. Τί δαὶ Σωκράτει; ἔφην ἐγώ. Σωκράτες, ἦ δ' ὅς. Οὐκοῦν καὶ τοῖς ἄλλοις πᾶσιν, ὅπερ καλοῦμεν ὄνομα ἕκαστον, τοῦτ' ἐστὶν ἑκάστῳ ὄνομα; Ὁ δὲ, Οὔκουν σοί γε, ἦ δ' ὅς, ὄνομα Ἑρμογένης, οὐδὲ ἂν πάντες

DIALOGI PERSONAE
HERMOGENES, CRATYLUS, SOCRATES.

VIS igitur ſermonem noſtrum & cum hoc Socrate conferamus? *Crat.* Volo equidem, ſi tibi videtur. *Herm.* Cratylus hic, o Socrates, rebus ſingulis ait natura ineſſe rectam nominis rationem: neque id eſſe nomen, quod quidam ex conſtitutione vocant, dum vocis ſuae particulam quandam pronuntiant: ſed rectam rationem aliquam nominum & Graecis & Barbaris eandem omnibus innatam. Percontor itaque ipſum, num revera Cratylus ſit eius nomen. ipſe fatetur. Socrati vero quod nomen, inquam? Socrates ait. Nonne & ceteris omnibus, inquam, id eſt nomen, quo quemque vocamus? Ille autem, Non tibi ait, Hermogenes nomen eſt, neque etiam

καλῶσιν ἄνθρωποι. Καὶ ἐμοῦ ἐρωτῶντος καὶ προθυμουμένου εἰδέναι ὅ, τι ποτὲ λέγει, οὔτε ἀποσαφεῖ οὐδὲν, εἰρωνεύεταί τε πρός με, προσποιούμενός τι αὐτὸς ἐν ἑαυτῷ διανοεῖσθαι, ὡς εἰδὼς περὶ αὐτοῦ ὃ εἰ βούλοιτο σαφῶς εἰπεῖν, ποιήσειεν ἂν καὶ ἐμὲ ὁμολογεῖν καὶ λέγειν ἅπερ αὐτὸς λέγει. εἰ οὖν πῃ ἔχεις συμβαλεῖν τὴν Κρατύλου μαντείαν, ἡδέως ἂν ἀκούσαιμι. μᾶλλον δὲ αὐτῷ σοι ὅπῃ δοκεῖ ἔχειν περὶ ὀνομάτων ὀρθότητος, ἔτι ἂν ἡδιον πυθοίμην, εἴ σοι βουλομένῳ ἐστίν. ΣΩ. Ὦ παῖ Ἱππονίκου Ἑρμόγενες, παλαιὰ παροιμία, ὅτι χαλεπὰ τὰ καλά ἐστιν ὅπῃ ἔχει μαθεῖν· καὶ δὴ καὶ τὸ περὶ τῶν ὀνομάτων, οὐ σμικρὸν τυγχάνει ὂν μάθημα. εἰ μὲν οὖν ἐγὼ ἤδη ἠκηκόειν παρὰ Προδίκου τὴν πεντηκοντάδραχμον ἐπίδειξιν, ἣν ἀκούσαντι ὑπάρχει περὶ τοῦτο πεπαιδεῦσθαι, ὡς φησιν ἐκεῖνος, οὐδὲν ἂν ἐκώλυσέ σε αὐτίκα μάλα εἰδέναι τὴν ἀλήθειαν περὶ ὀνομάτων ὀρθότητος· νῦν δὲ οὐκ ἀκήκοα, ἀλλὰ τὴν δραχμιαίαν. οὔκουν οἶδα πῇ ποτε τὸ ἀληθὲς ἔχει περὶ τῶν τοιούτων. συζητεῖν μέντοι ἕτοιμός εἰμι καί σοι καὶ

si omnes homines te ita vocarint. Dumque obsecro, ut scisscitanti mihi quidnam dicat aperiat, nihil prorsus declarat: sed me ludens, simulat sese aliquid versare animo, quasi nonnihil hac de re intelligat; quod si vellet exprimere, cogeret me id ipsum fateri, eademque dicere quae ipse dicit. Quamobrem libenter ex te audirem, si qua ratione Cratyli vaticinium potes conjicere. libentius tamen sententiam tuam de nominum rectitudine, si quidem tibi placet, audirem. *So.* O Hipponici fili Hermogenes, veteri proverbio fertur, Pulchra esse cognitu difficilia. Atqui illa nominum notitia haud parva res est. Equidem si ex Prodico illam quinquaginta drachmarum demonstrationem iam olim audissem, in cuius traditione etiam haec inerant, ut ipse testatur: nihil prohiberet quin tu statim veritatem de nominum rectitudine intelligeres. nunc autem eam non audivi, sed illam drachmae unius dumtaxat. Quare quid in his verum sit, nescio: investigare autem tecum simul & cum Cratylo paratus sum. Quod autem dicit

Κρατύλῳ κοινῇ. ὅτι δὲ οὔ φησί σοι Ἑρμογένει ὄνομα εἶναι τῇ ἀληθείᾳ, ὥσπερ ὑποπτεύω αὐτὸν σκώπτειν. οἴεται γὰρ ἴσως σε χρημάτων ἐφιέμενον κτήσεως, ἀποτυγχάνειν ἑκάστοτε. ἀλλ' ὃ νῦν δὴ ἔλεγον, εἰδέναι μὲν τὰ τοιαῦτα χαλεπόν. εἰς τὸ κοινὸν δὲ καταθέντας χρὴ σκοπεῖν εἴτε ὡς σὺ λέγεις ἔχει, εἴτε ὡς Κρατύλος. ΕΡΜ. Καὶ μὴν ἔγωγε, ὦ Σώκρατες, πολλάκις δὴ καὶ τούτῳ διαλεχθεὶς καὶ ἄλλοις
d. πολλοῖς, οὐ δύναμαι πεισθῆναι ὡς ἄλλη τὶς ἐστὶν ὀρθότης ὀνόματος, ἢ συνθήκη καὶ ὁμολογία. ἐμοὶ γὰρ δοκεῖ, ὅ, τι ἄν τις τῳ θῆται ὄνομα, τοῦτο εἶναι καὶ τὸ ὀρθόν· καὶ ἂν αὖθίς γε ἕτερον μεταθῆται, ἐκεῖνο δὲ μηκέτι καλῇ, οὐδὲν ἧττον τοῦτ' εἶναι ὀρθὸν τὸ μετατεθὲν τοῦ πρότερον κειμένου· ὥσπερ τοῖς οἰκέταις ἡμεῖς μετατιθέμεθα. οὐ γὰρ φύσει ἑκάστῳ πεφυκέναι ὄνομα οὐδὲν οὐδενὶ, ἀλλὰ νόμῳ καὶ ἔθει τῶν ἐθισάντων τε καὶ καλούντων. εἰ δέ πη ἄλλη ἔχει, ἕτοιμος ἔγωγε
e. καὶ μανθάνειν καὶ ἀκούειν, οὐ μόνον παρὰ Κρατύλου, ἀλλὰ καὶ παρ' ἄλλου ὁτουοῦν. ΣΩ. Ἴσως μέντοι τὶ λέγεις, ὦ Ἑρ-

tibi non esse revera nomen Hermogenes, [quod a lucro dicitur] mordet te, puto; quasi pecuniarum avidus sis, & impos voti. Verum, ut modo dicebam, difficilia haec cognitu sunt. oportet autem rationes utrinque in medium adducendo perquirere, utrum ita sit, ut dicis ipse, an potius, ut Cratylus ait. *Herm.* Enimvero, o Socrates, licet frequenter cum hoc ceterisque permultis iam disputaverim, nondum tamen persuaderi mihi potest, aliam esse nominis rectitudinem, quam conventionem ipsam consensionemque. Mihi quidem videtur, quodcunque nomen quis cuique imponat, id esse rectum. Ac si rursus commutet, aliudque imponat, nihilominus quam primum, quod illi succedit nomen rectum existere: quemadmodum servis nomina commutare solemus: nulli quippe rei natura nomen inesse, sed lege & usu illorum qui sic vocare consueverunt. Quod quidem si aliter se habet, paratus sum, non a Cratylo tantum, verum etiam a quovis alio discere atque audire. *So.* Forte aliquid dicis, Hermogenes: consideremus

μόγενες· σκεψώμεθα δέ. ὃ ἂν θῇ καλεῖν τις ἕκαστον, τοῦτ' p.
ἔστιν ἑκάστῳ ὄνομα; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Καὶ ἂν 385
ἰδιώτης καλῇ καὶ ἂν πόλις; ΕΡΜ. Φημί. ΣΩ. Τί οὖν ἂν a.
ἐγὼ καλῶ ὁτιοῦν τῶν ὄντων; οἷον, ὃ νῦν καλοῦμεν ἄνθρωπον, ἐὰν ἐγὼ τοῦτο ἵππον προσαγορεύω, ὃ δὲ νῦν ἵππον, ἄνθρωπον, ἔσται δημοσίᾳ μὲν ὄνομα ἄνθρωπος τῷ αὐτῷ, ἰδίᾳ δὲ ἵππος; καὶ ἰδίᾳ μὲν αὖ ἄνθρωπος, δημοσίᾳ δὲ ἵππος; οὕτω λέγεις; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Φέρε δή μοι τόδε εἰπέ. b.
καλεῖς τι ἀληθῆ λέγειν καὶ ψευδῆ; ΕΡΜ. Ἔγωγε. ΣΩ.
Οὐκοῦν εἴη ἂν λόγος ἀληθὴς, ὁ δὲ, ψευδής; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν οὗτος ὃς ἂν τὰ ὄντα λέγῃ ὡς ἔστιν, ἀληθής· ὃς δ' ἂν ὡς οὐκ ἔστι, ψευδής; ΕΡΜ. Ναί. ΣΩ. Ἔστιν ἄρα τοῦτο λόγῳ λέγειν τὰ ὄντα τε καὶ μή; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὁ λόγος δ' ἐστὶν ὁ ἀληθὴς, πότερον ὅλος μὲν, ἀληθὴς, τὰ μόρια δ' αὐτοῦ οὐκ ἀληθῆ; ΕΡΜ. Οὔκ· ἀλλὰ καὶ τὰ c.
μόρια. ΣΩ. Πότερον δὲ τὰ μὲν μεγάλα μόρια, ἀληθῆ, τὰ δὲ σμικρὰ, οὔ; ἢ πάντα; ΕΡΜ. Πάντα οἶμαι ἔγωγε. ΣΩ.

itaque. Quodcunque imponit quis cuique nomen vocatque, id illi nomen esse asseris? *Herm.* Mihi sane ita videtur. *So.* Et sive privatus vocet, sive civitas? *Herm.* Assero. *So.* Quid vero, si ipse rem aliquam vocem, veluti si quem nunc hominem vocamus, ego equum nominem; quemve equum, hominem? publice quidem erit eidem homo nomen, privatim equus; & privatim rursus homo, publice equus. itane loqueris? *Herm.* Ita videtur. *So.* Dic iterum, num aliquid nuncupas vera loqui, aliquid loqui falsa? *Herm.* Equidem. *So.* Nonne illa quidem vera erit oratio, haec autem oratio falsa? *Herm.* Ita prorsus. *So.* Illa vero oratio, quae existentia dicit ut existunt, vera est; quae ut non existunt, falsa? *Herm.* Certe. *So.* Est autem hoc, oratione, ea quae sunt, & quae non sunt, dicere? *Herm.* Id ipsum. *So.* Oratio quae vera est, utrum tota quidem est vera, partes non verae? *Herm.* Immo & partes verae. *So.* Utrum partes magnae verae, exiguae vero particulae falsae: an verae sunt omnes? *Herm.* Omnes arbi-

Ἔστιν οὖν ὅ, τι λέγεις λόγου σμικρότερον μόριον ἄλλο ἢ ὄνομα; ΕΡΜ. Οὔκ· ἀλλὰ τοῦτο σμικρότατον. ΣΩ. Καὶ τὸ ὄνομα ἆρα τὸ τοῦ ἀληθοῦς λόγου λέγεται; ΕΡΜ. Ναί. ΣΩ. Ἀληθές γε, ὡς φής. ΕΡΜ. Ναί. ΣΩ. Τὸ δὲ τοῦ ψευδοῦς μόριον, οὐ ψευδές; ΕΡΜ. Φημί. ΣΩ. Ἔστιν ἄρα ὄνομα
d. ψευδὲς καὶ ἀληθὲς λέγειν, εἴπερ καὶ λόγον; ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Ὃ ἂν ἄρα ἕκαστος φῇ τῳ ὄνομα εἶναι, τοῦτό ἐστιν ἑκάστῳ ὄνομα; ΕΡΜ. Ναί. ΣΩ. Ἢ καὶ ὁπόσα ἂν τις φῇ ἑκάστῳ ὀνόματα εἶναι, τοσαῦτα ἔσται; καὶ τότε ὁπόταν φῇ; ΕΡΜ. Οὐ γὰρ ἔχω ἔγωγε, ὦ Σώκρατες, ὀνόματος ἄλλην ὀρθότητα, ἢ ταύτην· ἐμοὶ μὲν ἕτερον εἶναι καλεῖν ἑκάστῳ ὄνομα, ὃ ἐγὼ ἐθέμην, σοὶ δὲ ἕτερον, ὃ ἂν σύ. οὕτω δὲ καὶ ταῖς πόλεσιν ἐρῶ ἰδίᾳ ἑκάσταις ἐπὶ τοῖς αὐτοῖς κείμενα ὀνόματα.
e. καὶ Ἕλλησι παρὰ τοὺς ἄλλους Ἕλληνας, καὶ Ἕλλησι παρὰ βαρβάρους. ΣΩ. Φέρε δὴ ἴδωμεν, ὦ Ἑρμόγενες, πότερον καὶ τὰ ὄντα οὕτως ἔχειν σοι φαίνεται, ἰδίᾳ αὐτῶν ἡ οὐσία εἶναι ἑκάστῳ, ὥσπερ Πρωταγόρας ἔλεγε, λέγων πάντων

tror. *So.* Habes orationis partem aliquam minorem nomine? *Herm.* Nequaquam: haec enim pars minima. *So.* Et nomen quidem hoc pars orationis verae? *Herm.* Procul dubio. *So.* Pars utique vera, ut ais ipse. *Herm.* Vera. *So.* Pars autem falsa. *Herm.* Aio. *So.* Licet ergo nomen verum, & nomen falsum dicere, siquidem & orationem. *Herm.* Quid prohibet? *So.* Quod igitur quisque cuique nomen esse ait, id cuique nomen est? *Herm.* Id ipsum. *So.* An etiam quotcunque quis nomina cuique tribuit, totidem erunt? ac etiam quandocunque tribuit? *Herm.* Haud equidem habeo, Socrates, aliquam praeter hanc nominis rectitudinem, ut videlicet liceat mihi quidem alio rem vocare, quod ipse imposui, nomine: tibi autem alio, quod tu imposuisti. ita equidem in civitatibus video eorundem propria quaedam haberi nomina, & Graecis ad alios Graecos, & Graecis ad Barbaros. *So.* Animadvertamus, Hermogenes, utrum res ipsae ita se habere tibi videantur, ut propria rerum apud unumquemque essentia sit, quemadmodum Protagoras

χρημάτων μέτρον εἶναι ἄνθρωπον· ὡς ἄρα οἷα μὲν ἂν ἐμοὶ p.
φαίνηται τὰ πράγματα εἶναι, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα 386
δ' ἄν σοι, τοιάδε· ἢ ἔχειν δοκεῖ σοι ἄττα αὐτῶν τινὰ βεβαιό- a.
τητα τῆς οὐσίας. ΕΡΜ. Ἤδη ποτὲ ἔγωγε, ὦ Σώκρατες,
ἀπορῶν, καὶ ἐνταῦθα ἐξηνέχθην εἰς ἄπερ Πρωταγόρας λέ-
γει· οὐ πάνυ τι μέντοι μοι δοκεῖ οὕτως ἔχειν. ΣΩ. Τί δέ; ἐς
τόδε ἦλθ ἐξηνέχθης, ὥστε μὴ πάνυ σοι δοκεῖν εἶναί τινὰ ἀν-
θρωπον πονηρόν; ΕΡΜ. Οὐ μὰ τὸν Δία· ἀλλὰ πολλάκις δὴ b.
αὐτὸ πέπονθα, ὥστέ μοι δοκεῖν πάνυ πονηροὺς εἶναί τινας
ἀνθρώπους, καὶ μάλα συχνούς. ΣΩ. Τί δέ; πάνυ χρηστοὶ
οὔπω σοὶ ἔδοξαν εἶναι ἄνθρωποι; ΕΡΜ. Καὶ μάλα ὀλίγοι.
ΣΩ. Ἔδοξαν δ' οὖν; ΕΡΜ. Ἔμοιγε. ΣΩ. Πῶς οὖν τοῦτο
τίθεσαι; ἆρ' ὧδε; τοὺς μὲν, πάνυ χρηστούς, πάνυ φρονίμους·
τοὺς δὲ, πάνυ πονηροὺς, πάνυ ἄφρονας; ΕΡΜ. Ἔμοιγε δο-
κεῖ οὕτως. ΣΩ. Οἷόν τε οὖν ἐστιν, εἰ Πρωταγόρας ἀληθῆ c.
ἔλεγε, καὶ ἔστιν αὕτη ἡ ἀλήθεια, τὸ, οἷα ἂν δοκῇ ἑκάστῳ,
τοιαῦτα καὶ εἶναι, τοὺς μὲν ἡμῶν, φρονίμους εἶναι, τοὺς

tradidit, rerum omnium dicens hominem esse mensuram: ita ut qualia mihi quaeque videntur, talia & mihi sint: item qualia tibi, & tibi talia? an potius quaedam esse putes, quae essentiae suae quandam habeant firmitatem. *Herm.* Quandoque, o Socrates, dubitans ad haec deductus sum, quae tradit Protagoras. ita tamen esse haud satis mihi persuadeo. *So.* Numquid & ad hoc aliquando es deductus, ut tibi nequaquam videretur aliquem esse hominem omnino malum? *Herm.* Non, per Iovem. immo saepenumero ita sum affectus, ut existimarem homines nonnullos omnino malos esse, & quidem plurimos. *So.* Prorsus autem boni nulli adhuc tibi visi sunt? *Herm.* Admodum pauci. *So.* Visi ergo sunt aliqui? *Herm.* Aliqui. *So.* Qua ratione hoc iudicas? hacne? alios quidem omnino bonos esse, omnino prudentes: alios vero prorsus pravos, imprudentes omnino? *Herm.* Mihi sane ita videtur. *So.* Si Protagoras vera dixit, estque haec ipsa veritas, ut qualia quaeque cuique videntur, talia sint: fierine potest, ut alii homi-

δὲ, ἄφρονας; ΕΡΜ. Οὐ δῆτα. ΣΩ. Καὶ ταῦτά γε, ὡς ἐγῷμαι, σοὶ πάνυ δοκεῖ, φρονήσεως οὔσης καὶ ἀφροσύνης, μὴ πάνυ δυνατὸν εἶναι Πρωταγόραν ἀληθῆ λέγειν. οὐδὲ γὰρ ἂν που τῇ ἀληθείᾳ ὁ ἕτερος τοῦ ἑτέρου φρονιμώτερος εἴη, d. εἴπερ ἃ ἂν ἑκάστῳ δοκῇ, ἑκάστῳ ἀληθῆ ἔσται. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Ἀλλὰ μὴν οὐδὲ κατ' Εὐθύδημόν γε, οἶμαι, σοὶ δοκεῖ, πᾶσι πάντα ὁμοίως εἶναι ἅμα καὶ ἀεί. οὐδὲ γὰρ ἂν οὕτως εἶεν οἱ μὲν, χρηστοὶ, οἱ δὲ, πονηροὶ, εἰ ὁμοίως ἅπασι καὶ ἀεὶ ἀρετή τε καὶ κακία εἴη. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν, εἰ μήτε πάντα πᾶσιν ἐστὶν ὁμοίως ἅμα καὶ ἀεὶ, μήτε ἑκάστῳ ἰδίᾳ ἕκαστον τῶν ὄντων ἐστὶ, δῆλον δὴ ὅτι αὐτὰ αὐτῶν οὐσίαν ἔχοντα τινὰ βέβαιον ἐστὶ τὰ πράγματα, οὐ e. πρὸς ἡμᾶς, οὐδὲ ὑφ' ἡμῶν ἑλκόμενα ἄνω καὶ κάτω τῷ ἡμετέρῳ φαντάσματι, ἀλλὰ καὶ καθ' αὑτὰ, πρὸς τὴν αὐτῶν οὐσίαν ἔχοντα, ἥπερ πέφυκε. ΕΡΜ. Δοκεῖ μοι, ὦ Σώκρατες, οὕτως ἔχειν. ΣΩ. Πότερον οὖν αὐτὰ μὲν ἂν εἴη οὕτω πεφυκότα, αἱ δὲ πράξεις αὐτῶν οὐ κατὰ τὸν αὐτὸν τρόπον;

num prudentes sint, imprudentes alii? *Herm.* Nequaquam. *So.* Atqui haec, ut arbitror, tibi omnino videntur: cum videlicet prudentia quaedam & imprudentia sit, Protagoram haud omnino vera loqui posse. neque enim alter altero revera prudentior erit, si quae cuique videntur, cuique vera erunt. *Herm.* Ita est. *So.* At neque Euthydemo assentiris, ut arbitror, dicenti, omnia omnibus esse similiter ac semper. neque enim alii boni, alii mali essent, si semper & aeque omnibus & virtus inesset & pravitas. *Herm.* Vera loqueris. *So.* Ergo si neque omnia omnibus insunt semper atque similiter, neque cui proprium unumquodque: constat, res ipsas esse quae essentiam quandam firmam in se habent: neque quo ad nos, neque a nobis per imaginationem sursum deorsumque distractae, sed secundum se ipsas quo ad ipsarum essentiam, ut natura institutae sunt, permanentes. *Herm.* Idem mihi quoque videtur, o Socrates. *So.* Utrum res ipsae ita natura consistunt, actiones autem illarum non ita, sed aliter? an & actiones ipsae similiter quae-

ἢ καὶ αὐταὶ ἔν τι εἶδος τῶν ὄντων εἰσὶν αἱ πράξεις; ΕΡΜ. Πάνυ γε καὶ αὐταί. ΣΩ. Κατὰ τὴν αὐτῶν ἄρα φύσιν καὶ αἱ πράξεις πράττονται, οὐ κατὰ τὴν ἡμετέραν δόξαν. οἷον, ἐάν τι ἐπιχειρήσωμεν ἡμεῖς τῶν ὄντων τέμνειν, πότερον ἡμῖν τμητέον ἔκαστον ὡς ἂν ἡμεῖς βουλώμεθα, καὶ ᾧ ἂν βουληθῶμεν; ἢ, ἐὰν μὲν κατὰ τὴν φύσιν βουληθῶμεν ἕκαστον τέμνειν τοῦ τέμνειν τε καὶ τέμνεσθαι, καὶ ᾧ πέφυκε, τεμοῦμέν τε, καὶ πλέον τι ἡμῖν ἔσαι, καὶ ὀρθῶς πράξομεν τοῦτο· ἐὰν δὲ παρὰ φύσιν, ἐξαμαρτησόμεθά τε καὶ οὐδὲν πράξομεν; ΕΡΜ. Ἔμοιγε δοκεῖ οὕτως. ΣΩ. Οὐκοῦν καὶ ἐὰν κάειν τι ἐπιχειρήσωμεν, οὐ κατὰ πᾶσαν δόξαν δεῖ κάειν, ἀλλὰ κατὰ τὴν ὀρθήν; αὕτη δ' ἐστὶν, ἣ ἐπέφυκει ἕκαστον κάεσθαί τε καὶ κάειν, καὶ ᾧ ἐπέφυκει. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν καὶ τἆλλα οὕτως. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν οὐ καὶ τὸ λέγειν μία τίς τῶν πράξεών ἐστί; ΕΡΜ. Ναί. ΣΩ. Πότερον οὖν ᾗ ἄν τῳ δοκῇ λεκτέον εἶναι, ταύτῃ λέγων, ὀρθῶς λέξει; ἢ, ἐὰν μὲν ᾗ πέφυκε τὰ πράγματα λέγειν τε καὶ λέγεσθαι, καὶ

p. 387 a. b. c.

dam rerum ſpecies ſunt? *Herm.* Et ipſae omnino. *So.* Ergo actiones ipſae ſecundum naturam ſuam, non ſecundum opinionem noſtram, fiunt. Quemadmodum, ſi nos rem aliquam dividere ſtatuamus, utrum ſic dividenda res quaeque eſt, ut nos volumus, & quo volumus? an potius, ſi unumquodque dividamus ſecundum naturam, qua dividere & dividi oportet, itemque eo quo ſecundum naturam diviſio fieri debet, dividemus utique recte, & aliquid proficiemus, ac recte iſtud agemus? ſin autem praeter naturam, aberrabimus, nihilque proficiemus? *Herm.* Mihi quidem ita videtur. *So.* Atque etiam ſi comburere aliquid aggrediamur, non ſecundum omnem opinionem comburere oportet, ſed ſecundum opinionem rectam. haec autem eſt, qua ratione naturaliter quodque comburi debet atque comburere, & quo debet. *Herm.* Vera haec ſunt. *So.* Nonne eadem de ceteris ratio? *Herm.* Eadem. *So.* An non & dicere una quaedam operationum eſt? *Herm.* Eſt plane. *So.* Utrum recte dicet, qui ut ſibi dicendum videtur, ita

ᾧ ταύτῃ καὶ τούτῳ λέγῃ, πλέον τέ τι ποιήσει καὶ ἐρεῖ· ἐὰν δὲ μὴ, ἐξαμαρτήσεταί τε καὶ οὐδὲν ποιήσει; ΕΡΜ. Οὕτω μοι δοκεῖ ὡς λέγεις. ΣΩ. Οὐκοῦν τοῦ λέγειν μόριον τὸ ὀνομάζειν. ὀνομάζοντες γάρ που λέγουσι τοὺς λόγους. ΕΡΜ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ τὸ ὀνομάζειν, πρᾶξίς τις ἐστιν, εἴπερ καὶ τὸ λέγειν πρᾶξίς τις ἦν περὶ τὰ πράγματα; ΕΡΜ.
d. Ναί. ΣΩ. Αἱ δὲ πράξεις ἐφάνησαν ἡμῖν οὐ πρὸς ἡμᾶς οὖσαι, ἀλλ' αὑτῶν τινὰ ἰδίαν φύσιν ἔχουσαι. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν καὶ ὀνομαστέον ᾗ πέφυκε τὰ πράγματα ὀνομάζειν τε καὶ ὀνομάζεσθαι, καὶ ᾗ, ἀλλ' οὐχ ᾗ ἂν ἡμεῖς βουληθῶμεν, εἴπέρ τι τοῖς ἔμπροσθεν μέλλει ὁμολογούμενον εἶναι; καὶ οὕτω μὲν ἂν πλέον τι ποιοῖμεν καὶ ὀνομάζοιμεν, ἄλλως δὲ οὔ; ΕΡΜ. Φαίνεταί μοι. ΣΩ. Φέρε δὴ, ὃ ἔδει
·τέμνειν, ἔδει τῷ, Φαμὲν, τέμνειν; ΕΡΜ. Ναί. ΣΩ. Καὶ
e. ὃ ἔδει κερκίζειν, ἔδει τῷ κερκίζειν; καὶ ὃ ἔδει τρυπᾶν, ἔδει τῷ τρυπᾷν; ΕΡΜ. Πάνυγε. ΣΩ. Καὶ ὃ ἔδει δὴ ὀνομάζειν,

dicit? an potius qui ita dicit, ut ipsa rerum natura dicere dicique requirit? & si quo natura exigit, eo & dicat, aliquid dicendo proficiet: sin aliter, aberrabit, nihilque efficiet. *Herm.* Ita equidem ut ais, existimo. *So.* An non dicendi pars quaedam est nominare? & qui nominant, loquuntur quodammodo? *Herm.* Omnino. *So.* Et nominare igitur actio quaedam est? quandoquidem & dicere actio quaedam circa res est. *Herm.* Prorsus. *So.* Actiones autem nobis apparuerunt haud ad nos respicere, sed propriam quandam sui habere naturam. *Herm.* Est ita. *So.* Nominandum itaque ea ratione, qua rerum ipsarum natura nominare ac nominari postulat, & quo postulat: non autem pro nostrae voluntatis arbitrio; si standum est in his quae dicta sunt. atque ita aliquid peragemus, nominabimusque; aliter vero nequaquam. *Herm.* Mihi sic videtur. *So.* Quod incidendum est, aliquo incidendum? *Herm.* Aliquo. *So.* Et quod texendum, aliquo certe texendum? quodve perforandum, aliquo perforandum? *Herm.* Plane. *So.* Item quod nominandum, aliquo nominandum? *Herm.* Sic oportet. *So.* Quid illud, quo

ἔδει τῷ ὀνομάζειν; ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Τί δὲ ἦν ἐκεῖνο p.
ᾧ ἔδει τρυπᾶν; ΕΡΜ. Τρύπανον. ΣΩ. Τί δὲ ᾧ κερκίζειν; 388
ΕΡΜ. Κερκίς. ΣΩ. Τί δὲ ᾧ ὀνομάζειν; ΕΡΜ. Ὄνομα. a.
ΣΩ. Εὖ λέγεις. ὄργανον ἄρα τί ἐστι καὶ τὸ ὄνομα. ΕΡΜ.
Πάνυ γε. ΣΩ. Εἰ οὖν ἐγὼ ἐροίμην τί ἦν ὄργανον ἡ κερκὶς,
οὐχ ᾧ κερκίζομεν; ΕΡΜ. Ναί. ΣΩ. Κερκίζοντες δὲ τί ὁρῶ-
μεν; οὐ τὴν κρόκην καὶ τοὺς στήμονας συγκεχυμένους διά-
κρίνομεν; ΕΡΜ. Ναί. ΣΩ. Οὐκοῦν καὶ περὶ τρυπάνου ἔξεις b.
οὕτως εἰπεῖν, καὶ περὶ τῶν ἄλλων; ΕΡΜ. Πάνυ γε. ΣΩ.
Ἔχεις δὴ καὶ περὶ ὀνόματος οὕτως εἰπεῖν. ὀργάνῳ ὄντι τῷ
ὀνόματι ὀνομάζοντες τί ποιοῦμεν; ΕΡΜ. Οὐκ ἔχω λέγειν.
ΣΩ. Ἆρ' οὖν διδάσκομέν τι ἀλλήλους, καὶ τὰ πράγματα
διακρίνομεν ᾗ ἔχει; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὄνομα ἄρα, δι-
δασκαλικόν τι ἐστὶν ὄργανον καὶ διακριτικὸν τῆς οὐσίας, ὥσ-
περ κερκὶς, ὑφάσματος. ΕΡΜ. Ναί. ΣΩ. Ὑφαντικὸν δέ γε c.
ἡ κερκίς; ΕΡΜ. Πῶς δ' οὔ. ΣΩ. Ὑφαντικὸς μὲν ἄρα κερ-
κίδι καλῶς κεχρήσεται· καλῶς δ' ἐστὶν ὑφαντικῶς. διδασκαλι-

aliquid perforare oportet? *Herm.* Terebrum. *So.* Quid quo texere? *Herm.* Radius pectenque. *So.* Quid quo nominare? *Herm.* Nomen. *So.* Bene loqueris: ideoque instrumentum aliquod nomen est. *Herm.* Est. *So.* Si quaererem, quod instrumentum est radius pectenque, responderes quo teximus? *Herm.* Non aliud. *So.* Texentes vero quid facimus? an non subtegmen & stamina confusa, radio discernimus? *Herm.* Isthuc ipsum. *So.* Idem de terebro ac ceteris respondebis? *Herm.* Idem. *So.* Potes & circa nomen similiter declarare. quid facimus, dum nomine ipso, quod instrumentum est, aliquid nominamus? *Herm.* Nequeo dicere. *So.* Numquid docemus invicem aliquid, ac res ut sunt, discernimus? *Herm.* Nempe. *So.* Nomen itaque rerum substantias docendi discernendique instrumentum est, sic ut pecten & radius ipse telae. *Herm.* Sic est dicendum. *So.* Radius autem textorium est instrumentum. *Herm.* Quidni? *So.* Textor itaque radio ac pectine recte utetur. recte, inquam, secundum texendi rationem. Ille vero qui docet, no-

κὸς δὲ, ὀνόματι καλῶς· καλῶς δ' ἐξὶ διδασκαλικῶς. ΕΡΜ. Ναί. ΣΩ. Τῷ τίνος οὖν ἔργῳ ὁ ὑφάντης καλῶς χρήσεται, ὅταν τῇ κερκίδι χρῆται; ΕΡΜ. Τῷ τοῦ τέκτονος. ΣΩ. Πᾶς δὲ, τέκτων ἐξὶν, ἢ ὁ τὴν τέχνην ἔχων; ΕΡΜ. Ὁ τὴν τέχ-
d. νην. ΣΩ. Τῷ τίνος δὲ ἔργῳ ὁ τρυπητὴς καλῶς χρήσεται, ὅταν τῷ τρυπάνῳ χρῆται; ΕΡΜ. Τῷ τοῦ χαλκέως. ΣΩ. Ἆρ' οὖν πᾶς; χαλκεὺς, ἢ ὁ τὴν τέχνην ἔχων; ΕΡΜ. Ὁ τὴν τέχνην ἔχων. ΣΩ. Εἶεν. τῷ δὲ τίνος ἔργῳ ὁ διδασκαλικὸς χρήσεται, ὅταν τῷ ὀνόματι χρῆται; ΕΡΜ. Οὐδὲ τοῦτ' ἔχω. ΣΩ. Οὐδὲ τοῦτ' ἔχεις εἰπεῖν, τίς παραδίδωσιν ἡμῖν τὰ ὀνόματα οἷς χρώμεθα; ΕΡΜ. Οὐ δῆτα. ΣΩ. Ἆρ' οὐχὶ ὁ νόμος δοκεῖ σοι ὁ παραδιδοὺς αὐτά; ΕΡΜ. Ἔοικε. ΣΩ.
e. Νομοθέτου ἄρα ἔργῳ χρῆσεται ὁ διδασκαλικὸς, ὅταν ὀνόματι χρῆται. ΕΡΜ. Δοκεῖ μοι. ΣΩ. Νομοθέτης δὲ σοι δοκεῖ πᾶς εἶναι ἀνὴρ, ἢ ὁ τὴν τέχνην ἔχων; ΕΡΜ. Ὁ τὴν τέχνην. ΣΩ. Οὐκ ἄρα παντὸς ἀνδρὸς, ὦ Ἑρμόγενες, ὄνομα θέσθαι ἐξὶν, ἀλλά τινος ὀνοματουργοῦ. οὗτος δ' ἐξὶν, ὡς

mine utetur; & recte. recte videlicet secundum docendi propriam rationem. *Herm.* Certe. *So.* Cuius artificis opere bene utetur textor, quando radio pectineque utetur? *Herm.* Fabri lignarii. *So.* Quisquene lignarius faber, an potius qui artem habet? *Herm.* Qui habet artem. *So.* Cuius item opere recte perforator utetur, quando terebro utetur? *Herm.* Aerarii fabri. *So.* Num quisque est faber aerarius? an potius qui habet artem? *Herm.* Qui artem. *So.* Age ergo, dic, cuius opere ipse doctor utatur, quoties nomine utitur. *Herm.* Nescio. *So.* Assignare & hoc nescis? quis nobis tradit nomina quibus utimur? *Herm.* Ignoro & hoc. *So.* Nonne lex tibi videtur nobis nomina statuisse? *Herm.* Videtur. *So.* Ergo legislatoris utetur opere doctor, quando nomine ipso utetur. *Herm.* Opinor. *So.* Conditor legis quilibet tibi aeque videtur, an qui arte est praeditus? *Herm.* Arte praeditus. *So.* Quare non cuiuscunque viri est, Hermogenes, nomen imponere, verum cuiusdam nominum auctoris. hic autem etiam, ut videtur, nominum in-

ἔοικεν, ὁ νομοθέτης· ὃς δὴ τῶν δημιουργῶν σπανιώτατός ἐν p.
ἀνθρώποις γίνεται. ΕΡΜ. Ἔοικεν. ΣΩ. Ἴθι δή, ἐπίσκεψαι 389
ποῖ βλέπων ὁ νομοθέτης, τὰ ὀνόματα τίθεται. ἐκ τῶν ἐμ- a.
προσθεν δὲ ἀνάσκεψαι. ποῖ βλέπων ὁ τέκτων, τὴν κερκίδα
ποιεῖ; ἆρ' οὐ πρὸς τοιοῦτόν τι ὃ ἐπεφύκει κερκίζειν; ΕΡΜ.
Πάνυ γε. ΣΩ. Τι δαί; ἂν καταγῇ αὐτῷ ἡ κερκὶς ποιοῦντι,
πότερον πάλιν ποιήσει ἄλλην, πρὸς τὴν κατεαγυῖαν βλέπων, b.
ἢ πρὸς ἐκεῖνο τὸ εἶδος πρὸς ὅπερ καὶ ἦν κατέαξεν ἐποίει;
ΕΡΜ. Πρὸς ἐκεῖνο, ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν ἐκεῖνο δικαιό-
τατ' ἂν αὐτὸ ὅπερ ἐστι κερκὶς καλέσαιμεν. ΕΡΜ. Ἔμοιγε
δοκεῖ. ΣΩ. Οὐκοῦν ἐπειδὰν δέῃ λεπτῷ ἱματίῳ, ἢ παχεῖ, ἢ
λίνῳ, ἢ ἐρίῳ, ἢ ὁποιῳοῦν τινι κερκίδα ποιεῖν, πάσας μὲν δεῖ
τὸ τῆς κερκίδος ἔχειν εἶδος, οἵα δ' ἑκάστῳ καλλίστη ἐπεφύκει,
ταύτην ἀποδιδόναι τὴν φύσιν εἰς τὸ ἔργον ἑκαστον; ΕΡΜ. c.
Ναί. ΣΩ. Καὶ περὶ τῶν ἄλλων δὴ ὀργάνων ὁ αὐτὸς τρόπος·
τὸ φύσει ἑκάστῳ πεφυκὸς ὄργανον ἐξευρόντα, δεῖ ἀποδοῦναι

stitutor: qui rarior omni artifice inter homines reperitur. *Herm.* Apparet. *So.* Animadverte, obsecro, quo respiciens nominum institutor, nomina rebus imponit: immo superiorum exempla diiudica, quo respiciens faber radium pectenque conficit. nonne ad tale aliquid, quod ad texendum natura sit aptum? *Herm.* Prorsus. *So.* Si in ipso opere radius hic frangatur, utrum alium iterum fabricabit ad fracti istius imaginem? an potius ad speciem ipsam respiciet, ad cuius exemplar radium, qui fractus est, fecerat? *Herm.* Ad ipsam, ut arbitror, speciem. *So.* Nonne speciem ipsam merito ipsius radii rationem, ipsumque radium maxime nominabimus? *Herm.* Opinor. *So.* Si quando oportet conficiendae vesti tenui, vel crassiori lineae, sive laneae, sive cuivis alteri, radium apparare, radios singulos oportet speciem radii ipsius habere: qualis vero cuique naturaliter est accommodatissimus, talem ad opus peragendum, ut natura postulat, adhibere? *Herm.* Oportet sane. *So.* Eadem de ceteris instrumentis est ratio. nam quod natura cuique congruit, instrumentum adinveniendum est, atque id illi attri-

εἰς ἐκεῖνο ἐξ οὗ ἂν ποιῇ, οὐχ οἷον ἂν αὐτὸς βουληθῇ, ἀλλ' οἷον ἐπεφύκει. τὸ φύσει γὰρ ἑκάστῳ, ὡς ἔοικε, τρύπανον πεφυκὸς εἰς τὸν σιδηρον δεῖ ἐπίσασθαι τιθέναι. ΕΡΜ. Πάνυ γε. ΣΩ. Καὶ τὴν φύσει κερκιδα ἑκάστῳ πεφυκυῖαν, εἰς ξύλον. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Φύσει γὰρ ἦν ἑκάστῳ εἶδει ὑφάσμα-
d. τος, ὡς ἔοικεν, ἑκάστη κερκὶς, καὶ τὰ ἄλλα οὕτως. ΕΡΜ. Ναί. ΣΩ. Ἆρ' οὖν, ὦ βέλτιστε, καὶ τὸ ἑκάστῳ φύσει πεφυκὸς ὄνομα τὸν νομοθέτην ἐκεῖνον εἰς τοὺς φθόγγους καὶ τὰς συλλαβὰς δεῖ ἐπίσασθαι τιθέναι· καὶ βλέποντα πρὸς αὐτὸ ἐκεῖνο οὗ ἔστιν ὄνομα, πάντα τὰ ὀνόματα ποιεῖν τε καὶ τίθεσθαι, εἰ μέλλει κύριος εἶναι ὀνομάτων θέτης. εἰ δὲ μὴ εἰς τὰς αὐτὰς συλλαβὰς ἕκαστος ὀνομαθέτης τίθησιν, οὐδὲν δεῖ τοῦτο ἀγ-
e. νοεῖν. οὐ δὲ γὰρ εἰς τὸν αὐτὸν σίδηρον ἅπας χαλκεὺς τίθησι, τοῦ αὐτοῦ ἕνεκα, ποιῶν τὸ αὐτὸ ὄργανον· ἀλλ' ὅμως, ἕως ἂν τὴν αὐτὴν ἰδέαν ἀποδιδῷ, ἐάν τε ἐν ἄλλῳ σιδήρῳ, ὁμοίως
p. ὀρθῶς ἔχει τὸ ὄργανον· ἐάν τε ἐνθάδε, ἐάν τε ἐν βαρβάροις
390 τις ποιῇ. ἦ γάρ; ΕΡΜ. Πάνυ γε. ΣΩ. Οὐκοῦν οὕτως ἀξιώ-
a.

buendum, ex quo efficit, non qualecunque vult qui fabricat, ſed quale natura ipſa exigit. Terebrum namque cuique accommodatum ſcire oportet in ferro perficere. *Herm.* Patet. *So.* Radium quin etiam ſingulis competentem, in ligno. *Herm.* Vera haec ſunt. *So.* Quippe ipſa ratione naturae alius radius telae alteri competit: & in aliis eodem modo. *Herm.* Sane. *So.* Oportet quoque, vir optime, ut ille nominum inſtitutor nomen natura rebus ſingulis aptum in vocibus & ſyllabis exprimat, ad idque reſpiciens quod ipſum nomen eſt, ſingula nomina fingat, atque attribuat, ſi revera nominum auctor eſt futurus. quod ſi non iisdem ſyllabis quisque nominum conditor nomen exprimit, animadvertendum eſt: quod nequa fabri omnes aerarii eodem in ferro id faciunt, quoties eiusdem gratia idem fabricant inſtrumentum. verum quatenus eandem ideam attribuunt, licet in alio & alio ferro, eatenus recte ſe habet inſtrumentum, ſive hic, ſive apud barbaros fabricent. nonne? *Herm.* Maxime. *So.* Nonne & eodem modo cenſebis,

σεις καὶ τὸν νομοθέτην τόν τε ἐνθάδε καὶ τὸν ἐν τοῖς βαρβάροις, ἕως ἂν τὸ τοῦ ὀνόματος εἶδος ἀποδιδῷ τὸ προσῆκον ἑκάστῳ ἐν ὁποιαισοῦν συλλαβαῖς, οὐδὲν χείρω νομοθέτην εἶναι τὸν ἐνθάδε, ἢ τὸν ὁπουοῦν ἄλλοθι; ΕΡΜ. Πάνυ γε. ΣΩ. Τίς οὖν ὁ γνωσόμενος εἰ τὸ προσῆκον εἶδος κερκίδος ἐν ὁποιῳ- b.
οῦν ξύλῳ κεῖται; ὁ ποιήσας, ὁ τέκτων; ἢ ὁ χρησόμενος, ὁ ὑφάντης; ΕΡΜ. Εἰκὸς μὲν μᾶλλον, ὦ Σώκρατες, τὸν χρησόμενον. ΣΩ. Τίς οὖν ὁ τῷ τοῦ λυροποιοῦ ἔργῳ χρησόμενος; ἆρ' οὐχ οὗτος ὃς ἐπίσαιτο ἂν εἰργασμένῳ κάλλιςα ἐπίσατεῖν, καὶ εἰργασμένον γνοίη εἴτ' εὖ εἴργασαι, εἴτε μή; ΕΡΜ. Πάνυ γε. ΣΩ. Τίς; ΕΡΜ. Ὁ κιθαρισής. ΣΩ. Τίς δὲ ὁ τὸ τοῦ ναυπηγοῦ; ΕΡΜ. Κυβερνήτης. ΣΩ. Τίς δὲ τῷ τοῦ νο- c.
μοθέτου ἔργῳ ἐπισατήσειέ τ' ἂν κάλλιςα, καὶ εἰργασμένον κρίνειε καὶ ἐνθάδε καὶ ἐν τοῖς βαρβάροις; ἆρ' οὐχ ὅσπερ χρήσεται; ΕΡΜ. Ναί. ΣΩ. Ἆρ' οὖν οὐχ ὁ ἐρωτᾷν ἐπισάμενος, οὗτός ἐςιν; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὁ δὲ αὐτὸς καὶ ἀποκρίνεσθαι; ΕΡΜ. Ναί. ΣΩ. Τὸν δὲ ἐρωτᾷν καὶ ἀποκρίνεσθαι ἐπισάμενον ἄλλό τι σὺ καλεῖς ἢ διαλεκτικόν; ΕΡΜ. Οὔκ.

donec inſtitutor nominum, qui apud nos eſt, & qui apud barbaros, nominis ſpeciem cuique competentem tribuerit in quibuslibet ſyllabis, nihilo deteriorem eſſe unum altero in nominibus imponendis? *Herm.* Equidem. *So.* Quis cogniturus eſt, utrum conveniens radii ſpecies cuicunque ligno ſit impreſſa? num faber, qui efficit? an textor uſurus? *Herm.* Probabile eſt, o Socrates, magis eum qui eſt uſurus, cognoſcere. *So.* Quis lyrae fabricatoris opere utitur? nonne ille qui fabricantem inſtruere poteſt, &, opus rectene an contra factum ſit, iudicare? *Herm.* Omnino. *So.* Quis ergo? *Herm.* Citharista. *So.* Quis autem opere ſtructoris navium? *Herm.* Gubernator. *So.* Quis item nominum conditoris operi optime praeſidebit, & expletum diiudicabit, & apud Graecos, & apud Barbaros? nonne & qui utetur? *Herm.* Is certe. *So.* An non is eſt qui interrogare ſcit? *Herm.* Iſte. *So.* Idem quoque reſpondere? *Herm.* Nempe. *So.* Eum vero qui interrogare ſcit atque reſpondere,

d. ἀλλὰ τοῦτο. ΣΩ. Τέκτονος μὲν ἄρα ἔργον ἐστὶ ποιῆσαι πηδάλιον, ἐπισατοῦντος κυβερνήτου, εἰ μέλλει καλὸν εἶναι πηδάλιον. ΕΡΜ. Φαίνεται. ΣΩ. Νομοθέτου δέ γε ὡς ἔοικεν, ὄνομα, ἐπισάτην ἔχοντος διαλεκτικὸν ἄνδρα, εἰ μέλλει καλῶς ὀνόματα θήσεσθαι. ΕΡΜ. Ἔοι ταῦτα. ΣΩ. Κινδυνεύει ἄρα, ὦ Ἑρμόγενες, εἶναι οὐ φαῦλον, ὡς σὺ οἴει, ἡ τοῦ ὀνόματος θέσις, οὐδὲ φαύλων ἀνδρῶν, οὐδὲ τῶν ἐπιτυχόντων. καὶ Κρατύλος ἀληθῆ λέγει, λέγων φύσει τὰ ὀνόματα εἶναι
e. τοῖς πράγμασι, καὶ οὐ πάντα, δημιουργὸν ὀνομάτων εἶναι, ἀλλὰ μόνον ἐκεῖνον τὸν ἀποβλέποντα εἰς τὸ τῇ φύσει ὄνομα ὂν ἑκάστῳ, καὶ δυνάμενον αὐτοῦ τό γε εἶδος τιθέναι εἴς τε τὰ γράμματα καὶ τὰς συλλαβάς. ΕΡΜ. Οὐκ ἔχω, ὦ Σώκρατες, ὅπως χρὴ πρὸς ἃ λέγεις ἐναντιοῦσθαι. ἴσως μέντοι
p. οὐ ῥᾴδιόν ἐστιν οὕτως ἐξαίφνης πεισθῆναι. ἀλλὰ δοκῶ μοι ὧδε
391 a. ἂν μᾶλλον πεισθήσεσθαί σοι, εἴ μοι δείξειας ἥν τινα φῂς εἶναι τὴν φύσει ὀρθότητα ὀνόματος. ΣΩ. Ἐγὼ μέν, ὦ μακάριε Ἑρμόγενες, οὐδεμίαν λέγω. ἀλλ' ἐπελάθου γε ὧν ὀλί-

alium vocas quam dialecticum? *Herm.* Dialecticum profecto. *So.* Fabri itaque opus est gubernaculum facere, gubernatore praecipiente, si bonum esse debet gubernaculum. *Herm.* Apparet. *So.* Nominum quoque auctoris, nomen, monente dialectico viro, si modo recte ponenda sunt nomina. *Herm.* Vera haec sunt. *So.* Apparet ergo, Hermogenes, haud leve quiddam, ut ipse censes, nominis impositionem esse, neque id esse imperitorum & quorumvis hominum opus. Nempe Cratylus vera loquitur, cum nomina dicit natura rebus competere, neque quemvis esse nominum auctorem, sed illum dumtaxat, qui ad nomen respicit, quod natura cuique convenit, posteaque speciem eam literis syllabisque inserere novit. *Herm.* Nescio, Socrates, qua ratione his quae dixisti, sit repugnandum. forte vero non facile est subito sic persuaderi. videor autem mihi hunc in modum tibi potius assensurus, si mihi ostenderis, quam dicas esse naturam rectam nominis rationem. *So.* Equidem, o beate Hermogenes, adhuc nullam dico. ferme namque e memoria excidit

γον πρότερον ἔλεγον, ὅτι οὐκ εἰδείην, ἀλλὰ σκεψοίμην μετὰ σοῦ. νῦν δὲ σκοπουμένοις ἡμῖν, ἐμοί τε καὶ σοί, τοσοῦτον μὲν ἤδη φαίνεται παρὰ τὰ πρότερα, φύσει τέ τινα ὀρθότητα ἔχον τ' εἶναι τὸ ὄνομα, καὶ οὐ παντὸς ἀνδρὸς ἐπίστασθαι καλῶς αὐτὸ πράγματι ὁτῳοῦν θέσθαι. ἢ οὔ; ΕΡΜ. Πάνυ γε. b.
ΣΩ. Οὐκοῦν τὸ μετὰ τοῦτο χρὴ ζητεῖν, εἴπερ ἐπιθυμεῖς εἰδέναι ἥτις ποτ' ἂν ἐστιν αὐτοῦ ἡ ὀρθότης. ΕΡΜ. Ἀλλὰ μὴν ἐπιθυμῶ γε εἰδέναι. ΣΩ. Σκόπει τοίνυν. ΕΡΜ. Πῶς οὖν χρὴ σκοπεῖν; ΣΩ. Ὀρθοτάτη μὲν τῆς σκέψεως, ὦ ἑταῖρε, μετὰ τῶν ἐπισταμένων, χρήματα ἐκείνοις τελοῦντα, καὶ χάριτας κατατιθέμενον. εἰσὶ δὲ οὗτοι, οἱ σοφισταί· οἵσπερ καὶ ὁ ἀδελφός σου Καλλίας πολλὰ τελέσας χρήματα, σοφὸς δο- c.
κεῖ εἶναι. ἐπειδὴ δὲ οὐκ ἐγκρατὴς εἶ τῶν πατρῴων, λιπαρεῖν χρὴ τὸν ἀδελφὸν, καὶ δεῖσθαι αὐτοῦ, διδάξαί σε τὴν ὀρθότητα περὶ τῶν τοιούτων, ἣν ἔμαθε παρὰ τοῦ Πρωταγόρου. ΕΡΜ. Ἄτοπος μέντ' ἂν εἴη μου, ὦ Σώκρατες, ἡ δέησις, εἰ τὴν μὲν ἀλήθειαν τὴν Πρωταγόρου ὅλως οὐκ ἀποδέχομαι, τὰ δὲ τῇ τοιαύτῃ ἀληθείᾳ ῥηθέντα ἀγαπῴην, ὡς του ἄξια.

quod dixeram ſupra, me videlicet hoc ignorare, verum una tecum perquirere. Nunc autem mihi & tibi ſimul inveſtigantibus hoc dumtaxat praeter ſuperiora compertum eſt, rectitudinem aliquam natura nomen habere, nec quemlibet poſſe nomen rebus accommodare. nonne? *Herm.* Valde. *So.* Conſiderandum reſtat, ſi noſſe deſideras, quaenam ipſius ſit nominis rectitudo, id eſt, ratio recta. *Herm.* Deſidero equidem. *So.* Animadverte igitur. *Herm.* Qua via inveſtigandum mones? *So.* Rectiſſima eſt, o amice, conſideratio, ab his qui ſciunt, haec perquirere, oblatis pecuniis, & gratiis inſuper actis. hi vero ſophiſtae ſunt; quibus frater tuus Callias multis erogatis pecuniis, ſapiens evaſiſſe videtur. Poſtquam vero in res paternas ius non habes, reliquum eſt ut fratrem ſupplex ores, te doceat nominum rectitudinem, quam a Protagora didicit. *Herm.* Quam abſurda haec eſſet petitio, Socrates, ſi cum illam Protagorae veritatem nullo modo recipiam, ea

ΣΩ. Ἀλλὰ εἰ μὴ αὖ σε ταῦτα ἀρέσκει, παρ' Ὁμήρου χρὴ
d. μανθάνειν, καὶ παρὰ τῶν ἄλλων ποιητῶν. ΕΡΜ. Καὶ τί λέγει, ὦ Σώκρατες, Ὅμηρος περὶ ὀνομάτων; καὶ ποῦ; ΣΩ. Πολλαχοῦ μέγιστα δὲ καὶ κάλλιστα, ἐν οἷς διορίζει ἐπὶ τοῖς αὐτοῖς ἅ τε οἱ ἄνθρωποι ὀνόματα καλοῦσι καὶ οἱ θεοί. ἢ οὐκ οἴει αὐτὸν μέγα τὶ καὶ θαυμάσιον λέγειν ἐν τούτοις περὶ ὀνομάτων ὀρθότητος; δῆλον γὰρ δὴ ὅτι οἵ γε θεοὶ αὐτὰ καλοῦσι πρὸς ὀρθότητα, ἅπερ ἐσὶ φύσει ὀνόματα. ἢ σὺ οὐκ οἴει;
e. ΕΡΜ. Εὖ οἶδα μὲν οὖν ἔγωγε, εἴπερ καλοῦσιν, ὅτι ὀρθῶς καλοῦσιν. ἀλλὰ ποῖα ταῦτα λέγεις; ΣΩ. Οὐκ οἶσθα ὅτι περὶ τοῦ ποταμοῦ τοῦ ἐν τῇ Τροίᾳ, ὃς ἐμονομάχει τῷ Ἡφαίσῳ, Ὃν Ξάνθον, φησὶ, καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον. ΕΡΜ. Ἔγωγε. ΣΩ. Τί οὖν δή; οὐκ οἴει τοῦτο σεμνόν τι
p. εἶναι, γνῶναι ὅπη ποτὲ ὀρθῶς ἔχει ἐκεῖνον τὸν ποταμὸν
392 a. Ξάνθον καλεῖν μᾶλλον ἢ Σκάμανδρον; εἰ δὲ βούλει, περὶ τῆς ὄρνιθος, ἣν λέγει ὅτι Χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες

quae ex veritate illa dicuntur, alicuius pretii aestimarem. *So.* At vero si tibi haec non placent, ab Homero ceterisque poëtis est discendum. *Herm.* Quid de nominibus, & ubi Homerus, o Socrates, tradit? *So.* Passim multa: maxima vero & pulcherrima sunt illa, in quibus distinguit circa eadem quae nomina homines, & quae dii ipsi inducunt. an non censes, ipsum in his magnificum aliquid & mirandum de recta ratione nominum tradere? constat enim, deos nominibus illis ad rectitudinem ipsam uti, quae natura consistunt. an non putas? *Herm.* Certe equidem scio, si qua dii vocant, recte eos admodum nominare. verum quaenam ista? *So.* An ignoras quod de Troiano flumine, quod singulari certamine cum Vulcano pugnavit, inquit? *Quod Xanthum dii vocant, viri Scamandrum. Herm.* Scio. *So.* An non censes magnificum quiddam cognitu esse hoc, qua ratione rectius sit, flumen illud Xanthum, quam Scamandrum nominare? Item, si vis, animadverte & istud, quod avem eandem dicit Chalcidem quidem a diis, Cymindin vero ab hominibus nominari. Levem

δὲ Κύμινδιν, φαῦλον ἡγῇ τὸ μάθημα, ὅσῳ ὀρθότερόν ἐστι καλεῖσθαι Χαλκὶς Κυμίνδιδος τῷ αὐτῷ ὀρνέῳ; ἢ τὴν Βατίειάν τε καὶ Μυρίνην, καὶ ἄλλα πολλὰ καὶ τούτου τοῦ ποιητοῦ καὶ ἄλλων; ἀλλὰ ταῦτα μὲν ἴσως μείζω ἐστὶν ἢ κατ' b. ἐμὲ καί σε ἐξευρεῖν· ὁ δὲ Σκαμάνδριός τε καὶ ὁ Ἀστυάναξ ἀνθρωπινώτερον διασκέψασθαι, ὡς ἐμοὶ δοκεῖ, καὶ ῥᾷον, ἃ φησιν ὀνόματα εἶναι τῷ τοῦ Ἕκτορος υἱεῖ, τίνα ποτὲ λέγει τὴν ὀρθότητα αὐτῶν. οἶσθα γὰρ δή που ταῦτα τὰ ἔπη ἐν οἷς ἔνεστιν ἃ ἐγὼ λέγω. ΕΡΜ. Πάνυ γε. ΣΩ. Πότερον οὖν οἴει Ὅμηρον ὀρθότερον ἡγεῖσθαι τῶν ὀνομάτων κεῖσθαι τῷ παιδὶ, τὸν Ἀστυάνακτα, ἢ τὸν Σκαμάνδριον; ΕΡΜ. Οὐκ ἔχω λέ- c. γειν. ΣΩ. Ὧδε δὴ σκόπει. εἴτις ἔροιτό σε πότερον οἴει ὀρθότερον καλεῖν τὰ ὀνόματα τοὺς φρονιμωτέρους, ἢ τοὺς ἀφρονεστέρους. ΕΡΜ. Δῆλον δὴ ὅτι τοὺς φρονιμωτέρους φαίην ἄν. ΣΩ. Πότερον οὖν αἱ γυναῖκες ἐν ταῖς πόλεσι φρονιμώτεραι σοὶ δοκοῦσιν εἶναι ἢ οἱ ἄνδρες, ὡς τὸ ὅλον εἰπεῖν γένος; ΕΡΜ. Οἱ ἄνδρες. ΣΩ. Οὐκοῦν οἶσθα ὅτι Ὅμηρος τὸ παιδίον

cognitionem hanc putas, ut sciatur, quanto rectius sit eandem avem Chalcidem, quam Cymindin nuncupare, vel Batieam atque Myrinen, aliaque permulta, & apud hunc poëtam, & apud alios talia? Verum istarum rerum inventio acutius ingenium, quam nostrum exigit. Scamandrius autem & Astyanax humano ingenio, ut mihi videtur, comprehendi, & facile percipi potest, (quae dicit Hectoris filii esse nomina) quam rectitudinem esse Homerus velit in his nominibus. Scis ea carmina quibus insunt, quae dico? *Herm.* Omnino. *So.* Utrum istorum nominum putas Homerum existimasse convenire magis puero, Astyanactem, an Scamandrium? *Herm.* Ignoro. *So.* Sic autem considera. si quis te interrogaret, utrum putes sapientiores rectius nomina rebus imponere, an minus sapientes? *Herm.* Responderem utique sapientiores? *So.* Utrum mulieres in urbibus sapientiores esse tibi videntur, an viri? quantum ad genus attinet. *Herm.* Viri. *So.* Nescis quod inquit Homerus, Hectoris filium a Troianis Astyanacta, a mu-

τὸ τοῦ Ἕκτορος ὑπὸ τῶν Τρώων φησὶ καλεῖσθαι Ἀσυά-
d. νακτα, Σκαμάνδριον δὲ δηλονότι ὑπὸ τῶν γυναικῶν, ἐπειδὴ
οἵγε ἄνδρες αὐτὸν Ἀσυάνακτα ἐκάλουν. ΕΡΜ. Ἔοικέ γε.
ΣΩ. Οὐκοῦν καὶ Ὅμηρος τοὺς Τρῶας σοφωτέρους ἡγεῖτο ἢ
τὰς γυναῖκας αὐτῶν. ΕΡΜ. Οἶμαι ἔγωγε. ΣΩ. Τὸν Ἀσυά-
νακτα ἄρα ὀρθότερον ᾤετο κεῖσθαι τῷ παιδὶ, ἢ τὸν Σκαμάν-
δριον. ΕΡΜ. Φαίνεται. ΣΩ. Σκοπῶμεν δὴ διὰ τί ποτε. ἢ
αὐτὸς ἡμῖν κάλλιστα ὑφηγεῖται τὸ διότι; φησὶ γὰρ, Οἷος γάρ
e. σφιν ἔρυτο πόλιν καὶ τείχεα μακρά. Διὰ ταῦτα δὴ, ὡς ἔοι-
κεν, ὀρθῶς ἔχει καλεῖν τὸν τοῦ σωτῆρος υἱὸν, Ἀσυάνακτα
τούτου ὃ ἔσωζεν ὁ πατὴρ αὐτοῦ, ὡς φησιν Ὅμηρος. ΕΡΜ.
Φαίνεταί μοι. ΣΩ. Τί δή ποτε; οὐ γάρ πω οὐδ' αὐτὸς ἔγωγε
μανθάνω, ὦ Ἑρμόγενες. σὺ δὲ μανθάνεις; ΕΡΜ. Μὰ Δί'
P. οὐκ ἔγωγε. ΣΩ. Ἀλλ' ἄρα, ὦ γαθὲ, καὶ τῷ Ἕκτορι αὐτὸς
393 a. ἐθετο τὸ ὄνομα Ὅμηρος. ΕΡΜ. Τί δή; ΣΩ. Ὅτι μοι δοκεῖ
καὶ τοῦτο παραπλήσιόν τι εἶναι τῷ Ἀσυάνακτι, καὶ ἔοικεν
Ἑλληνικοῖς ταῦτα τὰ ὀνόματα. ὁ γὰρ Ἄναξ καὶ ὁ Ἕκτωρ

lieribus Scamandrium nuncupatum? quandoquidem viri illum Aſtyanacta vocare conſueverunt. *Herm.* Videtur. *So.* Nonne Homerus Troianos viros ſapientiores, quam mulieres eorum exiſtimavit? *Herm.* Arbitror equidem. *So.* Aſtyanacta igitur rectius, quam Scamandrium nominatum eſſe cenſuit. *Herm.* Apparet. *So.* Animadvertamus, quam ipſe denominationis huius cauſam affert. *Solus enim*, inquit, *civitatem ipſis tutatus eſt ampliaque moenia.* Quapropter decet, ut videtur, conſervatoris filium nominare Ἀστυάνακτα, id eſt, regem urbis; urbis, inquam, eius, quam pater ipſius ſervavit, ut inquit Homerus. *Herm.* Idem mihi quoque videtur. *So.* Quid ita tandem? nondum enim adhuc ipſe ſatis intelligo, o Hermogenes. tu vero percipis? *Herm.* Non per Iovem. *So.* Atqui & Hectori, o bone vir, nomen ipſe Homerus impoſuit. *Herm.* Quamobrem? *So.* Quoniam mihi videtur id nomen Hectoris Aſtyanacti eſſe quamproximum: ferme enim idem ſignificant; putantque Graeci utraque haec nomina regia eſſe,

σχεδόν τι ταυτὸν σημαίνει, βασιλικὰ ἀμφότερα εἶναι τὰ ὀνόματα. οὗ γὰρ ἄν τις Ἄναξ ᾖ, καὶ Ἕκτωρ δήπου ἐστὶ τούτου. δῆλον γὰρ ὅτι κρατεῖ τε αὐτοῦ, καὶ κέκτηται καὶ b. ἔχει αὐτό. ἢ οὐδέν σοι δοκῶ λέγειν, ἀλλὰ λανθάνω καὶ ἐμαυτὸν, οἰόμενος τινὸς ὥσπερ ἴχνους ἐφάπτεσθαι τῆς Ὁμήρου δόξης περὶ ὀνομάτων ὀρθότητος; ΕΡΜ. Μὰ Δί' οὐ σύ γε, ὡς ἐμοὶ δοκεῖς· ἀλλὰ ἴσως του ἐφάπτῃ. ΣΩ. Δίκαιον γέ τοι ἐστὶν, ὡς ἐμοὶ φαίνεται, τὸν λέοντος ἔκγονον, λέοντα καλεῖν· καὶ τὸν ἵππου ἔκγονον, ἵππον. οὔτι λέγω ἐὰν, ὥσπερ τέρας, γένηται ἐξ ἵππου ἄλλό τι ἢ ἵππος· ἀλλὰ ὃ ἂν ᾖ τοῦ γένους ἔκγονον τὴν φύσιν, τοῦτο λέγω· ἐὰν βοὸς ἔκγονον φύσει ἵππος c. παρὰ φύσιν τέκῃ μόσχον, οὐ πῶλον κλητέον, ἀλλὰ μόσχον. οὐδ' ἂν ἐξ ἀνθρώπου, οἶμαι, μὴ τὸ ἀνθρώπου ἔκγονον γένηται, ἄλλο δὲ τὸ ἔκγονον, ἄνθρωπος κλητέον. καὶ τὰ δένδρα ὡσαύτως, καὶ τὰ ἄλλα ἅπαντα. ἢ οὐ ξυνδοκεῖ; ΕΡΜ. Ξυνδοκεῖ. ΣΩ. Καλῶς λέγεις· φύλαττε γάρ με μήπη παρακρού-

cuiuscunque enim quis ἄναξ, id est, rex exstitit, eiusdem est & ἕκτωρ, id est, possessor. constat enim, dominari illi, possidereque, & habere. An forte nihil tibi dicere videor: meque fallit opinio, qua Homeri scientiam circa nominum rectitudinem, ceu per vestigia quaedam attingere confidebam? *Herm.* Nullo modo, ut arbitror. forte enim nonnihil attingis. *So.* Decet, ut mihi videtur, leonis filium leonem similiter nominare, equi filium equum. haud certe dico, si quid tanquam monstrum ex equo nascatur, aliud quiddam quam equus: sed cuius generis secundum naturam est, quod nascitur, hoc dico. Si enim bovis secundum naturam filius equum gignit, non vitulus qui nascitur, sed pullus equinus est nuncupandus. & si equus praeter naturam gignit vitulum, non pullus equinus dicendus est hic, sed vitulus. Neque etiam si ex homine alia proles, quam humana, producitur, quod nascitur homo vocari debet. idemque est de arboribus, deque ceteris omnibus iudicandum. Probas haec? *Herm.* Probo equidem. *So.* Observa me, ne quid defraudem. eadem quippe ratione, si quis ex rege

σωμαί σε. κατὰ γὰρ τὸν αὐτὸν λόγον κἂν ἐκ βασιλέως γίγ-
d. νηταί τι ἔκγονον, βασιλεὺς κλητέος. εἰ δὲ ἐν ἑτέραις συλλαβαῖς ἢ ἐν ἑτέραις τὸ αὐτὸ σημαίνει, οὐδὲν πρᾶγμα. οὐδ' εἰ πρόσκειταί τι γράμμα οὐδ' εἰ ἀφῄρηται, οὐδὲν οὐδὲ τοῦτο, ἕως ἂν ἐγκρατὴς ᾖ ἡ οὐσία τοῦ πράγματος, δηλουμένη ἐν τῷ ὀνόματι. ΕΡΜ. Πῶς τοῦτο λέγεις; ΣΩ. Οὐδὲν ποικίλον. ἀλλ' ὥσπερ τῶν στοιχείων οἶσθα ὅτι ὀνόματα λέγομεν, ἀλλ' οὐκ αὐτὰ τὰ στοιχεῖα· πλὴν τεττάρων, τοῦ ε, καὶ τοῦ υ, καὶ τοῦ ο, καὶ τοῦ ω. τοῖς δ' ἄλλοις φωνήεσί τε καὶ ἀφώνοις οἶσθα
e. ὅτι περιτιθέντες ἄλλα γράμματα, λέγομεν, ὀνόματα ποιοῦντες. ἀλλ' ἕως ἂν αὐτοῦ δηλουμένην τὴν δύναμιν ἐντιθῶμεν, ὀρθῶς ἔχει ἐκεῖνο τὸ ὄνομα καλεῖν, ὃ αὐτὸ ἡμῖν δηλώσει. οἷον τὸ βῆτα. ὁρᾷς ὅτι τοῦ η, καὶ τοῦ τ, καὶ τοῦ α, προστεθέντων, οὐδὲν ἐλύπησεν, ὥστε μὴ οὐχὶ τὴν ἐκείνου τοῦ στοιχείου φύσιν δηλῶσαι ὅλῳ τῷ ὀνόματι οὗ ἐβούλετο ὁ νομοθέτης. οὕτως ἠπίσθη καλῶς ἔσεσθαι τοῖς γράμμασι τὰ ὀνόματα. ΕΡΜ. Ἀληθῆ μοι δοκεῖς λέγειν. ΣΩ. Οὐκοῦν καὶ περὶ βασιλέως ὁ αὐτὸς

nascitur, rex est nominandus. in aliis vero & aliis syllabis idem significari, nihil interest: neque refert, sive addatur litera aliqua, sive etiam subtrahatur, donec essentia rei significatae in ipso nomine elucens dominatur. *Herm.* Qui isthuc ais? *So.* Nihil mirum novumve dico: verum ita ut in elementis fieri cernis. scis enim, quod elementorum nomina dicimus, ipsa vero elementa nequaquam, quatuor dumtaxat exceptis. dicimus enim ε & υ ψιλὸν, ο μικρὸν & ω μέγα. ceteris autem tam vocalibus, quam non vocalibus, alias addentes literas, ut βῆτα, η, τ, α, nomina constituimus, atque ita proferimus. verum quousque elementi ipsius vim elucentem inserimus, convenit, nomen illud vocare ipsum quod nobis significet elementum, ut in βῆτα apparet, ubi additis η τ α nihil obstitit, quin integro nomine natura elementi illius ostenderetur, cuius nominum auctor voluit: usque adeo scite literis nomina dedit. *Herm.* Vera mihi loqui videris. *So.* Nonne eadem de rege ratio erit? erit utique ex rege rex, ex

λόγος. ἔσαι γάρ ποτ' ἐκ βασιλέως βασιλεὺς, καὶ ἐξ ἀγαθοῦ p.
ἀγαθὸς, καὶ ἐκ καλοῦ καλός· καὶ τἄλλα πάντα οὕτως, ἐξ 394
ἑκάστου γένους ἕτερον τοιοῦτον ἔκγονον, ἐὰν μὴ τέρας γίγ- a.
νηται, κλητέον δὴ ταυτὰ ὀνόματα. ποικίλλειν δὲ ἔξεσι ταῖς
συλλαβαῖς, ὥστε δόξαι ἂν τῷ ἰδιωτικῶς ἔχοντι ἕτερα εἶναι
ἀλλήλων τὰ αὐτὰ ὄντα. ὥσπερ ἡμῖν τὰ τῶν ἰατρῶν φάρ-
μακα, χρώμασιν ἢ ὀσμαῖς πεποικιλμένα, ἄλλα φαίνεται, τὰ
αὐτὰ ὄντα· τῷ δέ γε ἰατρῷ, ἅ τε τὴν δύναμιν τῶν φαρμά-
κων σκοπουμένῳ, τὰ αὐτὰ φαίνεται, καὶ οὐκ ἐκπλήττεται b.
ὑπὸ τῶν προσόντων. οὕτω δὲ ἴσως καὶ ὁ ἐπισάμενος περὶ ὀνο-
μάτων, τὴν δύναμιν αὐτῶν σκοπεῖ, καὶ οὐκ ἐκπλήττεται εἴτι
πρόσκειται γράμμα, ἢ μετάκειται, ἢ ἀφῄρηται· ἢ καὶ ἐν
ἄλλοις παντάπασι γράμμασιν ἐξὶν ἡ τοῦ ὀνόματος δύναμις.
ὥσπερ, ὃ νῦν δὴ ἐλέγομεν, Ἀσυάναξ τε καὶ Ἕκτωρ, οὐδὲν
τῶν αὐτῶν γραμμάτων ἔχει, πλὴν τοῦ τ, ἀλλ' ὅμως ταυ- c.
τὸν σημαίνει. καὶ Ἀρχέπολίς γε τῶν μὲν γραμμάτων τί
ἐπικοινωνεῖ; δηλοῖ δὲ ὅμως τὸ αὐτό. καὶ ἄλλα πολλά ἐξιν, ἃ

bono bonus, ex pulchro pulcher, & in ceteris omnibus: ſimiliter ex quolibet genere alterum quiddam tale, niſi monſtrum fiat, eademque dicenda nomina. Variare autem licet per ſyllabas, ut videantur homini rudi, quae ſunt eadem, eſſe diverſa. quemadmodum pharmaca medicorum coloribus & odoribus variata ſaepe, cum eadem ſint, nobis diverſa videntur: medico autem, vim pharmacorum conſideranti, eadem iudicantur, neque eum additamenta perturbant. Similiter forte, qui eſt in nominibus eruditus, vim illorum conſiderat, neque eius turbatur iudicium, ſi qua litera addita eſt, vel tranſmutata, vel demta, vel in aliis literis ac multis eadem vis nominis reperitur. ut ea nomina, quae ſupra diximus, Aſtyanax & Hector, literas omnino diverſas, praeter τ ſolum, habent, idem tamen ſignificant. item quod Ἀρχέπολις, id eſt, princeps civitatis dicitur, quam literarum communionem cum duobus ſuperioribus habet? idem nihilominus ſignificat. multaque ſunt alia, quae nihil aliud qaum regem ſignificant.

οὐδὲν ἄλλ' ἢ βασιλέα σημαίνει· καὶ ἄλλά γε αὖ στρατηγόν· οἷον Ἄγις, καὶ Πολέμαρχος, καὶ Εὐπόλεμος· καὶ ἰατρικά γε ἕτερα, Ἰατροκλῆς, καὶ Ἀκεσίμβροτος. καὶ ἕτερα ἂν ἴσως συχνὰ εὕροιμεν, ταῖς μὲν συλλαβαῖς καὶ τοῖς γράμμασι διαφωνοῦντα, τῇ δὲ δυνάμει ταυτὸν φθεγγόμενα. φαίνεται
d. οὕτως, ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Τοῖς μὲν δὴ κατὰ φύσιν γιγνομένοις τὰ αὐτὰ ἀποδοτέον ὀνόματα. ΕΡΜ. Πάνυ γε. ΣΩ. Τί δαὶ τοῖς παρὰ φύσιν, οἳ ἂν ἐν τέρατος εἴδει γένωνται; οἷον, ὅταν ἐξ ἀνδρὸς ἀγαθοῦ καὶ θεοσεβοῦς ἀσεβὴς γένηται, ἆρ' οὐχ ὥσπερ ἐν τοῖς ἔμπροσθεν; κἂν ἵππος βοὸς ἔκγονον τέκῃ, οὐ τοῦ τεκόντος δήπου ἕδει τὴν ἐπωνυμίαν ἔχειν, ἀλλὰ τοῦ γένους οὗ εἴη; ΕΡΜ. Πάνυ γε.
e. ΣΩ. Καὶ τῷ ἐκ τοῦ εὐσεβοῦς ἄρα γενομένῳ ἀσεβεῖ τὸ τοῦ γένους ὄνομα ἀποδοτέον. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐ Θεόφιλον, ὡς ἔοικεν, οὐδὲ Μνησίθεον, οὐδὲ τῶν τοιούτων οὐδέν· ἀλλ' ὅ, τι τἀναντία τούτοις σημαίνει, ἐάν περ τῆς ὀρθότητος

multa praeterea ſunt, quae exercitus ducem ſignificant, ut Ἄγις, Πολέμαρχος, Εὐπόλεμος. alia item quae medicinae profeſſorem declarant, ut Ἰατροκλῆς, Ἀκεσίμβροτος. aliaque permulta reperiri poſſunt, ſyllabis & literis diſcordantia, vi autem ſignificationis penitus conſonantia. Sicne & ipſe putas, an aliter? *Herm.* Sic certe. *So.* His itaque, quae ſecundum naturam fiunt, eadem tribuenda ſunt nomina. *Herm.* Omnino. *So.* Quoties vero praeter naturam homines aliqui fiunt in quadam ſpecie monſtri? velut quum ex bono pioque viro impius generatur, qui genitus eſt, non genitoris nomen ſortiri debet, ſed eius in quo ipſe eſt generis: quemadmodum ſupra diximus, ſi equus bovis prolem generet, non equum eius filium, ſed bovem denominandum. *Herm.* Sic eſt. *So.* Homini igitur impio, ex pio genito, non parentis, ſed generis nomen attribuendum. *Herm.* Vera haec ſunt. *So.* Neque igitur Θεόφιλον, id eſt, Dei amicum, neque Μνησίθεον, id eſt, Dei memorem, vel talem aliquem huiusmodi vocare filium talem decet, ſed contraria ſignificantibus nominibus appellare: ſi

τυγχάνῃ τὰ ὀνόματα. ΕΡΜ. Παντός γε μᾶλλον, ὦ Σώκρατες. ΣΩ. Ὥσπερ γε καὶ ὁ Ὀρέσης, ὦ Ἑρμόγενες, κινδυνεύει ὀρθῶς ἔχειν εἴτέ τις τύχη ἔθετο αὐτῷ τὸ ὄνομα, εἴτε καὶ ποιητής τις, τὸ θηριῶδες τῆς φύσεως καὶ τὸ ἄγριον αὐτοῦ καὶ τὸ ὀρεινὸν ἐνδεικνύμενος τῷ ὀνόματι. ΕΡΜ. Φαίνεται οὕτως, ὦ Σώκρατες. ΣΩ. Ἔοικε δέ γε καὶ τῷ πατρὶ p. αὐτοῦ κατὰ φύσιν τὸ ὄνομα εἶναι. ΕΡΜ. Φαίνεται. ΣΩ. 395
Κινδυνεύει γὰρ τοιοῦτός τις εἶναι ὁ Ἀγαμέμνων, οἷος, ἂν a.
δόξειεν αὐτῷ διαπονεῖσθαι καὶ καρτερεῖν, τέλος ἐπιθεὶς τοῖς δόξασι δι' ἀρετήν. σημεῖον δ' αὐτῷ τῆς καρτερίας, ἡ ἐν Τροίᾳ μονὴ μετὰ τόσου πλήθους. ὅτι οὖν ἀγαθὸς κατὰ τὴν ἐπιμονὴν οὗτος ὁ ἀνήρ, ἐνσημαίνει τὸ ὄνομα ὁ Ἀγαμέμνων. Ἴσως δὲ καὶ ὁ Ἀτρεὺς ὀρθῶς ἔχει. ὅ, τε γὰρ τοῦ Χρυσίπ- b.
που αὐτῷ φόνος, καὶ ἃ πρὸς τὸν Θυέστην ὡς ὠμὰ διεπράττετο, πάντα ταῦτα ζημιώδη καὶ ἀτηρὰ πρὸς ἀρετήν. ἡ οὖν τοῦ ὀνόματος ἐπωνυμία σμικρὸν παρακλίνει καὶ ἐπικεκάλυπται, ὥστε μὴ πᾶσι δηλοῦν τὴν φύσιν τοῦ ἀνδρός· τοῖς δ'

modo recte nomina instituta esse debent. *Herm.* Sic prorsus agendum, o Socrates. *So.* Profecto Oresti nomen recte, o Hermogenes, videtur impositum, sive aliqua sors illi nomen dedit, sive poëta quidam, ferinam eius naturam agrestemque & montanam nomine eo significans. *Herm.* Sic apparet, Socrates. *So.* Videtur & patri eius secundum naturam nomen esse. *Herm.* Apparet. *So.* Apparet utique talis esse Agamemnon, ut sibi laborandum censeat, tolerandumque, & in iis quae decrevit, per virtutem perseverandum. Argumentum vero tolerantiae suae apud Troiam tanto cum exercitu perduratio praebuit. Quod igitur mirabilis perseverantiae vir hic fuerit, nomen significat Agamemnon, quasi ἀγαθὸς κατὰ τὴν ἐπιμονήν. Forte vero & Atreus recte est nominatus. nex enim Chrysippi, & crudelitas, quam exercuit adversus Thyestem, noxium pernicioſumque illum demonstrant. Unde cognominatio parumper declinat, & clam innuit, ut non quibuslibet naturam huius viri declarent: his autem qui nomi-

ἐπαΐουσι περὶ ὀνομάτων, ἱκανῶς δηλοῖ ὃ βούλεται ὁ Ἀτρεύς. καὶ γὰρ κατὰ τὸ ἀτηρὲς, καὶ κατὰ τὸ ἄτρεστον, καὶ κατὰ
c. τὸ ἀτηρὸν, πανταχῇ ὀρθῶς αὐτὸ τὸ ὄνομα κεῖται. δοκεῖ δέ μοι καὶ τῷ Πέλοπι τὸ ὄνομα ἐμμέτρως κεῖσθαι. σημαίνει γὰρ τοῦτο τὸ ὄνομα, τὸν τὰ ἐγγὺς ὁρῶντα, ἄξιον εἶναι ταύτης τῆς ἐπωνυμίας. ΕΡΜ. Πῶς δή; ΣΩ. Οἷόν που καὶ κατ' ἐκείνου λέγεται τοῦ ἀνδρὸς ἐν τῷ τοῦ Μυρτίλου φόνῳ, οὐδεν οἷόν τε γενέσθαι προνοηθῆναι οὐδὲ προϊδεῖν τῶν πόρρω τῶν εἰς τὸ πᾶν γένος, ὅσης αὐτῷ δυστυχίας ἐνεπίμπλατο, τὸ
d. ἐγγὺς μόνον ὁρῶν καὶ τὸ παραχρῆμα (τοῦτο δ' ἐστὶ πέλας) ἡνίκα προεθυμεῖτο λαβεῖν παντὶ τρόπῳ τὸν τῆς Ἱπποδαμείας γάμον. Τῷ δὲ Ταντάλῳ καὶ πᾶς ἂν ἡγήσαιτο τοὔνομα ὀρθῶς καὶ κατὰ φύσιν τεθῆναι, εἰ ἀληθῆ τὰ περὶ αὐτοῦ λεγόμενα. ΕΡΜ. Τὰ ποῖα ταῦτα; ΣΩ. Ἅτε που ἔτι ζῶντι δυστυχήματα ἐγένετο πολλὰ καὶ δεινὰ, ὧν καὶ τέλος, ἡ πατρὶς αὐτοῦ ὅλη ἀνετράπετο· καὶ τελευτήσαντι, ἐν ᾅδου ἡ ὑπὲρ τῆς κεφαλῆς τοῦ λίθου τανταλεία θαυμαστῶς ὡς συμ-

num periti sunt, satis Atrei significatio patet. dicitur enim secundum ἀτηρὲς, ἄτρεστον, ἀτηρὸν· quasi indomitus, inexorabilis, noxius contumeliosusque fuerit. Videtur & Pelopi nomen haud ab re tributum. Hominem quippe, quae prope sunt videntem, nomen istud congrue significat, hac appellatione esse dignum. *Herm.* Cur illi id convenit? *So.* Quoniam in Myrtili caede, ut fertur, providere nihil potuit, neque eminus prospicere quanta toti generi ex hoc calamitas immineret: quae enim ante pedes erant, & ad praesentia tantum respiciebat; hoc autem est prope aspicere: quod & fecit, cum Hippodamiae coniugium omni conatu inire contendit. unde Pelopi nomen a πέλας, id est, prope, & ὄψις, quod ad visionem pertinet. Tantalo quin etiam nomen recte & secundum naturam videtur impositum, si vera sunt, quae circumferuntur. *Herm.* Quaenam ista? *So.* Quod viventi adhuc illi adversa plurima & gravia contigerunt, tandemque patria eius omnis subversa est. defuncto praeterea saxum in

φώνως τῷ ὀνόματι καὶ ἀτεχνῶς ἔοικεν. ὥσπερ ἂν εἴτις βου- a.
λόμενος ταλάντατον ὀνομάσαι, ἀποκρυπτόμενος ὀνομάσειε,
καὶ εἴποι ἀντ' ἐκείνου Τάνταλον. τοιοῦτόν τι καὶ τοῦτο τὸ
ὄνομα ἔοικεν ἐκπορίσαι ἡ τύχη τῆς φήμης. Φαίνεται δὲ καὶ
τῷ πατρὶ αὐτοῦ λεγομένῳ τῷ Διΐ παγκάλως τὸ ὄνομα κεῖ-
σθαι. ἔστι δὲ οὐ ῥᾴδιον κατανοῆσαι. ἀτεχνῶς γάρ ἐστιν οἷον p.
λόγος τὸ τοῦ Διὸς ὄνομα. διελόντες δὲ αὐτὸ διχῇ, οἱ μὲν 395
τῷ ἑτέρῳ μέρει, οἱ δὲ τῷ ἑτέρῳ χρώμεθα. οἱ μὲν γὰρ, Ζῆνα, a.
οἱ δὲ Δία καλοῦσι. συντιθέμενα δ' εἰς ἓν, δηλοῖ τὴν φύσιν
τοῦ θεοῦ. ὃ δὴ προσήκειν φαμὲν ὀνόματι οἱῳτε εἶναι ἀπεργά-
ζεσθαι. οὐ γάρ ἐστιν ἡμῖν καὶ τοῖς ἄλλοις πᾶσιν ὅστις ἐστὶν
αἴτιος μᾶλλον τοῦ ζῆν, ἢ ὁ ἄρχων τε καὶ βασιλεὺς τῶν
πάντων. συμβαίνει οὖν ὀρθῶς ὀνομάζεσθαι οὕτως, τῷ θεὸς b.
εἶναι δι' ὃν ζῆν ἀεὶ πᾶσι τοῖς ζῶσιν ὑπάρχει. διείληπται δὲ
δίχα, ὥσπερ λέγω, ἓν ὂν τὸ ὄνομα, τῷ Διΐ καὶ Ζηνί. τοῦ-
τον δὲ, Κρόνου υἱὸν, ὑβριστικὸν μὲν ἄν τινι δόξειεν εἶναι ἀκού-
σαντι ἐξαίφνης· εὔλογον δὲ, μεγάλης τινὸς διανοίας ἔκγονον

caput imminet, ſors certe duriſſima. haec prorſus cum nomine congruunt: perinde ac ſi quis nominare ταλάντατον, id eſt, infeliciſſimum voluiſſet, ſed paulo locutus obſcurius, pro Talantato Tantalum poſuiſſet. Tale utique nomen fortuna eius adverſa ipſo rumore gentium praebuiſſe videtur. Quin etiam patri eius, cui nomen eſt Iovi, recte nomen eſt inditum, neque tamen facile cognitu. Eſt enim velut oratio quaedam Iovis nomen: quod quidem bifariam partientes, partim una, partim altera parte utimur. quidam Ζῆνα, quidam Δία vocant. quae partes in unum compoſitae, naturam Dei ipſius oſtendunt: quod maxime debet nomen efficere poſſe. Nulla enim nobis ceterisque omnibus vivendi magis cauſa eſt, quam princeps, rexque omnium. Quapropter decens nomen eſt hic Deus ſortitus, per quem vita ſemper viventibus omnibus ineſt. Sectum autem in duo eſt unum, ut dicebam, nomen, in Δία videlicet atque Ζῆνα. Hunc Saturni filium cum quis audiat, forte inſolentem contumelioſumque putarit. verum pro-

εἶναι τὸν Δία. κόρος γὰρ σημαίνει οὐ παῖδα, ἀλλὰ τὸ καθαρὸν αὐτοῦ καὶ ἀκήρατον τοῦ νοῦ. ἔστι δὲ οὗτος Οὐρανοῦ υἱός, ὡς λόγος. ἡ δὲ αὖ ἐς τὰ ἄνω ὄψις καλῶς ἔχει τοῦτο τὸ ὄνο-
c. μα καλεῖσθαι, Οὐρανία, ὁρῶσα τὰ ἄνω· ὅθεν δὴ καί φασιν, ὦ Ἑρμόγενες, τὸν καθαρὸν νοῦν παραγίνεσθαι οἱ μετεωρολόγοι, καὶ τῷ οὐρανῷ ὀρθῶς τὸ ὄνομα κεῖσθαι. εἰ δ' ἐμεμνήμην τὴν Ἡσιόδου γενεαλογίαν, τίνας ἔτι τοὺς ἀνωτέρω προγόνους λέγει τούτων, οὐκ ἂν ἐπαυσάμην διεξιὼν ὡς ὀρθῶς αὐτοῖς τὰ ὀνόματα κεῖται, ἕως ἀπεπειράθην τῆς σοφίας ταυτησὶ, εἴτι ποιήσει, εἰ ἄρα ἀπορεῖ, ἢ οὔ, ἢ ἐμοὶ ἐξαίφνης νῦν
d. οὑτωσὶ προσπέπτωκεν ἄρτι, οὐκ οἶδ' ἐπόθεν. ΕΡΜ. Καὶ μὲν δὴ, ὦ Σώκρατες, ἀτεχνῶς γέ μοι δοκεῖ ὥσπερ οἱ ἐνθουσιῶντες ἐξαίφνης χρησμῳδεῖν. ΣΩ. Καὶ αἰτιῶμαί γε, ὦ Ἑρμόγενες, μάλιστα αὐτὴν ἀπὸ Εὐθύφρονος τοῦ Παντίου προσπεπτωκέναι μοι. ἔωθεν γὰρ πολλὰ αὐτῷ συνῆν, καὶ παρεῖχον τὰ ὦτα. κινδυνεύει οὖν ἐνθουσιῶν οὐ μόνον τὰ ὦτά μου ἐμ-

habile est, magnae cuiusdam intelligentiae prolem Iovem esse. quod enim κόρος dicitur, non puerum significat, sed puritatem mentis ipsius, & sinceram integritatem. Est autem is Οὐρανοῦ, id est, Coeli filius, ut fertur. Quippe aspectus ad supera merito Οὐρανία vocatur, quasi ὁρῶσα τὰ ἄνω. unde affirmant, o Hermogenes, ii qui de rebus sublimibus agunt, puram mentem adesse, & οὐρανῷ iure nomen impositum. Quod si genealogiam deorum ab Hesiodo traditam mente tenerem, & quos horum progenitores inducit, recordarer: haudquaquam cessarem ostendere tibi recte illis nomina inscripta fuisse, quoad huius sapientiae periculum facerem, si quid ipsa proficiat peragatque, & an deficiat necne, quae mihi tam subito, ignoro equidem unde, nuper illuxit. *Herm.* Profecto mihi videris, o Socrates, instar eorum qui numine rapiuntur, protinus oracula fundere. *So.* Reor equidem, o Hermogenes, hanc in me sapientiam ab Euthyphrone Pantii filio emanasse. illi siquidem adstiti a matutino assiduus, auresque porrexi. Videtur ergo numine afflatus non modo aures meas beata sa-

πλῆσαι τῆς δαιμονίας σοφίας, ἀλλὰ καὶ τῆς ψυχῆς ἐπειλῆφθαι. δοκεῖ οὖν μοι χρῆναι οὑτωσὶ ἡμᾶς ποιῆσαι, τὸ μὲν τήμερον εἶναι, χρήσασθαι αὐτῇ, καὶ τὰ λοιπὰ περὶ τῶν e. ὀνομάτων ἐπισκέψασθαι· αὔριον δ' ἂν καὶ ὑμῖν συνδοκῇ, ἀποδιοπομπησόμεθά τε αὐτὴν, καὶ καθαρούμεθα, ἐξευρόντες ὅστις τὰ τοιαῦτα δεινὸς καθαίρειν, εἴτε τῶν ἱερέων τὶς, εἴτε τῶν σοφιστῶν. ΕΡΜ. Ἀλλ' ἐγὼ μὲν συγχωρῶ. πάνυ γὰρ P. ἡδέως τὰ ἐπίλοιπα περὶ τῶν ὀνομάτων ἀκούσαιμι. ΣΩ. Ἀλλὰ 397 a. χρὴ οὕτω ποιεῖν. πόθεν οὖν βούλει ἀρξώμεθα διασκοπεῦντες, ἐπειδήπερ εἰς τύπον τινὰ ἐμβεβήκαμεν; ἵνα εἰδῶμεν εἰ ἄρα ἡμῖν ἐπιμαρτυρήσει αὐτὰ τὰ ὀνόματα μὴ πάνυ ἀπὸ τοῦ αὐτομάτου οὕτως ἔκαστα κεῖσθαι, ἀλλ' ἔχειν τινὰ ὀρθότητα; τὰ μὲν οὖν τῶν ἡρώων καὶ ἀνθρώπων λεγόμενα ὀνόματα b. ἴσως ἂν ἡμᾶς ἐξαπατήσειε. πολλὰ μὲν γὰρ αὐτῶν κεῖται κατὰ προγόνων ἐπωνυμίας, οὐδὲν προσῆκον ἐνίοις, ὥσπερ κατ' ἀρχὰς ἐλέγομεν· πολλὰ δὲ ὥσπερ εὐχόμενοι τίθενται, οἷον Εὐτυχίδην, καὶ Σωσίαν καὶ Θεόφιλον, καὶ ἄλλα πολλά.

pientia impleviſſe, verum etiam animum occupaſſe. Ita igitur agendum arbitror, ut hodie quidem utamur ipſa, & reliqua, quae ad nomina pertinent, indagemus. Cras vero, ſi in hoc conſenſerimus, expiabimus eam, eaque nos abdicabimus, ſi modo hominem nacti erimus ſive ſacerdotem, ſeu ſophiſtam harum expiationum peritum. *Herm.* Probo haec maxime, Socrates. libentiſſime namque quae de nominibus reſtant audirem. *So.* Ita prorſus agendum. Unde igitur potiſſimum exordiendum iudicas, poſtquam formulam quandam praeſcripſimus: ut pernoſcamus, an etiam nomina nobis ipſa teſtentur non caſu quodam facta fuiſſe, verum rectitudinem aliquam continere? Nomina quidem heroum atque hominum nos forte deciperent. horum namque multa ſecundum cognomenta maiorum poſita ſunt, & ſaepe nequaquam conveniunt, quemadmodum in principio diximus. Multa vero quaſi optantes homines nomina tribuunt, ut Εὐτυχίδην, Σωσίαν, Θεόφιλον, aliaque permulta. Talia itaque praetermittenda cen-

τὰ μὲν οὖν τοιαῦτα δοκεῖ μοι χρῆναι ἐᾶν· εἰκὸς δὲ μάλιστα
ἡμᾶς εὑρεῖν τὰ ὀρθῶς κείμενα περὶ τὰ ἀεὶ ὄντα καὶ πεφυ-
κότα. ἐσπουδάσθαι γὰρ ἐνταῦθα μάλιστα πρέπει τὴν θέσιν
c. τῶν ὀνομάτων. ἴσως δ' ἔνια αὐτῶν καὶ ὑπὸ θειοτέρας δυνά-
μεως ἢ τῆς τῶν ἀνθρώπων ἐτέθη. ΕΡΜ. Δοκεῖς μοι καλῶς
λέγειν, ὦ Σώκρατες. ΣΩ. Ἆρ' οὖν οὐ δίκαιον ἀπὸ τῶν θεῶν
ἄρχεσθαι, σκοπουμένους πῇ ποτε αὐτὸ τοῦτο τὸ ὄνομα οἱ
θεοὶ ὀρθῶς ἐκλήθησαν; ΕΡΜ. Εἰκός γε. ΣΩ. Τοιόνδε τοίνυν
ἔγωγε ὑποπτεύω. φαίνονταί μοι οἱ πρῶτοι τῶν ἀνθρώπων τῶν
περὶ τὴν Ἑλλάδα τούτους μόνους θεοὺς ἡγεῖσθαι, οὕσπερ
d. νῦν πολλοὶ τῶν βαρβάρων, ἥλιον καὶ σελήνην, καὶ γῆν, καὶ
ἄστρα, καὶ οὐρανόν. ἅτε γοῦν αὐτὰ ὁρῶντες πάντα ἀεὶ ἰόντα
δρόμῳ καὶ θέοντα, ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν,
θεοὺς αὐτοὺς ἐπονομάσαι· ὕστερον δὲ κατανοοῦντες, τοὺς ἄλ-
λους πάντας ἤδη τούτῳ τῷ ὀνόματι προσαγορεύειν. ἔοικέ τι
ὃ λέγω τῷ ἀληθεῖ, ἢ οὐδέν; ΕΡΜ. Πάνυ μὲν οὖν ἔοικε. ΣΩ.
Τί οὖν ἂν μετὰ τοῦτο σκοποῖμεν; ΕΡΜ. Δῆλον δὴ ὅτι δαί-
μονάς τε καὶ ἥρωας καὶ ἀνθρώπους. ΣΩ. Δαίμονας; καὶ ὃς

seo. decens enim consentaneumque maxime reperire nos, quae in rebus sempiternis, & naturae ordine constitutis recte sunt posita. nam circa ista in condendis nominibus studuisse maxime decet. Forte vero ipsorum nonnulla diviniore quadam potentia, quam humana sunt instituta. *Herm.* Praeclare mihi loqui videris, o Socrates. *So.* Nonne par est ab ipsis diis incipere, rationemque investigare qua θεοὶ vocati sunt? *Herm.* Nempe. *So.* Equidem ita coniicio. Videntur utique mihi Graecorum prisci deos solos putasse eos, quos etiam his temporibus barbarorum plurimi arbitrantur, Solem, Lunam, Terram, Stellas, Coelum. Cum ergo haec omnia perpetuo in cursu esse conspicerent, ab hac natura τοῦ θεῖν, θεοὺς nominasse videntur: deinde & alios animadvertentes, omnes eodem nomine nuncupasse. Habet quod dico verisimile aliquid, necne? *Herm.* Habet certe. *So.* Quid posthac investigandum? *Herm.* Constat, de daemonibus heroibusque, & hominibus quaeren-

ἀληθῶς, ὦ Ἑρμόγενες, τί ἂν ποτε νοοῖ τὸ ὄνομα οἱ δαίμο- e.
νες, σκέψαι ἂν τι σοι δόξω εἰπεῖν. ΕΡΜ. Λέγε μόνον. ΣΩ.
Οἶσθα οὖν τίνας φησὶν Ἡσίοδος εἶναι τοὺς δαίμονας; ΕΡΜ.
Οὐκ ἔννοῶ. ΣΩ. Οὐδὲ ὅτι χρυσοῦν γένος τὸ πρῶτον φησὶ γε-
νέσθαι τῶν ἀνθρώπων; ΕΡΜ. Οἶδα τοῦτό γε. ΣΩ. Λέγει
τοίνυν περὶ αὐτοῦ, Αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ μοῖρ'
ἐκάλυψεν, Οἱ μὲν, δαίμονες ἁγνοὶ ἐπιχθόνιοι καλέονται, p.
Ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων. ΕΡΜ. Τί 398
οὖν δή; ΣΩ. Ὅτι οἶμαι ἐγὼ λέγειν αὐτὸν τὸ χρυσοῦν γένος a.
οὐκ ἐκ χρυσοῦ πεφυκὸς, ἀλλ' ἀγαθόν τε καὶ καλόν. τεκμή-
ριον δέ μοι ἔστιν, ὅτι καὶ ἡμᾶς φησὶ σιδηροῦν εἶναι γένος.
ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν καὶ τῶν νῦν οἴει ἄν φά-
ναι αὐτὸν εἴτις ἀγαθός ἐστιν, ἐκείνου τοῦ χρυσοῦ γένους εἶναι; b.
ΕΡΜ. Εἰκός γε. ΣΩ. Οἱ δ' ἀγαθοὶ, ἄλλό τι ἢ φρόνιμοι;
ΕΡΜ. Φρόνιμοι. ΣΩ. Τοῦτο τοίνυν παντὸς μᾶλλον λέγει, ὡς
ἐμοὶ δοκεῖ, τοὺς δαίμονας, ὅτι φρόνιμοι καὶ δαήμονες ἦσαν,
δαίμονας αὐτοὺς ὠνόμασε. καὶ ἔν γε τῇ ἀρχαίᾳ τῇ ἡμετέρᾳ

dum esse. *So.* De daemonibus? & certe sic se res habet, o Hermogenes. quid igitur sibi vult daemonum nomen? animadverte num aliquid dicam. *Herm.* Dic modo. *So.* Scisne quos Hesiodus δαίμονας esse inquit? *Herm.* Non. *So.* Neque etiam, quod aureum genus hominum ait in principio exstitisse? *Herm.* Hoc quidem novi. *So.* Ait enim, ex hoc genere post praesentis vitae fata fieri daemones sanctos, terrestres, optimos, malorum expulsores, & custodes hominum. *Herm.* Quid tum? *So.* Nempe arbitror vocare illum aureum genus, non ex auro constitutum, sed bonum atque praeclarum. quod inde coniicio, quod genus nostrum ferreum esse dicit. *Herm.* Vera narras. *So.* An non putas, si quis nunc ex nostris bonus sit, aurei hunc generis ab Hesiodo aestimari? *Herm.* Consentaneum est. *So.* Boni autem suntne aliud quiddam, quam prudentes? *Herm.* Prudentes. *So.* Idcirco, ut arbitror, eos daemones praecipue nuncupat, quia sapientes δαήμονεσque erant: & ex nostra istud prisca lingua nomen existit. Quamobrem &

φωνῇ αὐτὸ συμβαίνει τὸ ὄνομα. λέγει οὖν καλῶς καὶ οὗτος καὶ ἄλλοι ποιηταὶ πολλοί, ὅσοι λέγουσιν ὡς ἐπειδάν τις ἀγαθὸς ὢν τελευτήσῃ, μεγάλην μοῖραν καὶ τιμὴν ἔχει, καὶ γινε-
c. ται δαίμων, κατὰ τὴν τῆς φρονήσεως ἐπωνυμίαν. ταύτῃ οὖν τίθεμαι καὶ ἐγὼ, τὸν δαήμονα πάντ' ἄνδρα, ὃς ἂν ἀγαθὸς ᾖ, δαιμόνιον εἶναι, καὶ ζῶντα καὶ τελευτήσαντα· καὶ ὀρθῶς δαίμονα καλεῖσθαι. ΕΡΜ. Καὶ ἔγωγέ μοι δοκῶ, ὦ Σώκρατες, τούτου πάνυ σοι σύμψηφος εἶναι. ὁ δὲ δὴ ἥρως τί ἂν εἴη; ΣΩ. Τοῦτο δὲ οὐ πάνυ χαλεπὸν ἐννοῆσαι. σμικρὸν γὰρ παρῆκται αὐτῶν τὸ ὄνομα, δηλοῦν τὴν ἐκ τοῦ ἔρωτος γένεσιν.
ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Οὐκ οἶσθα ὅτι ἡμίθεοι οἱ ἥρωες;
d. ΕΡΜ. Τί οὖν; ΣΩ. Πάντες δήπου γεγόνασιν, ἐρασθέντες, ἢ θεὸς θνητῆς, ἢ θνητοὶ θεᾶς. ἐὰν οὖν σκοπῇς καὶ τοῦτο κατὰ τὴν Αττικὴν τὴν παλαιὰν φωνὴν, μᾶλλον εἴσῃ. δηλώσει γάρ σοι ὅτι παρὰ τὸ τοῦ ἔρωτος ὄνομα, ὅθεν γεγόνασιν οἱ ἥρωες, σμικρὸν παρηγμένον ἐστὶν, ὀνόματος χάριν· καὶ ἦτοι τοῦτο

is, & ceteri poëtae permulti praeclare loquuntur, quicunque aiunt videlicet, poſtquam bonus aliquis vita functus eſt, maximam dignitatem praemiumque ſortitur, fitque daemon, ſecundum ſapientiae cognomentum. Ita & ipſe aſſero, δαίμονα, id eſt, ſapientem, omnem eſſe hominem, quicunque ſit bonus, eumque daemonicum eſſe, id eſt, felicem, viventem atque defunctum, rectèque daemonem nuncupari. *Herm.* Videor mihi, o Socrates, in hoc tecum maxime conſentire. ἥρως autem quid ſignificat? *So.* Id nequaquam inventu difficile. paulo enim heroum nomen ab origine diſtat, indicans, generationem illorum ἀπὸ τοῦ ἔρωτος manaſſe. *Herm.* Qua ratione id ais? *So.* An ignoras, ſemideos heroas eſſe? *Herm.* Quid tum? *So.* Omnes utique heroes, vel ex amore deorum erga mulieres humanas, vel amore virorum erga deas ſunt geniti. Praeterea ſi hoc ſecundum priſcam Atticorum linguam conſideraveris, magis intelliges. reperies enim, quod pauliſper mutatum eſt nominis gratia ex ἔρωτος, unde ſunt heroes geniti: quodve aut hinc heroum nomen eſt ductum, aut ex eo

λέγει τοὺς ἥρωας, ἢ ὅτι σοφοὶ ἦσαν, καὶ ῥήτορες, καὶ δεινοὶ, καὶ διαλεκτικοὶ, ἐρωτᾶν ἱκανοὶ ὄντες. τὸ γὰρ εἴρειν, λέγειν ἐστίν. ὅπερ οὖν ἄρτι ἐλέγομεν, ἐν τῇ Ἀττικῇ φωνῇ λεγόμενοι οἱ ἥρωες, ῥήτορές τινες καὶ ἐρωτηματικοὶ ἢ καὶ ἐρωτικοὶ συμ- e.
βαίνουσιν. ὥστε ῥητόρων καὶ σοφιστῶν γένος γίγνεται τὸ ἡρωϊκὸν φῦλον. ἀλλὰ οὐ τοῦτο χαλεπόν ἐστιν ἐννοῆσαι, ἀλλὰ μᾶλλον τὸ τῶν ἀνθρώπων, διὰ τί ποτε ἄνθρωποι καλοῦνται, σὺ ἔχεις εἰπεῖν; ΕΡΜ. Πόθεν, ὦ 'γαθὲ, ἔχω; οὐδ' εἴτι οἷόστ' ἂν εἴην εὑρεῖν, οὐ συντείνω, διὰ τὸ ἡγεῖσθαί σε μᾶλλον εὑρήσειν ἢ ἐμαυτόν. ΣΩ. Τῇ τοῦ Εὐθύφρονος ἐπιπνοίᾳ p.
πιστεύεις, ὡς ἔοικας. ΕΡΜ. Δηλαδή. ΣΩ. Ὀρθῶς γε σὺ 399
πιστεύων, ὡς καὶ νῦν γέ μοι φαίνομαι κομψῶς ἐννενοηκέναι, καὶ κινδυνεύσω, ἐὰν μὴ εὐλαβῶμαι, ἔτι τήμερον σοφώτερος τοῦ δέοντος γενέσθαι. σκόπει δὴ ὃ λέγω. πρῶτον μὲν γὰρ τὸ τοιόνδε δεῖ ἐννοῆσαι περὶ ὀνομάτων, ὅτι πολλάκις ἐπεμβάλλομεν γράμματα, τὰ δ' ἐξαιροῦμεν, πάρ' ὃ βουλόμεθα ὀνομάζοντες· καὶ τὰς ὀξύτητας μεταβάλλομεν. οἷον, Διΐ φίλος,

quod ſapientes, rhetoresque fuerunt, facundi videlicet, & ad interrogandum differendumque promtiſſimi. εἴρειν namque dicere eſt. Quare, ut modo dicebamus, Attica voce heroes rhetores quidam, & diſputatores, & amatorii videntur. Unde rhetorum ſophiſtarumque genus heroica proles exiſtit. Verum non iſtud quidem difficile cognitu: immo illud magis obſcurum, quam ob cauſam homines ἄνθρωποι nominantur. habesne quod dicas? *Herm.* Unde id habeam, bone vir? quin ſi reperire quoquo modo poſſem, non conarer tamen, propterea quod te melius faciliusque, quam me, reperturum ſpero. *So.* In Euthyphronis inſpiratione confidere mihi videris. *Herm.* Absque dubio. *So.* Et merito quidem confidis. nam belle nimium mihi nunc videor cogitaſſe: ac periculum eſt, niſi caveam, ne hodie ſapientior, quam decet, videar evaſiſſe. Attende ad ea, quae dicam. Hoc in primis circa nomina animadvertere decet, quod ſaepe literas addimus, ſaepe etiam demimus, dum pro arbitrio nominamus, & acuta

b. τοῦτο ἵνα ἀντὶ ῥήματος ὄνομα ἡμῖν γένηται, τό, τε ἕτερον αὐτόθεν ἰῶτα ἐξείλομεν, καὶ ἀντὶ ὀξείας τῆς μέσης συλλαβῆς, βαρεῖαν ἐφθεγξάμεθα. ἄλλων δὲ τοὐναντίον ἐμβάλλομεν γράμματα, τὰ δὲ ὀξέως, βαρύτερα φθεγγόμεθα. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Τοῦτο τοίνυν ἓν καὶ τὸ τῶν ἀνθρώπων ὄνομα πέπονθεν, ὡς ἐμοὶ δοκεῖ. ἐκ γὰρ ῥήματος ὄνομα γέγονεν, ἑνὸς γράμματος τοῦ α ἐξαιρεθέντος, καὶ βαρυτέρας τῆς τελευτῆς γενομένης. ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Ὧδε.

c. σημαίνει τοῦτο τὸ ὄνομα ὁ ἄνθρωπος ὅτι τὰ μὲν ἄλλα θηρία, ὧν ὁρᾷ οὐδὲν ἐπισκοπεῖ, οὐδὲ ἀναλογίζεται, οὐδὲ ἀναθρεῖ· ὁ δὲ ἄνθρωπος ἅμα ἑώρακε (τοῦτο δ' ἐστὶ τὸ ὄπωπε) καὶ ἀναθρεῖ καὶ ἀναλογίζεται τοῦτο ὃ ὄπωπεν. ἐντεῦθεν δὴ μόνον τῶν θηρίων ὀρθῶς ὁ ἄνθρωπος ἄνθρωπος ὠνομάσθη, ἀναθρῶν ἃ ὄπωπε. τί οὖν τὸ μετὰ τοῦτο ἔρωμαί σε, ὃ ἡδέως ἂν πυθοίμην; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὥσπερ τοίνυν μοι δοκεῖ τούτοις

d. ἑξῆς εἶναί τι χρῆμα. ψυχὴν γάρ που καὶ σῶμα καλοῦμεν τοῦ ἀνθρώπου. ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Πειρώμεθα δὴ καὶ

saepenumero transmutamus: ut cum dicimus *Διὶ φίλος*. hoc ut pro verbo nomen nobis foret, alterum *ἰῶτα* sustulimus, & pro acuta syllaba media, gravem pronuntiamus. in aliis quibusdam literas interserimus: alia vero graviora proferimus. *Herm.* Vera refers. *So.* Hoc & in *ἄνθρωπος* contingit, ut mihi quidem videtur. nam ex verbo nomen constitutum est, uno *α* exemto, graviorique fine effecto. *Herm.* Quomodo istud ais? *So.* Ita. hominis nomen illud significat, quod cetera quidem animalia, quae vident, non considerant, neque animadvertunt, neque contemplantur: homo autem & videt simul & contemplatur, animadvertitque quod videt. Hinc merito solus ex omnibus animantibus homo *ἄνθρωπος* est nuncupatus, quasi *ἀναθρῶν* [contemplans,] quae *ὄπωπε*, id est, vidit. Quid post haec quaeram? an videlicet quod libenter perciperem? *Herm.* Maxime. *So.* Succedere statim superioribus mihi videtur de anima & corpore consideratio. nam animam & corpus hominem vocamus. *Herm.* Sine controversia. *So.*

ταῦτα διελεῖν, ὥσπερ τὰ ἔμπροσθεν; ψυχὴν λέγεις ἐπισκέψασθαι, ὡς εἰκότως τούτου τοῦ ὀνόματος τυγχάνει, ἔπειτ' αὖ τὸ σῶμα; ΕΡΜ. Ναί. ΣΩ. Ὡς μὲν τοίνυν ἐκ τοῦ παραχρῆμα λέγειν, οἶμαί τι τοιοῦτον νοεῖν τοὺς τὴν ψυχὴν ὀνομάσαντας, ὡς τοῦτο ἄρα ὅταν παρῇ τῷ σώματι, αἴτιόν ἐστι τοῦ ζῆν αὐτῷ, τὴν τοῦ ἀναπνεῖν δυναμιν παρέχον καὶ ἀναψύχον· ἅμα δὲ ἐκλείποντος τοῦ ἀναψύχοντος, τὸ σῶμα ἀπόλλυταί τε καὶ τελευτᾷ· ὅθεν δή μοι δοκοῦσιν αὐτὸ ψυχὴν καλέσαι. εἰ δὲ βούλει, ἔχε ἡρέμα. δοκῶ γάρ μοι τι καθορᾶν πιθανώτερον τούτου τοῖς ἀμφὶ Εὐθύφρονα. τούτου μὲν γὰρ, ὡς ἐμοὶ δοκεῖ, καταφρονήσαιεν ἄν, καὶ ἡγήσαιντο Φορτικὸν εἶναι· τόδε δὲ σκόπει ἐὰν ἄρα καί σοι ἀρέσῃ. ΕΡΜ. Λέγε μόνον. ΣΩ. Τὴν φύσιν παντὸς τοῦ σώματος, ὥστε καὶ ζῆν καὶ περιΐέναι, τί σοι δοκεῖ ἔχειν τε καὶ ὀχεῖν ἄλλο ἢ ψυχή; ΕΡΜ. Οὐδὲν ἄλλο. ΣΩ. Τί δέ; καὶ τὴν τῶν ἄλλων ἁπάντων φύσιν οὐ πιςεύεις Ἀναξαγόρᾳ νοῦν καὶ ψυχὴν εἶναι τὴν διακοσμοῦσαν καὶ ἔχουσαν; ΕΡΜ. Ἔγωγε. ΣΩ. Καλῶς e. P. 400 a.

Conemur haec quemadmodum superiora distinguere. Quaerendum primo de anima putas, ut recte ψυχὴ nominata fuerit? deinde de corpore? *Herm.* Equidem. *So.* Ut igitur subito exprimam quod primum mihi nunc se offert, arbitror illos qui sic animam vocitarunt, hoc potissimum cogitasse, quod haec quoties adest corpori, causa est illi vivendi, respirandi & refrigerandi vim exhibens: & cum primum desierit quod refrigerat, dissolvitur corpus, & interit. unde ψυχὴν nominasse videntur: quasi ἀναψύχον, respirando refrigerans. At vero, si placet, siste parumper. Videor mihi aliquid inspicere probabilius apud eos qui Euthyphronem sequuntur. nam istud quidem aspernarentur, ut arbitror, & durum quiddam esse censerent. sed vide, an hoc tibi sit placiturum. *Herm.* Dic modo. *So.* Quid aliud, quam anima, tibi videtur corpus continere, vehere, & ut vivat & gradiatur efficere? *Herm.* Nil aliud. *So.* An non Anaxagorae credis, rerum naturam omnium mente quadam, & anima exornari simul, & contineri?

b. ἆρα ἂν τὸ ὄνομα τοῦτο ἔχοι τῇ δυνάμει ταύτῃ, ἣ φύσιν ὀχεῖ καὶ ἔχει, φυσέχην ἐπονομάζειν. ἐξεῖ δὲ καὶ ψυχὴν κομψευόμενον λέγειν. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ δοκεῖ γέ μοι τοῦτο ἐκείνου τεχνικώτερον εἶναι. ΕΡΜ. Καὶ γάρ ἐστι. ΣΩ. Γελοῖον μέντοι φαίνεται ὡς ἀληθῶς ὀνομαζόμενον ὡς ἐτέθη. ΕΡΜ. Ἀλλὰ δὴ τὸ μετὰ τοῦτο πῶς φῶμεν ἔχειν; ΣΩ. Τὸ σῶμα λέγεις. ΕΡΜ. Ναί. ΣΩ. Πολλαχῇ μοι δοκεῖ τοῦτό γε· ἂν μὲν καὶ σμικρόν τις παρακλίνῃ, καὶ πάνυ. καὶ
c. γὰρ σῆμα τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι· καὶ διότι αὖ τούτῳ σημαίνει ἃ ἂν σημήνῃ ἡ ψυχή, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι. δοκοῦσι μέντοι μοι μάλιστα δέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι. τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώζηται δεσμωτηρίου εἰκόνα. εἶναι οὖν τῆς ψυχῆς τοῦτο αὐτὸ ὥσπερ ὀνομάζεται, ἕως ἂν ἐκτίσῃ τὰ ὀφειλόμενα, τὸ σῶμα· καὶ οὐδὲν δεῖν παράγειν οὐδὲ γράμμα.

Herm. Credo equidem. *So.* Par est igitur eam potentiam nominare φυσέχην, quae φύσιν, naturam, ὀχεῖ & ἔχει, id est, vehit & continet. concinnius autem ψυχὴ profertur. *Herm.* Sic est omnino. *So.* Videturque mihi istud artificiosius esse. *Herm.* Est profecto. *So.* Ridiculum autem appareret, si ita ut positum fuit, nominaretur. *Herm.* Quod vero post hoc sequitur, cuiusmodi esse dicemus? *So.* Σῶμα, id est, corpus, dicis? *Herm.* Certe. *So.* Atqui videtur mihi in hoc nomine paulisper ab origine declinari, nempe corpus hoc animae σῆμα [sepulcrum] quidam esse tradunt: quasi ipsa praesenti in tempore sit sepulta: atque etiam quia anima per corpus σημαίνει [significat] quaecunque σημήνῃ, [significare potest.] idcirco & σῆμα iure vocari. Videntur mihi praeterea Orphei sectatores nomen hoc ob id potissimum posuisse, quod anima in corpore hoc delictorum det poenas: & hoc septo valloque claudatur, velut carcere quodam, in quo σώζηται, id est, servetur. esse itaque volunt hoc ita, ut nominatur, animae σῶμα, servandi gratia claustrum, quoad debita quaeque expendat: ne-

ΕΡΜ. Ταῦτα μέν μοι δοκεῖ ἱκανῶς, ὦ Σώκρατες, εἰρῆσθαι. περὶ δὲ τῶν θεῶν τῶν ὀνομάτων, οἷον καὶ περὶ τοῦ Διὸς νῦν δὴ ἐλέγες, ἔχοιμεν ἂν που κατὰ τὸν αὐτὸν τρόπον ἐπισκέψασθαι, κατὰ τίνα ποτὲ ὀρθότητα αὐτῶν τὰ ὀνόματα κεῖται; ΣΩ. Ναὶ μὰ Δία ἡμεῖς γε, ὦ Ἑρμόγενες, εἴπερ γε νοῦν ἔχοιμεν· ἕνα μὲν τὸν κάλλιστον τρόπον, ὅτι περὶ θεῶν οὐδὲν ἴσμεν, οὔτε περὶ αὐτῶν, οὔτε περὶ τῶν ὀνομάτων, ἅττα ποτὲ ἑαυτοὺς καλοῦσι. δῆλον γὰρ ὅτι ἐκεῖνοί γε τἀληθῆ καλοῦσι. δεύτερος δ' αὖ τρόπος ὀρθότητος, ὥσπερ ἐν ταῖς εὐχαῖς νόμος ἐστὶν ἡμῖν εὔχεσθαι, οἵτινές τε καὶ ὁπόθεν χαίρουσιν ὀνομαζόμενοι, ταῦτα καὶ ἡμᾶς αὐτοὺς καλεῖν, ὡς ἄλλο μηδὲν εἰδότας. καλῶς γὰρ δὴ ἔμοιγε δοκεῖ νενομίσθαι. εἰ οὖν βούλει σκοπῶμεν, ὥσπερ προειπόντες τοῖς θεοῖς ὅτι περὶ αὐτῶν οὐδὲν ἡμεῖς σκεψόμεθα· (οὐ γὰρ ἀξιοῦμεν οἵοιτ' ἂν εἶναι σκοπεῖν) ἀλλὰ περὶ τῶν ἀνθρώπων, ἣν ποτέ τινα δόξαν ἔχοντες, ἐτίθεντο αὐτοῖς τὰ ὀνόματα. τοῦτο γὰρ ἀνεμέσητον. ΕΡΜ. Ἀλλὰ μοὶ

d. e. p. 401 a.

que literam aliquam adiiciendam putant. *Herm.* De his satis dictum, o Socrates, arbitror. verum de nominibus aliquorum deorum possemusne ita, ut de Iove actum est, considerare, secundum quam rectitudinem nomina sint imposita? *So.* Per Iovem, nos quidem si mentem haberemus, Hermogenes, praecipuum rectitudinis modum arbitraremur, fateri nihil nos de diis cognoscere, neque de ipsis inquam, neque de ipsorum nominibus quibus ipsi se vocant. constat enim, illos quidem veris se nominibus nuncupare. Secundum vero rectae denominationis modum existimo, ut quemadmodum lex in votis statuit precari deos, quomodocunque nominari his placet, ita & nos ipsos vocemus, tanquam nihil aliud cognoscentes. recte namque, ut mihi videtur, est decretum. Quare, si vis, ad hanc investigationem pergamus, primo quidem diis praefati, nos nihil de ipsis consideraturos: neque enim posse confidimus: sed de hominibus potius, qua potissimum opinione circa deos affecti nomina ipsis imposuerunt. hoc enim a divina indignatione procul. *Herm.* Modeste loqui videris, o Socrates: atque

δοκεῖς, ὦ Σώκρατες, μετρίως λέγειν· καὶ οὕτω ποιῶμεν. ΣΩ. Ἄλλοτι οὖν ἀφ' Ἑστίας ἀρχώμεθα, κατὰ τὸν νόμον. ΕΡΜ.
b. Δίκαιον γοῦν. ΣΩ. Τί οὖν ἄν τις φαίη διανοούμενον τὸν ὀνομάσαντα Ἑστίαν ὀνομάσαι; ΕΡΜ. Οὐ μὰ τὸν Δία οὐδὲ τοῦτο οἶμαι ῥᾴδιον εἶναι. ΣΩ. Κινδυνεύουσιν γοῦν, ὦ 'γαθὲ Ἑρμόγενες, οἱ πρῶτοι τὰ ὀνόματα τιθέμενοι, οὐ φαῦλοι εἶναι, ἀλλὰ μετεωρολόγοι καὶ ἀδολέσχαι τινές. ΕΡΜ. Τί δή; ΣΩ. Καταφαίνεταί μοι ἡ θέσις τῶν ὀνομάτων, τοιούτων τινῶν ἀνθρώπων εἶναι. καὶ ἐάν τις τὰ ξενικὰ ὀνόματα
c. ἀνασκοπῇ, οὐχ ἧττον ἀνευρίσκεται ὃ ἕκαστον βούλεται. οἷον καὶ ἐν τούτῳ ὃ ἡμεῖς οὐσίαν καλοῦμεν, εἰσὶν οἳ ἐσίαν καλοῦσιν, οἱ δ' αὖ ὠσίαν. πρῶτον μὲν οὖν κατὰ τὸ ἕτερον ὄνομα τούτων ἡ τῶν πραγμάτων οὐσία Ἑστία καλεῖσθαι ἔχει λόγον· καὶ ὅτι γε αὖ ἡμεῖς τὸ τῆς οὐσίας μετέχον, Ἑστίαν φαμὲν, καὶ κατὰ τοῦτο ὀρθῶς ἂν καλοῖτο Ἑστία. ἐοίκαμεν γὰρ καὶ ἡμεῖς τοπαλαιὸν ἐσίαν καλεῖν τὴν οὐσίαν. ἔτι δὲ καὶ κατὰ τὰς θυσίας ἄν τις ἐννοήσας, ἡγήσαιτο οὕτω νοεῖν
d. ταῦτα τοὺς τιθεμένους. τὸ γὰρ πρὸ πάντων θεῶν τῇ Ἑστίᾳ

ita prorſus agendum. *So.* Nonne a Veſta ſecundum legem incipiendum? *Herm.* Sic utique decet. *So.* Qua ratione Ἑστίαν hanc nominatam dicemus? *Herm.* Per Iovem, haud facile iſtud inventu. *So.* Videntur ſane, o bone Hermogenes, primi nominum auctores non hebetes quidam fuiſſe, verum acuti ſublimium rerum inveſtigatores. *Herm.* Quamobrem? *So.* Talium quorundam hominum inventione nomina apparent impoſita. ac ſi quis peregrina conſideret nomina, nihilominus quod ſibi vult, unumquodque reperiet. quemadmodum hoc quod nos οὐσίαν [eſſentiam] nominamus, quidam ἐσίαν nuncupant, alii ὠσίαν. Primo quidem ſecundum alterum nomen iſtorum, haud procul a ratione videtur, rerum eſſentiam ἑστίαν vocari. & quia nos quod eſt eſſentiae particeps ἑστίαν vocamus, ex hoc recte ἑστία poſſet denominari. Superiores enim noſtri quondam οὐσίαν, ἐσίαν vocabant. Quin etiam ſi quis ſacrorum ritus animadverterit, exiſtimabit ſic eos putaſſe qui haec po-

πρώτη προθύειν εἰκὸς ἐκείνους οἵτινες τὴν πάντων οὐσίαν Ἑστίαν ἐπωνόμασαν· ὅσοι δ' αὖ ὠσίαν, σχεδόν τι αὖ οὗτοι καθ' Ἡράκλειτον ἂν ἡγοῖντο τὰ ὄντα ἰέναι τε πάντα, καὶ μένειν οὐδέν. τὸ οὖν αἴτιον καὶ ἀρχηγὸν αὐτῶν εἶναι τὸ ὠθοῦν ὅθεν δὴ καλῶς ἔχειν αὐτὸ Ὠσίαν ὠνομάσθαι. καὶ ταῦτα μὲν δὴ ταύτῃ ὡς παρὰ μηδὲν εἰδότων εἰρήσθω. Μετὰ δ' Ἑστίαν, δίκαιον Ῥέαν καὶ Κρόνον ἐπισκέψασθαι. καίτοι τό e.
γε τοῦ Κρόνου ὄνομα ἤδη διήλθομεν. ἴσως μέντοι οὐδὲν λέγω.
ΕΡΜ. Τί δή, ὦ Σώκρατες; ΣΩ. Ὦ γαθὲ, ἐννενόηκά τι σμῆνος σοφίας. ΕΡΜ. Ποῖον δὴ τοῦτο; ΣΩ. Γελοῖον πάνυ εἰπεῖν, οἶμαι μέντοι τινὰ πιθανότητα ἔχον. ΕΡΜ. Τίνα ταύ- p.
την; ΣΩ. Τὸν Ἡράκλειτον μοὶ δοκῶ καθορᾶν πάλαι ἄττα 402
σοφὰ λέγοντα ἀτεχνῶς τὰ ἐπὶ Κρόνου καὶ Ῥέας, ἃ καὶ Ὅμηρος ἔλεγε. ΕΡΜ. Πῶς τοῦτο λέγεις; ΣΩ. Λέγει που Ἡράκλειτος ὅτι πάντα χωρεῖ, καὶ οὐδὲν μένει· καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα, λέγει, ὡς δὶς ἐς τὸν αὐτὸν πο-

fuerunt. Etenim ante deos omnes Veſtae ſacra facere decet eos, qui eſſentiam omnium Veſtam cognominarunt. qui item ὠσίαν nominarunt, hi ferme ſecundum Heraclitum cenſuerunt, fluere omnia ſemper, nihilque conſiſtere. cauſam igitur & principem ipſorum eſſe τὸ ὠθοῦν, hoc eſt, id quod impellit. quapropter merito ipſum ὠσίαν [impellentem cauſam] nominari. De his hactenus ita ſit dictum, velut ab iis qui nihil intelligunt. Poſt Veſtam autem, de Rhea atque Saturno conſiderare convenit: quamquam de Saturni nomine in ſuperioribus diximus. forte vero nihil dico. *Herm.* Curnam, o Socrates? *So.* O bone vir, ſapientiae quoddam examen animadverti. *Herm.* Quale iſtud? *So.* Ridiculum dictu. habet tamen nonnihil probabile. *Herm.* Quod probabile? *So.* Inſpicere mihi Heraclitum videor, iampridem ſapienter nonnulla de Saturno Rheaque tradentem, quae & Homerus dixerat. *Herm.* Quid iſtud ais? *So.* Ait enim Heraclitus fluere omnia, nihilque manere: rerumque ipſarum progreſſum amnis fluxui comparans, haud fieri poſſe inquit, ut bis eandem in aquam te mergas.

ταμὸν οὐκ ἂν ἐμβαίης. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Τί οὖν δο-
b. κεῖ σοι ἀλλοιότερον Ἡρακλείτου νοεῖν, ὅτι θέμενος τοῖς τῶν
ἄλλων θεῶν προγόνοις Ῥέαν τε καὶ Κρόνον, ἆρα οἴει ἀπὸ
τοῦ αὐτομάτου αὐτὸν ἀμφοτέραις ῥευμάτων ὀνόματα θέ-
σθαι; ὥσπερ οὖν Ὅμηρος, Ὠκεανόν τε θεῶν γένεσιν (φησὶ)
καὶ μητέρα Τηθύν. οἶμαι δὲ καὶ Ἡσίοδος. λέγει δὲ που καὶ
Ὀρφεὺς ὅτι Ὠκεανὸς πρῶτος καλλιῤῥόου ἤρξε γάμοιο· Ὃς
c. ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν. ταῦτ' οὖν σκόπει
ὅτι καὶ ἀλλήλοις συμφωνεῖ, καὶ πρὸς τὰ τοῦ Ἡρακλείτου
πάντα τείνει. ΕΡΜ. Φαίνῃ τὶ μοι λέγειν, ὦ Σώκρατες· τὸ
μέντοι τῆς Τηθύος οὐκ ἐννοῶ ὄνομα τί βούλεται. ΣΩ. Ἀλλὰ
μὴν τοῦτό γε ὀλίγου αὐτὸ λέγει, ὅτι πηγῆς ὄνομα ἐπικε-
κρυμμένον ἐστί. τὸ γὰρ διαττόμενον καὶ τὸ ἡθούμενον, πηγῆς
d. ἀπείκασμά ἐστιν. ἐκ δὲ τούτων ἀμφοτέρων τῶν ὀνομάτων ἡ
Τηθὺς τὸ ὄνομα σύγκειται. ΕΡΜ. Τοῦτο μὲν, ὦ Σώκρατες,
κομψόν. ΣΩ. Τί δ' οὐ μέλλω; ἀλλὰ τί τὸ μετὰ τοῦτο; τὸν
μὲν Δία εἴπομεν. ΕΡΜ. Ναί. ΣΩ. Τοὺς ἀδελφοὺς δὴ αὐτοῦ

Herm. Vera haec sunt. *So.* An videtur tibi ille ab Heraclito dissentire, qui aliorum deorum progenitoribus inseruit Rheam atque Saturnum? numquid putas temere illum utriusque profluentium nomina imposuisse? Quin & Homerus Oceanum deorum originem instituit, & Tethyn genitricem. idemque voluit, ut arbitror, & Hesiodus. ait praeterea Orpheus, Oceanum primum pulchrifluum coniugium inchoasse, qui cum Tethy germana se sua commiscuit. Vide, quam maxime haec invicem consonant, omniaque in opinionem Heracliti redeunt. *Herm.* Videris mihi aliquid dicere, Socrates. Tethyos autem nomen haud satis, quid sibi velit, intelligo. *So.* Hoc utique idem ferme significat: quoniam fontis nomen est reconditum. nam διαττόμενον & ἡθούμενον, id est, scaturiens & transiliens, fontis imaginem prae se ferunt, ex utrisque vero hisce nominibus nomen Τηθύος est compositum. *Herm.* Hoc quidem bellissimum est, o Socrates. *So.* Quidni? verum quid deinceps? De Iove profecto diximus. *Herm.* Sic est. *So.* Fratres igitur

λέγωμεν, τόν τε Ποσειδῶ καὶ τὸν Πλούτωνα, καὶ τὸ ἕτερον
ὄνομα ὃ ὀνομάζουσιν αὐτόν. ΕΡΜ. Πάνυ γε. ΣΩ. Τὸ μὲν
τοίνυν τοῦ Ποσειδῶνος μοὶ φαίνεται ὠνομάσθαι, τοῦ πρώτου
ὀνομάσαντος, ὅτι αὐτὸν βαδίζοντα ἐπέσχεν ἡ τῆς θαλάττης e.
φύσις, καὶ οὐκέτι εἴασε προελθεῖν, ἀλλ' ὥσπερ δεσμὸς τῶν
ποδῶν αὐτῷ ἐγένετο. τὸν οὖν ἄρχοντα τῆς δυνάμεως ταύτης
θεὸν ὠνόμασε Ποσειδῶνα, ὡς ποσίδεσμον ὄντα. τὸ δὲ ε ἔγκει-
ται ἴσως εὐπρεπείας ἕνεκα. τάχα δὲ οὐκ ἂν τοῦτο λέγοι,
ἀλλ' ἀντὶ τοῦ σ, δύο λλ τοπρῶτον ἐλέγετο, ὡς πολλὰ εἰδότος
τοῦ θεοῦ. ἴσως δὲ ἀπὸ τοῦ σείειν ὁ σείων ὠνόμασται. πρόσκει- p.
ται δὲ καὶ τὸ π, καὶ τὸ ο, καὶ τὸ δ. Τὸ δὲ Πλούτωνος, τοῦτο 403
μὲν, κατὰ τὴν τοῦ πλούτου δόσιν, ὅτι ἐκ τῆς γῆς κάτωθεν a.
ἀνίεται ὁ πλοῦτος, ἐπωνομάσθη. ὁ δὲ Ἅιδης οἱ πολλοὶ μέν μοι
δοκοῦσιν ὑπολαμβάνειν τὸ ἀειδὲς προσειρῆσθαι τῷ ὀνόματι
τούτῳ· καὶ φοβούμενοι τὸ ὄνομα, Πλούτωνα καλοῦσιν αὐ-
τόν. ΕΡΜ. Σοὶ δὲ πῶς φαίνεται, ὦ Σώκρατες; ΣΩ. Πολ-
λαχῇ ἔμοιγε δοκοῦσιν οἱ ἄνθρωποι διημαρτηκέναι περὶ τούτου b.

eius producamus, Neptunum & Plutonem, nomenque alterum quo ipsum vocant. *Herm.* Prorsus. *So.* Videtur Neptunus ab eo qui primum nominavit, idcirco Ποσειδῶν vocatus fuisse, quia euntem ipsum maris natura detinuit, neque progredi ultra permisit, sed quasi vincula pedibus ipsius iniecit. Maris itaque principem Ποσειδῶνα vocavit, quasi ποσίδεσμον ὄντα, id est, pedum vinculum habentem. ε vero decoris gratia forte adiectum fuit. Forsitan autem non hoc sibi vult, sed pro σ, λλ primo fuit positum, quasi dicatur πολλὰ εἰδὼς, id est, multa noscens Deus. Fortassis ab eo quod dicitur σείειν, id est, quatere, σείων, id est, quatiens est nominatus, cui π & δ fuit adiectum. Plutonem autem quasi πλούτου, id est, divitiarum datorem dicimus, quoniam divitiae ex terrae visceribus eruuntur. Ἅιδης vero, multitudo interpretatur quasi ἀειδὲς, id est, triste tenebrosumve. atque hoc nomen horrentes Plutonem vocitant. *Herm.* Tu vero quid sentis, Socrates? *So.* Videntur mihi homines circa potentiam dei istius multifariam erravisse, eum-

τοῦ θεοῦ τῆς δυνάμεως, καὶ φοβεῖσθαι αὐτὸν, οὐκ ἄξιον. ὅτι τε γὰρ, ἐπειδὰν ἅπαξ τὶς ἡμῶν ἀποθάνῃ, ἀεὶ ἐκεῖ ἐστι, φοβοῦνται, καὶ ὅτι ἡ ψυχὴ γυμνὴ τοῦ σώματος παρ' ἐκεῖνον ἀπέρχεται, καὶ τοῦτο πεφόβηνται· τὰ δὲ μοὶ δοκεῖ πάντα εἰς ταυτόν τι συντείνειν, καὶ ἡ ἀρχὴ τοῦ θεοῦ καὶ τὸ ὄνομα. ΕΡΜ. Πῶς δή; ΣΩ. Ἐγώ σοι ἐρῶ. ἄγε μοι φαίνεται. εἰπὲ
c. γάρ μοι, δεσμὸς ζώῳ ὁτῳοῦν, ὥστε μένειν ὁπουοῦν, πότερος ἰσχυρότερός ἐστιν, ἀνάγκη, ἢ ἐπιθυμία; ΕΡΜ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ ἐπιθυμία. ΣΩ. Οἴει οὖν τὸν Ἅδην οὐκ ἂν πολλοὺς ἐκφεύγειν, εἰ μὴ τῷ ἰσχυροτάτῳ δεσμῷ ἔδει τοὺς ἐκεῖσε ἰόντας; ΕΡΜ. Δηλαδή. ΣΩ. Ἐπιθυμίᾳ ἄρα τινὶ αὐτοὺς, ὡς ἔοικε, δεῖ, εἴπερ τῷ μεγίστῳ δεσμῷ δεῖ, καὶ οὐκ
d. ἀνάγκῃ. ΕΡΜ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἐπιθυμίαι αὖ πολλαί εἰσιν; ΕΡΜ. Ναί. ΣΩ. Τῇ μεγίστῃ ἄρα ἐπιθυμίᾳ τῶν ἐπιθυμιῶν δεῖ αὐτοὺς, εἴπερ μέλλει τῷ μεγίστῳ δεσμῷ κατέχειν. ΕΡΜ. Ναί. ΣΩ. Ἔστιν οὖν τὶς μείζων ἐπιθυμία, ἢ ὅταν τίς τῳ συνὼν, οἴηται δι' ἐκεῖνον ἔσεσθαι ἀμείνων ἀνήρ;

que exhorruiſſe ſemper, cum minime deceat. Nam quisque ex hoc pertimeſcit, quod nemo poſtquam defunctus eſt, huc redit, quodve anima nudata corpore, illuc abit. Ceterum haec omnia, & regnum & nomen huius dei, eodem tendere mihi videntur. *Herm.* Quo pacto? *So.* Dicam quod ſentio. mihi enim reſponde: Utrum horum validius vinculum eſt ad quodvis animal alicubi detinendum, neceſſitasne, an cupiditas? *Herm.* Longe, o Socrates, praeſtat cupiditas. *So.* An non plurimi ᾅδην quotidie ſubterfugerent, niſi fortiſſimo vinculo eos qui illuc deſcendunt, vinciret? *Herm.* Videlicet. *So.* Quare cupiditate quadam eos, ut videtur, potius quam neceſſitate devincit, ſi modo vinculo nectit fortiſſimo. *Herm.* Apparet. *So.* Nonne rurſus multae cupiditates ſunt? *Herm.* Multae. *So.* Ergo vehementiſſima omnium cupiditate nectit eos, ſi modo debet inſolubili nodo connectere. *Herm.* Certe. *So.* Eſtne vehementior ulla cupiditas, quam ea qua quisque afficitur, dum alicuius conſuetudine meliorem ſe virum ſperat evadere? *Herm.*

ΕΡΜ. Μὰ Δί' οὐδ' ὁπωστιοῦν, ὦ Σώκρατες. ΣΩ. Διὰ ταῦτα ἆρα φῶμεν, ὦ Ἑρμόγενες, οὐδένα δεῦρο ἐθελῆσαι ἀπελθεῖν τῶν ἐκεῖθεν, οὐδὲ αὐτὰς τὰς Σειρῆνας; ἀλλὰ κατακεκηλῆσθαι ἐκείνας τε καὶ τοὺς ἄλλους πάντας; οὕτω καλούς τινας, ὡς ἔοικεν, ἐπίσαται λέγειν λόγους ὁ Ἅιδης· e. καὶ ἔστιν (ὡς γε ἐκ τοῦ λόγου τούτου) ὁ θεὸς οὗτος τέλεος σοφιστής τε καὶ μέγας εὐεργέτης τῶν παρ' αὐτῷ, ὅς γε καὶ τοῖς ἐνθάδε τοσαῦτα ἀγαθὰ ἀνίησιν. οὕτω πολλὰ αὐτῷ τὰ περιόντα ἐκεῖ ἐστι. καὶ τὸν Πλούτωνα ἀπὸ τούτου ἔσχε τὸ ὄνομα. καὶ τὸ αὖ μὴ ἐθέλειν συνεῖναι τοῖς ἀνθρώποις ἔχουσι τὰ σώματα, ἀλλὰ τό τε συγγίνεσθαι ἐπειδὰν ἡ ψυχὴ καθαρὰ ᾖ πάντων τῶν περὶ τὸ σῶμα κακῶν καὶ ἐπιθυμιῶν, οὐ φιλόσο- p. φον σοὶ δοκεῖ εἶναι, καὶ εὖ ἐντεθυμημένον; ὅτι οὕτω μὲν ἂν 404 κατέχοι αὐτοὺς, δήσας τῇ περὶ ἀρετὴν ἐπιθυμίᾳ· ἔχοντας δὲ τὴν τοῦ σώματος πτοίησιν καὶ μανίαν, οὐδ' ἂν ὁ Κρόνος δύναιτο ὁ πατὴρ συγκατέχειν αὐτῷ, ἐν τοῖς δεσμοῖς δήσας τοῖς αὐτοῦ λεγομένοις. ΕΡΜ. Κινδυνεύεις τι λέγειν, ὦ Σώκρα-

Nulla mehercle, Socrates. *So.* Hac de causa dicendum, Hermogenes, neminem huc illinc velle reverti, neque etiam Sirenas ipsas: immo & eas & ceteros omnes suaviſſimis Plutonis orationibus demulceri, quasique devinciri. Estque, ut ratio haec testatur, deus is sophista procul dubio disertiſſimus, & ingentia confert his qui penes ipsum habitant beneficia: qui usque adeo divitiis affatim abundat, ut tanta nobis bona suppeditet. unde & Pluto est nuncupatus. An non philosophi tibi videtur officium, virique summa prudentia & consilio praediti, quod nolit hominibus corpora habentibus adhaerere, sed tunc demum admittat eos, cum animus illorum est corporeis omnibus malis cupiditatibusque purgatus? excogitavit nempe hic deus, hac ratione se animos maxime detenturum, si virtutis eos aviditate vinciret. eos autem, qui stupore & insania corporis sunt infecti, ne pater quidem Plutonis Saturnus ipse, suis illis vinculis coercere valet, secumque tenere. *Herm.* Non nihil loqui videris, o Socrates. *So.* Longe abest, Hermogenes,

τες. ΣΩ. Καὶ τό γε ὄνομα ὁ Ἅδης, ὦ Ἑρμόγενες, πολλοῦ
b. δεῖ ἀπὸ τοῦ ἀειδοῦς ἐπωνομάσθαι· ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τοῦ πάντα τὰ καλὰ εἰδέναι, ἀπὸ τούτου ὑπὸ τοῦ νομοθέτου Ἅδης ἐκλήθη. ΕΡΜ. Εἶεν. τί δέ; Δήμητράν τε καὶ Ἥραν, καὶ Ἀπόλλω, καὶ Ἀθηνᾶν, καὶ Ἥφαιστον, καὶ Ἄρην, καὶ τοὺς ἄλλους θεούς, πῶς λέγομεν; ΣΩ. Δημήτηρ μὲν φαίνεται, κατὰ τὴν δόσιν τῆς ἐδωδῆς, διδοῦσα ὡς μήτηρ, Δημήτηρ κεκλῆ-
c. σθαι. Ἥρα δὲ, ὡς ἐρατή τις, ὥσπερ οὖν καὶ λέγεται ὁ Ζεὺς αὐτῆς ἐρασθεὶς ἔχειν. ἴσως δὲ μετεωρολογῶν ὁ νομοθέτης τὸν ἀέρα Ἥραν ὠνόμασεν, ἐπικρυπτόμενος, θεὶς τὴν ἀρχὴν ἐπὶ τελευτήν. γνοίης δ' ἄν, εἰ πολλάκις λέγοις τὸ τῆς Ἥρας ὄνομα. Φερρέφαττα δὲ, πολλοὶ μὲν καὶ τοῦτο φοβοῦνται τὸ ὄνομα, καὶ τὸν Ἀπόλλω, ὑπὸ ἀπειρίας, ὡς ἔοικεν, ὀνομάτων ὀρθότητος. καὶ γὰρ μεταβάλλοντες σκοποῦνται τὴν Φερσεφόνην, καὶ δεινὸν αὐτοῖς φαίνεται. τὸ δὲ μηνύει σοφὴν εἶναι τὴν θεόν.
d. ἅτε γὰρ φερομένων τῶν πραγμάτων, τὸ ἐφαπτόμενον καὶ ἐπαφῶν, καὶ δυνάμενον ἐπακολουθεῖν, σοφία ἂν εἴη. Φερέ-

ut nomen Ἅδης, quasi ἀειδὴς, id est, triste tenebrosumve, sit dictum: immo multo magis trahitur ἀπὸ τοῦ εἰδέναι, id est, nosse, omnia pulchra. ex hoc itaque deus iste a nominum conditore Ἅδης est nuncupatus. *Herm.* Esto. Quid praeterea dicimus de Cereris nomine, Iunonisque, Apollinis & Minervae, Vulcanique & Martis, ceterorumque deorum? *So.* Ceres quidem Δημήτηρ nuncupatur ab ipsa alimentorum largitione, quasi διδοῦσα μήτηρ, hoc est, exhibens mater. Ἥρα vero, id est, Iuno, quasi ἐρατὴ, id est, amabilis, propter amorem quo Iupiter in eam afficitur. Forte etiam sublime spectans qui hoc nomen instituit, aërem Ἥραν denominavit, & obscure locutus est, ponens in fine principium: quod quidem patebit tibi, si nomen illud frequenter pronuntiaveris. Φερρέφαττην, id est, Proserpinam, & Ἀπόλλω nominare nonnulli verentur, propterea quod illis ignota est nominum rectitudo. enimvero permutantes Φερσεφόνην ipsam considerant, graveque id illis apparet. hoc autem deae ipsius sapientiam indicat. sapientia

πάφα οὖν, διὰ τὴν σοφίαν καὶ τὴν ἐπαφὴν τοῦ φερομένου, ἡ θεὸς ἂν ὀρθῶς καλοῖτο, ἢ τοιοῦτόν τι· δι' ὅπερ καὶ σύνεσιν αὐτῇ ὁ Ἅδης σοφὸς ὢν, διότι τοιαύτη ἐστί. νῦν δὲ αὐτῆς ἐκκλίνουσι τὸ ὄνομα, εὐσχημοσύνην περὶ πλείονος ποιούμενοι τῆς ἀληθείας, ὥστε Φερρέφατταν αὐτὴν καλεῖν. ταυτὸν δὲ καὶ περὶ τὸν Ἀπόλλω, ὅπερ λέγω, πολλοὶ πεφόβηνται περὶ τὸ ὄνομα τοῦ θεοῦ, ὡς τι δεινὸν μηνύοντος. ἢ οὐκ ἤσθησαι; ΕΡΜ. Πάνυ μὲν οὖν· καὶ ἀληθῆ λέγεις. ΣΩ. Τὸ δέ γ' ἐξιὸν, ὡς ἐμοὶ δοκεῖ, κάλλιστα κείμενον πρὸς τὴν δύναμιν τοῦ θεοῦ. ΕΡΜ. Πῶς δή; ΣΩ. Ἐγὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται. οὐ γάρ ἐστιν ὅ, τι ἂν μᾶλλον ἥρμοσεν ὄνομα ἓν ὃν τέτταρσι δυνάμεσι ταῖς τοῦ θεοῦ, ὥστε πασῶν ἐφάπτεσθαι, καὶ δηλοῦν τρόπον τινὰ μουσικήν τε καὶ μαντικὴν, καὶ ἰατρικὴν, καὶ τοξικήν. ΕΡΜ. Λέγε δή. ἄτοπον γάρ τι μοὶ λέγεις τὸ ὄνομα εἶναι. ΣΩ. Εὐάρμοστον μὲν οὖν, ἅτε μουσικοῦ ὄντος τοῦ θεοῦ. πρῶτον μὲν γὰρ, ἡ κάθαρσις καὶ οἱ καθαρμοὶ καὶ κατὰ τὴν ἰατρικὴν καὶ

e. 405 a.

utique est quae res fluentes attingit, & assequi potest. Quamobrem Φερέπαφα merito dea haec nominaretur, propter sapientiam, & ἐπαφὴν, id est, contactum, φερομένου, id est, eius quod fertur, vel tale aliquid. Quocirca adhaeret illi sapiens ipse Ἅδης, quia ipsa talis est. Nunc autem nomen hoc declinant, pluris facientes prolationis gratiam quam veritatem, ut Φερρέφατταν ipsam nominent. Idem quoque circa Apollinis nomen accidit. nam plerique id nomen exhorrent, quasi terribile aliquid prae se ferat. an non nosti? *Herm.* Novi equidem, & vera loqueris. *So.* Hoc autem, ut arbitror, huius dei potentiae maxime convenit. *Herm.* Qua ratione? *So.* Conabor sententiam meam exprimere. Nullum profecto nomen aliud unum quatuor huius dei potentiis reperiri convenientius potuisset, quod & comprehenderet omnes, & ipsius quodammodo declararet musicam, vaticinium, medicinam & sagittandi peritiam. *Herm.* Aperias iam. mirum enim quiddam nomen esse id ais. *So.* Congrue quidem compositum est, consonatque, utpote quod ad deum pertinet musicum. Principio pur-

κατὰ τὴν μαντικὴν, καὶ αἱ τοῖς ἰατρικοῖς φαρμάκοις καὶ αἱ
b. τοῖς μαντικοῖς περιθειώσεις τε καὶ λουτρὰ τὰ ἐν τοῖς τοιούτοις, καὶ αἱ περιῤῥάνσεις, πάντα ταῦτα ἕν τι δύναιντ' ἂν καθαρὸν παρέχειν τὸν ἄνθρωπον καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν. ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν ὁ καθαίρων θεὸς, καὶ ὁ ἀπολούων τε καὶ ὁ ἀπολύων τῶν τοιούτων κακῶν, οὗτος ἂν εἴη. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Κατὰ μὲν τοίνυν τὰς ἀπολύσεις τε καὶ ἀπολούσεις, ὡς ἰατρὸς ὢν τῶν
c. τοιούτων, ἀπολύων ἂν ὀρθῶς καλοῖτο· κατὰ δὲ τὴν μαντικὴν, καὶ τὸ ἀληθές τε καὶ τὸ ἁπλοῦν (ταυτὸν γάρ ἐστιν) ὥσπερ οἱ Θετταλοὶ καλοῦσιν αὐτὸν, ὀρθότατ' ἂν καλοῖτο. Ἁπλοῦν γάρ φασι πάντες Θετταλοὶ τοῦτον τὸν θεόν. διὰ δὲ τὸ ἀεὶ βολῶν ἐγκρατὴς εἶναι τοξικῇ, ἀεὶ βάλλων ἑστί. κατὰ δὲ τὴν μουσικὴν δεῖ ὑπολαβεῖν, ὥσπερ τὸν ἀκόλουθόν τε καὶ τὴν ἄκοιτιν, ὅτι τὸ α σημαίνει πολλαχοῦ τὸ ὁμοῦ, καὶ ἐνταῦθα τὴν

gatio purificationesque, & secundum medicinam & secundum vaticinium, item quae medicorum pharmacis peraguntur, ac vatum incantationes expiationesque, lavacra, & aspersiones, unum hoc intendunt, purum hominem & corpore & anima reddere. nonne? *Herm.* Omnino. *So.* Nonne deus qui purgat, ipse erit ἀπολούων & ἀπολύων, id est, abluens a malis, solvens a malis, servansque: quod Apollo ipse significat? *Herm.* Absque dubio. *So.* Quatenus itaque diluit atque solvit, ut talium medicus, ἀπολύων merito nuncupatur. Secundum vero divinationem verumque & ἁπλοῦν, id est, simplex, quod idem est, recte more Thessalorum nominare hunc possumus. hi nempe omnes deum hunc ἁπλὸν vocant. Quatenus autem ἀεὶ βολῶν ἐγκρατής ἐστι, id est, coniectiones telorum, cum arcum intendit, semper in sua potestate habet, ἀεὶ βάλλων dici potest, hoc est, perpetuo collineans, & dirigens. Secundum vero musicam de hoc est cogitandum, quemadmodum de eo quod dicitur ἀκόλουθος & ἄκοιτις, id est, pedissequus, comes, & uxor: in quibus α, ut & in aliis multis, idem quod simul significat. & hic quoque α & πόλησις significant versio-

ὁμοῦ πόλησιν, καὶ περὶ τὸν οὐρανὸν, οὓς δὴ πόλους καλοῦσι· d.
καὶ τὴν περὶ τὴν ἐν τῇ ᾠδῇ ἁρμονίαν, ἣ δὴ συμφωνία καλεῖται. ὅτι ταῦτα πάντα, ὡς φασιν οἱ κομψοὶ περὶ μουσικὴν καὶ ἀστρονομίαν, ἁρμονίᾳ τινὶ πολεῖ ἅμα πάντα. ἐπίσταται δὲ οὗτος ὁ θεὸς τῇ ἁρμονίᾳ, ὁμοπολῶν αὐτὰ πάντα, καὶ κατὰ θεοὺς καὶ κατ' ἀνθρώπους. ὥσπερ οὖν τὸν ὁμοκέλευθον καὶ ὁμόκοιτιν, ἀκόλουθον καὶ ἄκοιτιν ἐκαλέσαμεν, μεταβάλλοντες ἀντὶ τοῦ ο α, οὕτω καὶ Ἀπόλλωνα ἐκαλέσαμεν, ὃς ἦν ὁμοπολῶν, ἕτερον λ ἐμβάλλοντες· ὅτι ὁμώνυμον ἐγίγνετο τῷ χα- e.
λεπῷ ὀνόματι. ὅπερ καὶ νῦν ὑποπτεύοντες τινὲς, διὰ τὸ μὴ ὀρθῶς σκοπεῖσθαι τὴν δύναμιν τοῦ ὀνόματος, φοβοῦνται αὐτὸ, ὡς σημαῖνον φθοράν τινα. τὸ δὲ πολὺ, ὥσπερ ἄρτι ἐλέγετο, πασῶν ἐφαπτόμενον κεῖται τῶν τοῦ θεοῦ δυνάμεων, p.
ἁπλοῦ, ἀεὶ βάλλοντος, ἀπολούντος, ὁμοπολοῦντος. Τὰς δὲ 406
Μούσας τε καὶ ὅλως τὴν μουσικὴν, ἀπὸ τοῦ μῶσθαι, ὡς ἔοικε, καὶ τῆς ζητήσεώς τε καὶ φιλοσοφίας τὸ ὄνομα τοῦτο ἐπωνόμασε. Λητὼ δὲ, ἀπὸ τῆς πραότητος τῆς θεοῦ, κατὰ τὸ

nem, quae simul & una peragitur in coelis, quae per eos fit quos πόλους vocamus: in cantu vero ἁρμονίᾳ, quam dicimus συμφωνίαν. nam in his, ut tradunt musicae & astronomiae periti, harmonia quadam simul omnia convertuntur. hic autem deus harmoniae praesidet ὁμοπολῶν, id est, simul vertens haec omnia, & apud deos, & apud homines. Quemadmodum igitur ὁμοκέλευθον & ὁμόκοιτιν, id est, simul euntem & simul iacentem, vocavimus ἀκόλουθον & ἄκοιτιν, ο in α permutantes: ita Apollinem nominavimus eum qui erat ὁμοπολῶν, altero λ interiecto: quia aequivocum fuisset duro cum nomine. quod & his temporibus suspicati plerique, ex eo quod non recte vim nominis huius animadvertunt, perinde hoc metuunt, ac si perniciem quandam significaret. sed revera nomen hoc omnes huius dei vires complectitur, quemadmodum supra diximus. significat enim simplicem, perpetuum iaculatorem, expiatorem & convertentem. Musarum vero & musicae nomen, ab eo quod dicitur μῶσθαι, id est, inquirere, indaga-

ἐθελήμονα εἶναι ὧν ἄν τις δέηται. ἴσως δὲ ὡς οἱ ξένοι καλοῦσι· πολλοὶ γὰρ Ληθὼ καλοῦσιν. ἔοικεν οὖν πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους ἀλλ' ἥμερόν τε καὶ λεῖον Ληθὼ κεκλῆσθαι ὑπὸ
b. τῶν τοῦτο καλούντων. Ἄρτεμις δὲ, τὸ ἀρτεμὲς φαίνεται καὶ τὸ κόσμιον, διὰ τὴν τῆς παρθενίας ἐπιθυμίαν. ἴσως δὲ ἀρετῆς ἱστορα τὴν θεὸν ἐκάλεσεν ὁ καλέσας. τάχα δ' ἂν καὶ ὡς τὸν ἄροτον μισησάσης τὸν ἀνδρὸς ἐν γυναικὶ, ἢ διὰ τούτων τί, ἢ διὰ πάντα ταῦτα, τὸ ὄνομα τοῦτο ὁ τιθέμενος ἔθετο τῇ θεῷ. ΕΡΜ. Τί δαὶ ὁ Διόνυσός τε καὶ ἡ Ἀφροδίτη; ΣΩ. Μεγάλα, ὦ παῖ Ἱππονίκου, ἐρωτᾷς. ἀλλὰ ἐξὶ γὰρ καὶ σπουδαίως εἰρημένος ὁ τρόπος τῶν ὀνομάτων τούτοις τοῖς θεοῖς
c. καὶ παιδικῶς. τὸν μὲν οὖν σπουδαῖον ἄλλους τινὰς ἐρώτα· τὸν δὲ παιδικὸν οὐδὲν κωλύει διελθεῖν. φιλοπαίγμονες γὰρ καὶ οἱ θεοί. ὅ, τε γὰρ Διόνυσος εἴη ἂν ὁ διδοὺς τὸν οἶνον, Διδοίνυσος ἐν παιδιᾷ καλούμενος. οἶνος δ', ὅτι οἴεσθαι νοῦν ἔχειν

tioneque & ſtudio ſapientiae, tractum eſt. Λητὼ, id eſt, Latona, a manſuetudine dicitur, quia ſit ἐθελήμων, id eſt, promta & expoſita & libens ad id quod petit quisque exhibendum. forte vero, ut peregrini vocant. multi namque Ληθὼ nominant. quod nomen tribuiſſe videntur, quia non rigida illi mens, ſed mitis: ideo Ληθὼ, quaſi λεῖον ἦθους, id eſt, mos lenis & mitis, ab illo cognominatur. Ἄρτεμις autem, id eſt, Diana, ex eo quod ἀρτεμὲς, quaſi integra modeſtaque ſit, propter virginitatis electionem. Forſitan etiam quaſi ἀρετῆς ἱστορα, id eſt, virtutis conſciam, vocavit nominis inſtitutor. Fortaſſis etiam dicta eſt Artemis, quaſi ἄροτον μισησάσης, id eſt, quaſi illa congreſſum oderit viri cum muliere. vel enim propter horum aliquid, vel propter omnia huiusmodi, nomen eſt inſtitutum. *Herm.* Cur vero Διόνυσος & Ἀφροδίτη? *So.* Magna petis, Hipponici fili: Atqui eſt nominum ratio his diis impoſitorum gemina: ſeria videlicet & iocoſa. Seriam quidem ab aliis quaere: iocoſam autem nihil prohibet recenſere. Iocoſi ſane & dii ſunt: Dionyſusque eſt διδοὺς τὸν οἶνον, id eſt, vini dator, quaſi Διδοίνυσος, ioco quodam cognominatus. Vinum autem

ποιεῖ τῶν πινόντων τοὺς πολλοὺς, οὐκ ἔχοντας, οἰόνους δικαιότατ' ἂν καλούμενος. Περὶ δὲ Ἀφροδίτης οὐκ ἄξιον Ἡσιόδῳ ἀντιλέγειν, ἀλλὰ συγχωρεῖν, ὅτι διὰ τὴν τοῦ ἀφροῦ γένεσιν Ἀφροδίτη ἐκλήθη. ΕΡΜ. Ἀλλὰ μὴν οὐδ' Ἀθηνᾶς, d.
Ἀθηναῖός γ' ὢν, ὦ Σώκρατες, ἐπιλήσῃ, οὐδ' Ἡφαίστου τε καὶ Ἄρεος. ΣΩ. Οὐδὲ εἰκός γε. ΕΡΜ. Οὐ γάρ. ΣΩ. Οὐκοῦν τὸ μὲν ἕτερον ὄνομα αὐτῆς οὐ χαλεπὸν εἰπεῖν διὸ κεῖται. ΕΡΜ. Τὸ ποῖον; ΣΩ. Παλλάδα που αὐτὴν καλοῦμεν. ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Τοῦτο μὲν τοίνυν ἀπὸ τῆς ἐν τοῖς ὅπλοις ὀρχήσεως ἡγούμενοι τεθῆναι, ὀρθῶς ἂν, ὡς ἐγῷμαι, ἡγοί- e.
μεθα. τὸ γάρ που ἢ αὐτὸν ἢ τι ἄλλο μετεωρίζειν, ἢ ἀπὸ τῆς γῆς, ἢ ἐν ταῖς χερσὶ, πάλλειν τε καὶ πάλλεσθαι, καὶ ὀρχεῖν p.
καὶ ὀρχεῖσθαι καλοῦμεν. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Παλ- 407
λάδα μὲν τοίνυν ταύτην. ΕΡΜ. Καὶ ὀρθῶς γε. ἀλλὰ δὴ τὸ ἕτερον πῶς λέγεις; ΣΩ. Τὸ τῆς Ἀθηνᾶς; ΕΡΜ. Ναί. ΣΩ. Τοῦτο ἐμβριθέστερον, ὦ φίλε. ἔοικασι δὴ καὶ οἱ παλαιοὶ τὴν Ἀθηνᾶν νομίζειν, ὥσπερ οἱ νῦν περὶ Ὅμηρον δεινοί. καὶ γὰρ

merito vocari poteſt οἰόνους, quod efficiat ut bibentes plerique mente alienati, οἴεσθαι νοῦν ἔχειν, id eſt, mentem habere ſe putent. De Venere Heſiodo repugnare non decet, ſed concedere, propter ipſam ex ἀφροῦ, hoc eſt, ex ſpuma, generationem Ἀφροδίτην vocari. *Herm.* At vero Ἀθηνᾶν, id eſt, Minervam, o Socrates, cum ſis Athenienſis, Vulcanumque & Martem, ſilentio non praeteribis. *So.* Haudquaquam decet. *Herm.* Non certe. *So.* Alterum quidem eius nomen quamobrem ſit impoſitum, haud difficile dictu. *Herm.* Quod? *So.* Palladem eam vocamus. *Herm.* Plane. *So.* Nomen cenſendum eſt a ſaltatione in armis ductum fuiſſe. nam vel ſeſe, vel aliud a terra attollere, ſeu manibus aliquid efferre, dicimus πάλλειν & πάλλεσθαι, id eſt, vibrare, agitareque & agitari, & ſaltationem perpeti. *Herm.* Abſque controverſia. *So.* Palladem igitur hac ratione vocamus. *Herm.* Ac merito. ſed alterum eius nomen quo pacto interpretaris? *So.* Ἀθηνᾶν quaeris? *Herm.* Id ipſum. *So.* Gravius hoc, amice. videntur priſci Ἀθηνᾶν exiſtimare,

τούτων οἱ πολλοὶ ἐξηγούμενοι τὸν ποιητὴν, φασὶ τὴν Ἀθηνᾶν
b. αὐτὸν νοῦν τε καὶ διάνοιαν πεποιηκέναι. καὶ ὁ τὰ ὀνόματα ποιῶν ἔοικε τοιοῦτόν τι περὶ αὐτῆς διανοεῖσθαι. ἔτι δὲ μειζόνως λέγων θεοῦ νόησιν, ὥσπερεὶ λέγει ὅτι ἡ Θεονόη ἔστιν αὕτη, τῷ α ξενικῶς ἀντὶ τοῦ η χρησάμενος, καὶ τὸ ι καὶ τὸ σ ἀφελών. ἴσως δὲ οὐδὲ ταύτῃ· ἀλλ' ὡς τὰ θεῖα νοούσης αὐτῆς διαφερόντως τῶν ἄλλων, Θεονόην ἐκάλεσεν. οὐδὲν δὲ ἀπέχει καὶ τὴν ἐν τῷ ἤθει νόησιν, ὡς οὖσαν τὴν θεὸν ταύτην, Ἠθονόην
c. μὲν βούλεσθαι προσειπεῖν· παραγαγὼν δὲ, ἢ αὐτὸς, ἢ τινες ὕστερον, ἐπὶ τὸ κάλλιον, ὡς ᾠοντο, Ἀθηνᾶν ἐκάλεσαν. ΕΡΜ. Τί δαὶ δὴ τὸν Ἥφαιστον; πῇ λέγεις; ΣΩ. Ἢ τὸν γενναῖον τὸν φάεος ἵστορα ἐρωτᾷς; ΕΡΜ. Ἔοικα. ΣΩ. Οὐκοῦν οὗτος μὲν παντὶ δῆλος Φαῖστος ὢν, τὸ η προσελκυσάμενος, τὸ εἶναι Ἥφαιστον. ΕΡΜ. Κινδυνεύει, ἐὰν μή πη σοὶ ἔτι ἄλλῃ δόξῃ. ΣΩ. Ἀλλ' ἵνα μὴ δόξῃ, τὸν Ἄρη ἐρώτα. ΕΡΜ. Ἐρωτῶ.

quemadmodum hi qui his temporibus in Homeri interpretationibus sunt eruditi. nam istorum plurimi Homerum exponunt, Ἀθηνᾶν tanquam mentem cogitationemque finxisse. & qui nomina invenit, tale aliquid de illa sensisse videtur: immo etiam altius eam extollens, ut Dei mentem induxit, perinde ac si diceret ἡ Θεονόη haec est, utens α pro η externo quodam ritu, ι vero & σ detrahens. Forte vero non ita, sed θεῖα νόησις, id est, utpote quae divina cognoscat, prae ceteris omnibus Θεονόην, id est, divina cognoscentem vocavit. Neque ab re erit, si dixerimus voluisse illum appellare eam Ἠθονόην, quasi ipsa in moribus intelligentia sit. ipse postmodum, vel etiam posteriores, in pulchrius, ut videbatur, aliquid producendo, Athenam denominarunt. *Herm.* Quid? de Vulcano quem Ἥφαιστον nominant, quid ais? *So.* Num generosum ipsum φάεος ἵστορα, id est, luminis praesidem quaeris? *Herm.* Hunc quaesisse videor. *So.* Hic, ut cuique patere potest, Φαῖστος est, & η sibi vendicat. unde Ἥφαιστος, id est, luminis praeses est dictus. *Herm.* Fortasse: nisi tibi quoquo modo adhuc aliter videatur. *So.* At ne videatur aliter, de Marte inter-

ΣΩ. Οὐκοῦν, εἰ μὲν βούλει, κατὰ τὸ ἄῤῥεν τε καὶ κατὰ τὸ d.
ἀνδρεῖον Ἄρης ἂν εἴη· εἰ δ' αὖ κατὰ τὸ σκληρόν τε καὶ ἀμε-
τάτροφον, ὃ δὴ ἄῤῥατον καλεῖται, καὶ ταύτῃ ἂν πανταχῇ
πολεμικῷ θεῷ πρέποι Ἄρη καλεῖσθαι. ΕΡΜ. Πάνυ μὲν οὖν.
ΣΩ. Ἐκ μὲν οὖν τῶν θεῶν, πρὸς θεῶν, ἀπαλλαγῶμεν· ὡς
ἐγὼ δέδοικα περὶ αὐτῶν διαλέγεσθαι. περὶ δὲ ἄλλων εἴτινων
βούλει, πρόβαλλέ μοι, ὅφρα ἴδῃαι οἷοι Εὐθύφρονος ἵπποι.
ΕΡΜ. Ἀλλὰ ποιήσω ταῦτα, ἔτι γε ἓν ἐρόμενός σε περὶ Ἑρ- e.
μοῦ· ἐπειδή με καὶ οὗ φησι Κρατύλος Ἑρμογένη εἶναι. πει-
ρώμεθα οὖν τὸν Ἑρμῆν σκέψασθαι, τί καὶ νοεῖ τὸ ὄνομα, ἵνα
καὶ εἰδῶμεν εἴτι ὀδε λέγει. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ἔοικε περὶ
λόγον τε εἶναι ὁ Ἑρμῆς, καὶ τὸ ἑρμηνέα εἶναι, καὶ τὸ ἄγ-
γελον, καὶ τὸ κλωπικόν τε καὶ τὸ ἀπατηλὸν ἐν λόγοις, καὶ p.
τὸ ἀγοραστικόν· περὶ λόγου δύναμιν ἐστὶ πᾶσα αὕτη ἡ πραγ- 408
ματεία. ὅπερ οὖν καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, τὸ εἴρειν, a.
λόγου χρεία ἐστί· τὸ δὲ, οἷον καὶ Ὅμηρος πολλαχοῦ λέγει,
ἐμήσατο φησί. τοῦτο δὲ, μηχανήσασθαι ἐστίν. ἐξ ἀμφοτέρων

roga. *Herm.* Interrogo. *So.* Si placet, Ἄρης, id eſt, Mars, dicitur ſecundum ἄῤῥεν, id eſt, maſculum, & ἀνδρεῖον, id eſt, forte. Quin etiam, ſi volueris ob naturam quandam aſperam, duram, atque invictam, immutabilemque, quod totum ἄῤῥατον appellatur, Ἄρη vocatum fuiſſe, hoc quoque Deo penitus bellicoſo conveniet. *Herm.* Prorſus. *So.* Deos iam mittamus, per deos obſecro. nam de ipſis diſſerere vereor. Ad alia vero quaecunque vis, me provoca, ut quales Euthyphronis equi ſint, noveris. *Herm.* Faciam ut petis, ſi unum de me quaeſivero. me ſiquidem Cratylus Hermogenem eſſe negat. inveſtigemus itaque quid Ἑρμοῦ, id eſt, Mercurii nomen ſignificet: ut ſi quid veri hic loquitur, videamus. *So.* Ἑρμῆς, id eſt, Mercurius ad ſermonem pertinere videtur, quatenus ἑρμηνεὺς eſt, hoc eſt, interpres, & nuntius, furtivus, in loquendo ſeductor, ac vehemens concionator. totum id circa ſermonem verſatur. profecto, quemadmodum in ſuperioribus diximus, εἴρειν ſermonis uſus eſt. Saepe vero de hoc Homerus ait, ἐμήσατο, id eſt,

οὖν τούτων, τὸν τὸ λέγειν τε καὶ τὸ εἴρειν μησάμενον (τὸ δὲ λέγειν δή ἐστιν εἴρειν) τοῦτον τὸν θεὸν ὥσπερεὶ ἐπιτάττει ἡμῖν
b. ὁ νομοθέτης, Ὦ ἄνθρωποι, ὃς τὸ εἴρειν ἐμήσατο, δικαίως ἂν καλοῖτο ὑπὸ ὑμῶν Εἰρέμης. νῦν δὲ ἡμεῖς, ὡς οἰόμεθα, καλλωπίζοντες τὸ ὄνομα Ἑρμῆν καλοῦμεν. καὶ ἥ γε Ἶρις ἀπὸ τοῦ εἴρειν ἔοικε κεκλημένη, ὅτι ἄγγελος ἦν. ΕΡΜ. Νὴ τὸν Δία εὖ ἄρα μοι δοκεῖ Κρατύλος λέγειν, τὸ ἐμὲ μὴ εἶναι Ἑρμογένη. οὔκουν εὐμήχανός γε εἰμὶ λόγου. ΣΩ. Καὶ τόγε τὸν Πᾶνα τοῦ Ἑρμοῦ εἶναι υἱὸν διφυῆ, ἔχει τὸ εἰκὸς, ὦ
c. ἑταῖρε. ΕΡΜ. Πῶς δή; ΣΩ. Οἶσθα ὅτι ὁ λόγος τὸ πᾶν σημαίνει, καὶ κυκλεῖ καὶ πολεῖ ἀεί· καὶ ἔστι διπλοῦς, ἀληθής τε καὶ ψευδής. ΕΡΜ. Πάνυ γε. ΣΩ. Οὐκοῦν τὸ μὲν ἀληθὲς αὐτοῦ, λεῖον καὶ θεῖον, καὶ ἄνω οἰκοῦν ἐν τοῖς θεοῖς· τὸ δὲ ψεῦδος, κάτω, ἐν τοῖς πολλοῖς τῶν ἀνθρώπων, καὶ τραχύ, καὶ τραγικόν. ἐνταῦθα γὰρ πλεῖστοι οἱ μῦθοί τε καὶ τὰ ψευδῆ ἔστι περὶ τὸν τραγικὸν βίον. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὀρθῶς ἄρα

machinatus est. ex utrisque igitur nomen huius dei componitur, tum ex eo quod loqui est, tum ex eo quod machinari & excogitare dicenda: perinde ac si nominis auctor nobis praeciperet, Par est, o viri, ut deum illum qui *εἰρειν ἐμήσατο*, id est, loqui machinatus est, Εἰρέμην vocetis. Nos autem, arbitrati sic elegantius eloqui, Ἑρμῆν vocamus. Quin etiam Ἶρις, ab eo quod *ειρειν*, id est, loqui, nomen habere videtur, propterea quod nuntia est. *Herm.* Probe medius fidius Hermogenem esse me Cratylus negavisse videtur. ad orationis enim inventionem hebes sum. *So.* Consentaneum quoque, amice, Πᾶνα biformem filium esse Mercurii. *Herm.* Qua ratione? *So.* Scis, quod sermo τὸ πᾶν, id est, omne significat, circuitque & volvit semper, estque geminus, verus videlicet ac falsus. *Herm.* Equidem. *So.* An non id quod est in sermone verum, leve est atque divinum, supraque inter deos habitans? contra quod falsum, infra inter hominum vulgus asperum atque tragicum? hinc enim fabularum commenta, & falsa quam plurima circa tragicam vitam reperiuntur. *Herm.* Sic est omnino. *So.* Merito

ὁ πᾶν μηνύων καὶ ἀεὶ πολῶν, Πὰν αἰπόλος εἴη, διφυὴς Ἑρμοῦ d.
υἱός· τὰ μὲν ἄνωθεν, λεῖος, τὰ δὲ κάτωθεν, τραχύς· καὶ τρα-
γοειδής. καὶ ἔστιν ἤτοι λόγος ἢ λόγου ἀδελφὸς ὁ Πάν, εἴπερ
Ἑρμοῦ υἱός ἐστιν. ἀδελφῷ δὲ ἐοικέναι ἀδελφὸν, οὐδὲν θαυμα-
στόν. ἀλλ', ὅπερ ἐγὼ ἔλεγον, ὦ μακάριε, ἀπαλλαγῶμεν ἐκ
τῶν θεῶν. ΕΡΜ. Τῶν γε τοιούτων, ὦ Σώκρατες, εἰ βούλει.
περὶ δὲ τῶν τοιῶνδε τί σε κωλύει διελθεῖν, οἷον ἡλίου τε καὶ
σελήνης, καὶ ἄστρων, καὶ γῆς, καὶ αἰθέρος, καὶ ἀέρος, καὶ
πυρὸς, καὶ ὕδατος, καὶ ὡρῶν, καὶ ἐνιαυτοῦ; ΣΩ. Συχνὰ μέν e.
μοι προστάττεις· ὅμως δὲ εἰπέρ σοι κεχαρισμένον ἔσαι, ἐθέλω.
ΕΡΜ. Καὶ μὴν χαριῇ. ΣΩ. Τί δὴ οὖν βούλει πρῶτον; ἢ,
ὥσπερ εἶπες, τὸν ἥλιον διέλθωμεν; ΕΡΜ. Πάνυ γε. ΣΩ.
Ἔοικε τοίνυν κατάδηλον γενόμενον ἂν μᾶλλον εἰ τῷ Δωρικῷ
τις ὀνόματι χρῷτο. ἅλιον γὰρ καλοῦσιν οἱ Δωριεῖς. ἅλιος p.
οὖν εἴη μὲν ἂν κατὰ τὸ ἁλίζειν εἰς ταυτὸ τοὺς ἀνθρώπους, 409
ἐπειδὰν ἀνατείλῃ· εἴη δ' ἂν καὶ τῷ περὶ τὴν γῆν ἀεὶ εἱλεῖν a.
ἰών. ἐοίκοι δ' ἂν καὶ ὅτι ποικίλλει ἰὼν τὰ γιγνόμενα ἐκ τῆς

igitur qui est πᾶν μηνύων, id est, omnia nuntians, & ἀεὶ πολῶν, id est, semper volutans, Πὰν αἰπόλος, biformis Mercurii filius diceretur, superioribus partibus levis ac delicatus, inferioribus asper atque hircinus. Estque Pan vel ipse sermo, vel sermonis frater; siquidem est Mercurii filius. Fratrem vero fratri similem esse quid mirum? Ceterum iam, o beate, ut & paulo ante rogabam, sermonem de diis hunc abrumpamus. *Herm.* Tales quidem deos, si vis, mittamus, o Socrates. huiusmodi vero quaedam percurrere quid prohibet, Solem, lunam, stellas, terram, aetherem, aërem, ignem, aquam, ver & annum? *So.* Multa sunt ac magna quae postulas. si tamen gratum tibi futurum est, obsequar. *Herm.* Pergratum plane. *So.* Quid primum poscis? an, ut ipse narrabas, inprimis ἥλιον, id est, Solem? *Herm.* Profecto. *So.* Manifestius fore videtur, si Dorico nomine quis utatur. Dores enim ἅλιον vocant: atque ita vocatur secundum ἁλίζειν, id est, ex eo quod congregat in unum homines, cum exoritur. item ex eo, quod circa terram ἀεὶ

γῆς. τὸ δὲ ποικίλλειν καὶ αἰολεῖν, ταυτόν. ΕΡΜ. Τί δὲ ἡ σελήνη; ΣΩ. Τοῦτο δὲ τὸ ὄνομα φαίνεται τὸν Ἀναξαγόραν πιέζειν. ΕΡΜ. Τί δή; ΣΩ. Ἔοικε δηλοῦν τι παλαιότερον, ὃ ἐκεῖνος νεωστὶ ἔλεγεν, ὅτι ἡ σελήνη ἀπὸ τοῦ ἡλίου ἔχει τὸ φῶς.
b. ΕΡΜ. Πῶς δή; ΣΩ. Τὸ μέν που σέλας καὶ τὸ φῶς, ταυτόν. ΕΡΜ. Ναί. ΣΩ. Νέον δέ που καὶ ἔννον ἀεί ἐστι περὶ τὴν σελήνην τοῦτο τὸ φῶς, εἴπερ ἀληθῆ οἱ Ἀναξαγόρειοι λέγουσι. κύκλῳ γάρ που ἀεὶ αὐτὴν περιΐων, νέον ἀεὶ ἐπιβάλλει· ἔννου δὲ ὑπάρχει τὸ τοῦ προτέρου μηνός. ΕΡΜ. Πάνυ γε. ΣΩ. Σελαναίαν δὲ γε καλοῦσιν αὐτὴν πολλοί. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὅτι δὲ σέλας νέον τε καὶ ἔννον ἔχει ἀεί, σελαεννεοάειαν
c. μὲν δικαιόταθ' ἂν τῶν ὀνομάτων καλοῖτο· συγκεκροτημένον δὲ, σελαναία κέκληται. ΕΡΜ. Διθυραμβῶδές γε τοῦτο τοὔνομα, ὦ Σώκρατες. ἀλλὰ τὸν μῆνα καὶ τὰ ἄστρα πῶς λέγεις; ΣΩ. Ὁ μὲν μείς, ἀπὸ τοῦ μειοῦσθαι εἴη ἂν μείης ὀρθῶς κεκλημένος· τὰ δ' ἄστρα ἔοικε τῆς ἀστραπῆς ἐπωνυμίαν

εἱλεῖ, id est, semper revolvitur. praeterea, quia variet circuitu suo quae terra nascuntur. variare autem & αἰολεῖν, idem est. *Herm.* Quid vero de σελήνη, id est, Luna, dicendum? *So.* Nomen hoc videtur Anaxagoram premere. *Herm.* Cur? *So.* Quoniam prae se aliquid fert antiquius, quod ille nuper dixit, quod Luna a Sole lumen haurit. *Herm.* Quo pacto? *So.* Σέλας idem est, quod lumen. *Herm.* Idem. *So.* Lumen hoc perpetuo circa lunam νέον & ἔννον est, id est, novum ac vetus, si modo Anaxagorici vera loquuntur: nam circumlustrans eam, continue renovatur. vetus autem est mensis praeteriti lumen. *Herm.* Utique. *So.* Lunam quidem σελαναίαν multi nominant. *Herm.* Certe. *So.* Quoniam vero lumen novum ac vetus semper habet, merito vocari deberet σελαεννεοάεια. nunc autem conciso vocabulo σελαναία vocatur. *Herm.* Dithyrambicum nomen hoc est, o Socrates. verum μῆνα, id est, mensem, & ἄστρα quomodo interpretaris? *So.* Mensis quidem μείης recte ab μειοῦσθαι, id est, a minuendo, iure nuncuparetur. Astra vero ἀστραπῆς, id est, coruscationis cognomentum habent.

ἔχειν. ἡ δὲ ἀστραπὴ, ὅτι τοὺς ὤπας ἀναστρέφει, ἀναστρωπὴ ἂν εἴη· νῦν δὲ ἀστραπὴ καλλωπισθεῖσα κέκληται. ΕΡΜ. Τί δὲ τὸ πῦρ τε καὶ τὸ ὕδωρ; ΣΩ. Τὸ πῦρ ἀπορῶ· καὶ κινδυνεύει ἤτοι d.
ἡ τοῦ Εὐθύφρονος μὲ μοῦσα ἐπιλελοιπέναι, ἢ τουτὶ παγχάλεπον εἶναι. σκέψαι οὖν ἣν εἰσάγω μηχανὴν ἐπὶ πάντα τὰ τοιαῦτα ἃ ἂν ἀπορῶ. ΕΡΜ. Τίνα δή; ΣΩ. Ἐγώ σοι ἐρῶ. ἀπόκριναι γάρ μοι ἔχοις ἂν εἰπεῖν, πῦρ κατὰ τίνα τρόπον καλεῖται; ΕΡΜ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩ. Σκέψαι δὴ ὃ ἐγὼ ὑποπτεύω περὶ αὐτοῦ. ἐννοῶ γὰρ ὅτι πολλὰ οἱ Ἕλληνες ὀνόματα, ἄλλως τε καὶ οἱ ὑπὸ τοῖς βαρβάροις οἰκοῦντες, e.
παρὰ τῶν βαρβάρων εἰλήφασι. ΕΡΜ. Τί οὖν δή; ΣΩ. Εἴτις ζητοῖ ταῦτα κατὰ τὴν Ἑλληνικὴν φωνὴν ὡς ἐοικότως κεῖται, ἀλλὰ μὴ κατ' ἐκείνην ἐξ ἧς τὸ ὄνομα τυγχάνει ὄν, οἶσθα ὅτι ἀποροῖ ἄν. ΕΡΜ. Εἰκότως γε. ΣΩ. Ὅρα τοίνυν p.
καὶ τοῦτο τὸ ὄνομα τὸ πῦρ μήτι βαρβαρικὸν ᾖ. τοῦτο γὰρ 410
a.
οὔτε ῥᾴδιον προσάψαι ἐξὶν Ἑλληνικῇ φωνῇ, φανεροί τ' εἰσὶν οὕτως αὐτὸ καλοῦντες Φρύγες, σμικρόν τι παρακλίνοντες·

ἀστραπὴ autem, quia ὤπας ἀναστρέφει, id est, visum ad se convertit, ἀναστρωπὴ dici deberet. nunc concinniori vocabulo ἀστραπὴ nominatur. *Herm.* Unde nomen trahit πῦρ & ὕδωρ, id est, ignis & aqua? *So.* Ambigo equidem: videturque aut Musa me Euthyphronis deseruisse, aut hoc arduum quiddam esse. adverte igitur quo confugiam in omnibus, quaecunque dubito. *Herm.* Quonam? *So.* Dicam tibi. tu vero mihi respondе. scisne qua ratione πῦρ nominatur? *Herm.* Non hercle. *So.* Vide quid de hoc suspicer. Reor equidem, multa nomina Graecos a Barbaris, eos praesertim qui sub Barbaris sunt, habuisse. *Herm.* Quorsum haec? *So.* Si quis rectam istorum impositionem secundum Graecam linguam quaerat, non secundum eam qua est nomen inventum, nimirum ambiget. *Herm.* Verisimile id quidem. *So.* Vide itaque, ne nomen hoc πῦρ barbaricum sit. neque enim facile est istud Graecae linguae accommodare, constatque, ita hoc Phryges nominare parum quid declinantes: sicut & ὕδωρ & κύνας, aliaque per-

καὶ τό γε ὕδωρ, καὶ τὰς κύνας, καὶ ἄλλα πολλά. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οὐ τοίνυν δεῖ ταῦτα προσβιάζεσθαι, ἐπεὶ μὴ ἔχοι γ' ἄν τις εἰπεῖν περὶ αὐτῶν. τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ
b. ταύτῃ ἀπωθοῦμαι. ὁ δὲ δὴ ἀὴρ ἆρά γε, ὦ Ἑρμόγενες, ὅτι αἴρει τὰ ἀπὸ τῆς γῆς, ἀὴρ κέκληται; ἢ ὅτι ἀεὶ ῥεῖ; ἢ ὅτι πνεῦμα ἐξ αὐτοῦ γίνεται ῥέοντος; οἱ γὰρ ποιηταί που τὰ πνεύματα ἀήτας καλοῦσιν. ἴσως οὖν λέγει, ὥσπερ ἂν εἰ εἶποι πνευματόῤῥουν, ἀητόῤῥουν· ὅθεν δὴ βούλεται αὐτὸν οὕτως εἰπεῖν ὅτι ἐξὶν ἀήρ. Τὸν δὲ αἰθέρα τῇ δέ πῃ ὑπολαμβάνω, ὅτι ἀεὶ θεῖ περὶ τὸν ἀέρα ῥέων, ἀειθεὴρ δικαίως ἂν καλοῖτο. Γῇ δὲ μᾶλλον σημαίνει ὃ βούλεται, ἐάν τις γαῖαν ὀνομάσῃ. γαῖα
c. γὰρ, γεννήτειρα ἂν εἴη ὀρθῶς κεκλημένη, ὡς φησιν Ὅμηρος. τὸ γὰρ γεγάασι, γεγενῆσθαι λέγει. ΕΡΜ. Εἶεν. ΣΩ. Τί οὖν ἡμῖν ἦν τὸ μετὰ τοῦτο; ΕΡΜ. Ὧραι, ὦ Σώκρατες, καὶ ἐνιαυτὸς, καὶ ἔτος. ΣΩ. Αἱ μὲν δὴ ὧραι Ἀττικισὶ ὡς τοπαλαιὸν ῥητέον, εἴπερ βούλει τὸ εἰκὸς εἰδέναι. ὧραι γάρ εἰσι

multa. *Herm.* Vera haec sunt. *So.* Ergo distrahere ista nihil oportet, quandoquidem de ipsis nihil dicere quisquam potest. Quapropter nomina illa ignis & aquae hunc in modum reiicio. ἀὴρ autem sic est dictus, Hermogenes, quia quae circa terram sunt αἴρει, id est, elevat: vel quia ἀεὶ ῥεῖ, hoc est, semper fluit: vel quia eius fluxu spiritus concitatur. poëtae quippe flamina & ventos ἀήτας nuncupant. forte igitur aër dicitur quasi πνευματόῤῥουν, ἀητόῤῥουν, id est, spiritus fluens, vel fluens flamen. Αἰθέρα praeterea sic exponendum arbitror, quoniam ἀεὶ θεῖ circa ἀέρα ῥέων, id est, semper currit circa aërem fluens, quocirca ἀειθεὴρ dici potest. Γῇ autem, id est, terra, planius sensum exprimit, si γαῖα dicatur. γαῖα enim recte γεννήτειρα, id est, genitrix dici potest, ut ait Homerus. nam quod γεγάασι dicitur, genitum in se inquit. *Herm.* Esto. *So.* Quid restat deinceps? *Herm.* Ver & annus, o Socrates. *So.* Ὧραι quidem, id est, veris tempora, prisca & Attica voce ὧραι dicenda sunt: si vis quod conveniens est, cognoscere. horae namque vocantur quia, ὁρίζουσι, id est, terminant hiemem at-

διὰ τὸ ὁρίζειν χειμῶνάς τε καὶ θέρη καὶ πνεύματα καὶ τοὺς καιρους πρὸς τοὺς καρποὺς ἐκ τῆς γῆς. ὁρίζουσαι δὲ, δικαίως ἂν ὄραι καλοῖντο. Ἐνιαυτὸς δὲ καὶ ἔτος κινδυνεύει ἕν τι εἶναι. d.
τὸ γὰρ τὰ φυόμενα καὶ τὰ γιγνόμενα ἐν μέρει ἕκαστον προάγον εἰς φῶς, καὶ αὐτὸ ἐν αὑτῷ ἐξετάζον τοῦτο· ὥσπερ ἐν τοῖς ἔμπροσθεν τὸ τοῦ Διὸς ὄνομα δίχα διηρημένον, οἱ μὲν Ζῆνα, οἱ δὲ Δία ἐκάλουν, οὕτω καὶ ἐνταῦθα οἱ μὲν ἐνιαυτὸν, ὅτι ἐν ἑαυτῷ· οἱ δὲ ἔτος, ὅτι ἐτάζει. ὁ δὲ ὅλος λόγος ἐστὶ, τὸ ἐν αὑτῷ ἐτάζον τοῦτο προσαγορεύεσθαι ἓν ὂν δίχα. ὥστε δύο ὀνόματα γεγονέναι, ἐνιαυτόν τε καὶ ἔτος, ἐξ ἑνὸς λόγου.
ΕΡΜ. Ἀλλὰ δῆτα, ὦ Σώκρατες, πολὺ ἐπιδίδως. ΣΩ. Πόῤῥω e.
ἤδη, οἶμαι, φαίνομαι σοφίας ἐλαύνειν. ΕΡΜ. Πάνυ μὲν οὖν.
ΣΩ. Τάχα μᾶλλον ἐφήσεις. ΕΡΜ. Ἀλλὰ μετὰ τοῦτο τὸ p.
εἶδος, ἐγωγε ἡδέως ἂν θεασαίμην ταῦτα τὰ καλὰ ὀνόματα, 411
τίνι ποτὲ ὀρθότητι κεῖται τὰ περὶ τὴν ἀρετήν· οἷον φρόνησίς τε a.
καὶ σύνεσις, καὶ δικαιοσύνη, καὶ τἆλλα τὰ τοιαῦτα πάντα.
ΣΩ. Ἐγείρεις μὲν, ὦ ἑταῖρε, οὐ φαῦλον γένος ὀνομάτων·

que aestatem, ventosque & fructus ex terra nascentes. Ἐνιαυτὸς autem & ἔτος, id est, annus, idem esse videtur. Quod enim in lumen viciſſim educit, quaecunque nascuntur fiuntque ex terra, ipsumque in seipso examinat & discernit, annus est: & ut supra Iovis nomen diximus in duo sectum, ab aliquibus Ζῆνα, ab aliis Δία vocari; ita & annum quidam ἐνιαυτὸν vocant, quia in seipso; quidam ἔτος, quia scrutatur atque examinat. integra vero ratio est, ipsum quod in ipso examinat. Unde ex oratione una nomina duo selecta sunt. quod enim simul dicitur, τὸ ἐν αὑτῷ ἐτάζον, id est, in seipso examinans, distinctum dicitur ἐνιαυτὸς, & ἔτος, id est, annus. *Herm.* At vero, o Socrates, iam longe progrederis. *So.* Longius equidem in philosophia videor evagari. *Herm.* Quin immo. *So.* Forte magis impelles. *Herm.* Verum post hanc speciem libentissime contemplarer, qua ratione recte nomina ista praeclara virtutum sint imposita: ut φρόνησις, id est, prudentia, σύνεσις, intelligentia, δικαιοσύνη, iustitia; ac reliqua huius

ὅμως δὲ ἐπειδήπερ τὴν λεοντῆν ἐνδέδυκα, οὐκ ἀποδειλιατέον, ἀλλ' ἐπισκεπτέον, ὡς ἔοικε, φρόνησιν, καὶ σύνεσιν, καὶ γνώμην, καὶ ἐπιςήμην, καὶ τἄλλα δὴ ἃ φῂς πάντα ταῦτα τὰ
b. καλὰ ὀνόματα. ΕΡΜ. Πάνυ μὲν οὖν οὐ δεῖ ἡμᾶς προαποςῆναι. ΣΩ. Καὶ μὴν νὴ τὸν Κύνα δοκῶ γέ μοι οὐ κακῶς μαντεύεσθαι ὃ καὶ νῦν δὴ ἐνενόησα, ὅτι οἱ πάνυ παλαιοὶ ἄνθρωποι οἱ τιθέμενοι τὰ ὀνόματα, παντὸς μᾶλλον, ὥσπερ καὶ τῶν νῦν οἱ πολλοὶ τῶν σοφῶν, ὑπὸ τοῦ πυκνὰ περισρέφεσθαι ζητοῦντες ὅπῃ ἔχει τὰ ὄντα, ἀεὶ ἰλιγγιῶσι, κἄπειτα αὐτοῖς φαίνεται περιφέρεσθαι τὰ πράγματα, καὶ πάντως φέρεσθαι.
c. αἰτιῶνται δὴ οὐ τὸ ἔνδον τὸ παρὰ σφίσι πάθος αἴτιον εἶναι ταύτης τῆς δόξης, ἀλλὰ αὐτὰ πράγματα οὕτω πεφυκέναι· οὐδὲν αὐτῶν μόνιμον εἶναι οὐδὲ βέβαιον, ἀλλὰ ῥεῖν καὶ φέρεσθαι, καὶ μεςὰ εἶναι πάσης φορᾶς καὶ γενέσεως ἀεί. λέγω δὲ ἐννοήσας πρὸς πάντα τὰ νῦν δὴ ὀνόματα. ΕΡΜ. Πῶς δὴ τοῦτο, ὦ Σώκρατες; ΣΩ. Οὐ κατενόησας ἴσως τὰ ἄρτι λε-

generis omnia. *So.* Haud contemnendum genus nominum ſuſcitas, o amice. verumtamen, poſtquam leoninam pellem ſum indutus, haud deterreri decet: immo praeclara ipſa, ut ais, nomina prudentiae, intelligentiae, cogitationis, ſcientiae, ceterorumque huiusmodi conſiderare. *Herm.* Quin profecto prius deſiſtere nullo modo debemus. *So.* Per Canem, non male mihi de eo coniicere videor, quod modo conſiderabam, antiquiſſimos videlicet illos nominum auctores, ut & ſapientium noſtrorum plurimis accidit, ob frequentem ipſam in rebus perveſtigandis revolutionem, praeter ceteros in cerebri vertiginem incidiſſe: quo factum puto, ut res ipſae proferri & vacillare illis apparerent. Opinionis autem huius cauſam, haud interiorem vertiginem, ſed exteriorem ipſarum rerum circuitum arbitrantur: quas ita natura habere ſe putant, ut nihil in eis firmum & ſtabile ſit, ſed fluant omnes feranturque, & omnifariam agitentur, ſemperque gignantur & defluant. quod quidem in his nominibus, quae nunc relata ſunt, conſpicio. *Herm.* Quo pacto, Socrates? *So.* Haud forte adverti ſuperiora no-

γόμενα, ὅτι παντάπασιν ὡς φερομένοις τε καὶ ῥέουσι καὶ γιγνομένοις τοῖς πράγμασι τὰ ὀνόματα ἐπίκειται; ΕΡΜ. Οὐ πάνυ ἐνεθυμήθην. ΣΩ. Καὶ μὴν πρῶτον μὲν τοῦτο ὃ πρῶτον d.
εἴπομεν, παντάπασιν ὡς ἐπὶ τοιούτων ἐσί. ΕΡΜ. Τὸ ποῖον;
ΣΩ. Ἡ φρόνησις. Φορᾶς γάρ ἐσι καὶ ῥοῦ νόησις. εἴη δ' ἂν καὶ ὄνησιν ὑπολαβεῖν φορᾶς. ἀλλ' οὖν περί γε τὸ φέρεσθαι ἐσίν. εἰ δὲ βούλει, ἡ γνώμη παντάπασι δηλοῖ γονῆς σκέψιν, καὶ νώμησιν. τὸ γὰρ νωμᾶν, καὶ τὸ σκοπεῖν, ταυτόν. εἰ δὲ βούλει, αὐτὸ ἡ νόησις, τοῦ νέου ἐσὶν ἔσις· τὸ δὲ νέα εἶναι τὰ ὄντα, σημαίνει γιγνόμενα ἀεὶ εἶναι. τούτου οὖν ἐφίεσθαι τὴν ψυχὴν μηνύει τὸ ὄνομα ὁ θέμενος τὴν νοέσιν. e.
οὐ γὰρ νόησις τοαρχαῖον ἐκαλεῖτο, ἀλλ' ἀντὶ τοῦ η, ε ε ἔδει λέγειν δύο νοέσιν. σωφροσύνη δὲ, σωτηρία οὖ νῦν δὴ ἐσκέμμεθα, φρονήσεως. καὶ μὴν ἥ γε ἐπιστήμη μηνύει ὡς φερομένοις p.
τοῖς πράγμασιν ἑπομένης τῆς ψυχῆς τῆς ἀξίας λόγου, καὶ 412 a.

mina rebus quasi delatis, fluentibus, & iugi generatione translatis imposita fuisse? *Herm.* Non satis percepi. *So.* Principio quod primum retulimus, omnino ad aliquid huius generis attinet. *Herm.* Quale istud? *So.* Φρόνησις, id est, prudentia, est φορᾶς καὶ ῥοῦ νόησις, id est, lationis & fluxus animadversio. significare quoque potest, recipere ὄνησιν φορᾶς, id est, lationis utilitatem. tandem circa ipsam agitationem versatur. Quin etiam si vis, γνώμη, id est, cogitatio, significat γονῆς νώμησιν, id est, generationis considerationem. νωμᾶν quippe considerare est. Quod si placet, νόησις, id est, intellectio, est νέου ἔσις, id est, novi desiderium. novas vero res esse, significat eas fieri semper. atque hoc desiderare & aggredi animum, indicat qui nomen illud invenit νοέσιν. principio namque νόησις non dicebatur, sed pro η duo ε ε proferenda erant, ut νοέσεις, quasi νέου, id est, novi ἔσις, appetitio & aggressio. Σωφροσύνη, id est, temperantia, illius quod modo diximus φρονήσεως, id est, prudentiae, conservatrix est. Ἐπιστήμη, id est, scientia, hanc habet notationem, quasi animus non contemnendus res fluentes sequatur, & neque eas multo ante relinquat, neque

οὔτε ἀπολειπομένης, οὔτε προθεούσης. διὸ δεῖ ἐμβάλλοντας δὴ τὸ ε, ἐπιστημένην αὐτὴν ὀνομάζειν. σύνεσις δ' αὖ οὕτω μὲν δόξειεν ἂν ὥσπερ συλλογισμὸς εἶναι· ὅταν δὲ συνιέναι λέγῃ, ταυτὸν παντάπασι συμβαίνει τῷ ἐπίστασθαι λεγόμενον. συμπορεύεσθαι γὰρ λέγει τὴν ψυχὴν τοῖς πράγμασι τὸ συνιέναι.
b. ἀλλὰ μὴν ἥ γε σοφία φορᾶς ἐφάπτεσθαι σημαίνει. σκοτωδέστερον δὲ τοῦτο καὶ ξενικώτερον· ἀλλὰ δεῖ ἐκ τῶν ποιητῶν ἀναμιμνήσκεσθαι ὅτι πολλαχοῦ λέγουσι περὶ ὅτου ἂν τύχωσι τῶν ἀρχομένων ταχὺ προϊέναι, ἐσύθη φασί. Λακωνικῷ δὲ ἀνδρὶ τῶν εὐδοκίμων καὶ ὄνομα ἦν Σοῦς. τὴν γὰρ ταχεῖαν ὁρμὴν οἱ Λακεδαιμόνιοι τοῦτο καλοῦσι. ταύτης οὖν τῆς φορᾶς ἐπαφὴν σημαίνει ἡ σοφία, ὡς φερομένων τῶν ὄντων. καὶ
c. μὴν τό γε ἀγαθὸν τοῦτο τῆς φύσεως πάσης τῷ ἀγαστῷ βούλεται τὸ ὄνομα ἐπικεῖσθαι. ἐπειδὴ γὰρ πορεύεται τὰ ὄντα, ἔνι μὲν ἃ αὐτοῖς τάχος, ἔνι δὲ βραδυτής. ἔστιν οὖν οὐ πᾶν τὸ ταχὺ, ἀλλά τι αὐτὸ ἀγαστόν. τούτῳ οὖν δὴ τῷ ἀγαστῷ αὖτη

antecedat. quare ε interiecto ἐπιστημένην vocare decet. Σύνεσις, tanquam syllogismus, id est, ratiocinatio quaedam esse videtur. cum autem *συνιέναι* dicitur, idem intelligitur ac si diceretur *ἐπίστασθαι*. nam *συνιέναι* declarat, rebus animum comitari, unaque esse. Σοφία, id est, sapientia, agitationis est tactus. Obscurius autem, & alienius hoc a nobis. verum animadvertendum est in poëtis, quoties volunt adventantem aliquem & irruentem exprimere, *ἐσύθη*, id est, erupit, prosiliit, dicere. Quin & illustri cuidam apud Lacedaemonios viro nomen erat Σοῦς, id est, praeceps. sic enim Lacedaemones concitationis impetum indicant. Quasi itaque omnia perferantur, huius ipsius agitationis, quae eo quod *σοῦς* dicitur, significatur, *ἐπαφὴν*, id est, tactum perceptionemque sophia demonstrat. Ἀγαθὸν, id est, bonum cuiusque naturae, *ἀγαστὸν*, id est, mirabile, amabile, delectabile, significat. Enimvero postquam fluunt omnia, partim celeritas, partim tarditas inest. est igitur non omne velox: sed ipsius aliquid *ἀγαστόν*. quod quidem *ἀγαστὸν*, ipsius *ἀγαθοῦ* nomine declaratur. Δικαιοσύνη, id

ἡ ἐπωνυμία ἐστὶ τἀγαθόν. δικαιοσύνη δὲ, ὅτι μὲν ἐπὶ τῇ τοῦ δικαίου συνέσει τοῦτο κεῖται τὸ ὄνομα, ῥᾴδιον συμβαλεῖν· αὐτὸ δὲ τὸ δίκαιον, χαλεπόν. καὶ γὰρ δὴ καὶ ἔοικε μέχρι μέν του ὁμολογεῖσθαι παρὰ πολλῶν, ἔπειτα δὲ ἀμφισβητεῖσθαι. ὅσοι γὰρ ἡγοῦνται τὸ πᾶν εἶναι ἐν πορείᾳ, τὸ μὲν πολὺ d. αὐτοῦ ὑπολαμβάνουσι τοιοῦτόν τι εἶναι οἷον οὐδὲν ἄλλο ἢ χωρεῖν· διὰ δὲ τούτου παντὸς εἶναί τι διεξιὸν, δι' οὗ πάντα τὰ γιγνόμενα γίγνεσθαι. εἶναι δὲ τάχιστον τοῦτο καὶ λεπτότατον. οὐ γὰρ ἂν δύνασθαι ἄλλως διὰ τοῦ ὄντος ἰέναι παντὸς, εἰ μὴ λεπτότατόν τε ἦν, ὥστε αὐτὸ μηδὲν ἐχέγειν, καὶ τάχιστον, ὥστε χρῆσθαι ὥσπερ ἐσῶσι τοῖς ἄλλοις. ἐπεὶ δ' οὖν ἐπιτροπεύει τὰ ἄλλα πάντα διαΐὸν, τοῦτο τὸ ὄνομα ἐκλήθη ὀρθῶς δίκαιον, εὐχομίας ἕνεκα τὴν τοῦ κ δύναμιν προσλαβόν. e. μέχρι μὲν οὖν ἐνταῦθα, ὃ νῦν δὴ ἐλέγομεν, παρὰ πολλῶν ὁμολογεῖται τοῦτο εἶναι τὸ δίκαιον. ἐγὼ δὲ, ὦ Ἑρμόγενες, p. ἅτε λιπαρὴς ὢν περὶ αὐτοῦ, ταῦτα μὲν πάντα διαπέπυσμαι 413 a. ἐν ἀπορρήτοις, ὅτι τοῦτ' ἐστὶ τὸ δίκαιον, καὶ τὸ αἴτιον. δι' ὃ γὰρ γίνεται, τοῦτ' ἐστὶ τὸ αἴτιον· καὶ ἰδίᾳ καλεῖν ἔφη τὶς

est, iustitia, quod δικαίου σύνεσιν, id est, iusti intelligentiam importet, facile coniicere possumus. Quid autem ipsum δίκαιον sibi velit, difficile cognitu. videtur enim hucusque a multis quod dictum est concessum: reliquum vero dubium. Etenim quicunque totum mobile arbitrantur, plurimum agitari ipsum existimant: perque omne aliquid permanare quo singula fiant, quodve tenuissimum sit & velocissimum. neque enim per omnia discurrere posse, nisi adeo tenue sit, ut nihil possit obsistere penetranti; & adeo velox, ut ceteris quasi stantibus utatur. Quoniam igitur gubernat omnia διαΐὸν, id est, discurrens & permanans, merito δίκαιον est appellatum, κ uno politioris prolationis gratia interiecto. Hactenus, quod modo diximus, inter plurimos constat hoc esse iustum. Ego autem, o Hermogenes, utpote discendi desiderio flagrans, haec omnia perscrutatus sum, & in arcanis percepi, quod hoc ipsum iustum sit, & causa. quo enim res ipsae fiunt, hoc est causa: proprieque

τοῦτο ὀρθῶς ἔχειν διὰ ταῦτα. ἐπειδὰν δ' ἠρέμα αὐτοὺς ἐπανερωτῶ ἀκούσας ταῦτα μηδὲν ἧττον, Τί οὖν ποτ' ἐστὶν, ὦ ἄριστε, τὸ δίκαιον, εἰ τοῦτο οὕτως ἔχει; δοκῶ τε ἤδη μακρότερα τοῦ προσήκοντος ἐρωτᾶν, καὶ ὑπὲρ τὰ ἐσκαμμένα ἄλ-
b. λεσθαι. ἱκανῶς γάρ με φασὶ πεπύσθαι καὶ ἀκηκοέναι· καὶ ἐπιχειροῦσι, βουλόμενοι ἀποπιμπλάναι με, ἄλλος ἄλλα ἤδη λέγειν· καὶ οὐκέτι συμφωνοῦσιν. ὁ μὲν γάρ τις φησὶ τοῦτο εἶναι δίκαιον, τὸν ἥλιον. τοῦτον γὰρ μόνον διαΐόντα καὶ κάοντα ἐπιτροπεύειν τὰ ὄντα. ἐπειδὰν δέ τῳ λέγω αὐτὸ ἄσμενος, ὡς καλόν τι ἀκηκοὼς, καταγελᾷ μου οὗτος ὁ ἀκούσας· καὶ ἐρωτᾷ εἰ οὐδὲν δίκαιον οἶμαι εἶναι ἐν τοῖς ἀνθρώποις, ἐπειδὰν ὁ ἥλιος δύῃ. λιπαρεῦντος οὖν ἐμοῦ ὅ, τι αὖ ἐκεῖνος λέγει, αὐτὸ
c. τὸ πῦρ φησί. τοῦτο δὲ οὐ ῥᾴδιόν ἐστιν εἰδέναι. ὁ δὲ οὐκ αὐτὸ τὸ πῦρ φησὶν, ἀλλ' αὐτὸ τὸ θερμὸν τὸ ἐν τῷ πυρὶ ἐνόν. ὁ δὲ, τούτων μὲν πάντων καταγελᾷν φησίν· εἶναι δὲ τὸ δίκαιον, ὃ λέγει Ἀναξαγόρας, νοῦν εἶναι τοῦτο. αὐτοκράτορα γὰρ ὄντα αὐτὸν, καὶ οὐδενὶ μεμιγμένον, πάντα φησὶν αὐτὸν κοσ-

ita vocari iſtud debere quiſpiam tradidit. Cum vero ab his, iam auditis iſtis, nihilominus ſenſim exquiro, quid ipſum iuſtum ſit, quandoquidem ita ſe habet: videor iam ulterius quam decet exigere, & caveam, ut dicitur, vallumque ſupergredi. ſatis enim ſuperque rogaſſe me & audiſſe reſpondent: meque volentes explere, alius aliud afferre conantur, neque ultra conſentiunt. Quidam ait iuſtum hoc, Solem eſſe. ſolum quippe ſolem diſcurrendo calefaciendoque omnia gubernare. Cum vero hoc alacer cuiquam, quaſi praeclarum audierim, refero, ſtatim ille me ridet, quaeritque, numquid exiſtimem poſt ſolis occaſum iuſtum nihil hominibus ſupereſſe? Percontanti itaque mihi quid ille ſentiret, ipſum ait ignem iuſtum exiſtere. neque id cogniſu facile. quare alius inquit, non ignem ipſum, ſed ipſum potius innatum igni calorem. Alius haec omnia pro nihilo habet. eſſe enim iuſtum mentem illam, quam induxit Anaxagoras. Dominam certe illam ſuapte natura, nec alicui mixtam, exornare omnia inquit, per omnia penetrantem. Hic

μεῖν τὰ πράγματα διὰ πάντων ἰόντα. ἐνταῦθα δὴ ἐγὼ, ὦ φίλε, πολὺ ἐν πλείονι ἀπορίᾳ εἰμὶ, ἢ πρὶν ἐπιχειρῆσαι μανθάνειν περὶ τοῦ δικαίου ὅ, τι ποτ' ἐστιν. ἀλλ' οὖν οὔπερ ἕνεκα d. ἐσκοποῦμεν, τό γε ὄνομα τοῦτο φαίνεται αὐτῷ διὰ ταῦτα κεῖσθαι. ΕΡΜ. Φαίνῃ μοι, ὦ Σώκρατες, ταῦτα μὲν ἀκηκοέναι του, καὶ οὐκ αὐτοσχεδιάζειν. ΣΩ. Τί δὲ τἄλλα; ΕΡΜ. Οὐ πάνυ. ΣΩ. Ἄκουε δή. ἴσως γὰρ ἂν σε καὶ τὰ ἐπίλοιπα ἐξαπατήσαιμι ὡς οὐκ ἀκηκοὼς λέγω. μετὰ γὰρ δικαιοσύνην τί λείπεται ἡμῖν; ἀνδρίαν, οἶμαι, οὗπω διήλθομεν. ἀδικία μὲν γὰρ δηλονότι ἐστὶν ὄντως ἐμπόδισμα τοῦ διαΐοντος. ἀνδρία δὲ e. σημαίνει, ὡς ἐν μάχῃ ἐπονομαζομένης τῆς ἀνδρίας. μάχην δ' εἶναι ἐν τῷ ὄντι, εἴπερ ῥεῖ, οὐκ ἄλλό τι ἢ τὴν ἐναντίαν ῥοήν. ἐὰν οὖν τις ἐξέλῃ τὸ δ τοῦ ὀνόματος τῆς ἀνδρίας, αὐτὸ μηνύει τὸ ἔργον τὸ ὄνομα ἡ ἀνρία. δῆλον οὖν ὅτι οὐ πάσῃ ῥοῇ ἢ ἐναντία ῥοὴ, ἀνδρία ἐστὶν, ἀλλὰ τῇ παρὰ τὸ δίκαιον ῥεούσῃ. οὐ γὰρ ἂν ἐπῃνεῖτο ἡ ἀνδρία. καὶ τὸ ἄῤῥεν, καὶ ὁ ἀνὴρ, ἐπὶ p. παραπλησίῳ τινὶ τούτῳ ἐξὶ τῇ ἄνω ῥοῇ. Γυνὴ δὲ, γονὴ μοὶ 414 a.

quidem, o amice, in maiorem ambiguitatem ſum prolapſus, quam antea, dum nihil de iuſtitia ſciſcitabar. Ceterum, ut redeamus ad id cuius gratia diſputamus, nomen illi tale propter haec, quale diximus, eſt tributum. *Herm.* Videris, o Socrates, ex aliquo audiſſe haec, neque ex tua officina ruditer depromſiſſe. *So.* Quid vero alia? *Herm.* Non ita. *So.* Attende igitur. forte namque in reliquis te deciperem, quaſi quae afferam non audierim. Poſt iuſtitiam quid reſtat? *ἀνδρίαν*, id eſt, fortitudinem nondum peregimus. Iniuſtitia ſane obſtaculum eius eſt quod diſcurrit per omnia. *ἀνδρία* in pugna verſatur. pugna in rebus, ſi quidem fluunt, nihil aliud eſt quam fluxus ipſe contrarius. Quapropter ſi quis δ ſubtraxerit ex nomine hoc *ἀνδρία*, nomen quod reſtat *ἀνρία*, opus ipſum declarat. Conſtat igitur, quod non fluxus cuiusque contrarius *ῥοὴ*, id eſt, fluxus, fortitudo eſt, ſed oppoſitus illi, qui praeter iuſtum ſit, fluxui. neque enim aliter fortitudo eſſet laudabilis. Sed & *ἄῤῥεν*, id eſt, mas, & *ἀνὴρ*, vir, a ſimili quodam ducunt originem, ſci-

φαίνεται βούλεσθαι εἶναι. Τὸ δὲ θῆλυ ἀπὸ τῆς θηλῆς τι φαίνεται ἐπωνομάσθαι. ἡ δὲ θηλὴ ἆρά γε, ὦ Ἑρμόγενες, ὅτι τεθηλέναι ποιεῖ, ὥσπερ τὰ ἀρδόμενα; ΕΡΜ. Ἔοικέ γε, ὦ Σώκρατες. ΣΩ. Καὶ μὴν αὐτό γε τὸ θάλλειν τὴν αὔξην μοι δοκεῖ ἀπεικάζειν τὴν τῶν νέων, ὅτι ταχεῖα καὶ ἐξαιφνιδία γί-
b. νεται. οἷόνπερ οὖν μεμίμηται τῷ ὀνόματι συναρμόσας ἀπὸ τοῦ θεῖν καὶ ἄλλεσθαι, τὸ ὄνομα. ἀλλ' οὐ γὰρ ἐπισκοπεῖς με ὥσπερ ἐκτὸς δρόμου φερόμενον, ἐπειδὰν λείου ἐπιλάβωμαι. λοιπὰ δὲ ἡμῖν ἔτι συχνὰ τῶν δοκούντων σπουδαίων εἶναι. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Ἴσθι γ' ἔσιν ἓν καὶ τέχνην ἰδεῖν ὅ, τι ποτὲ βούλεται εἶναι. ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τοῦτό γε ἔξιν νοῦ σημαίνει ἐχονόη, τὸ μὲν τ ἀφελόντι, ἐμβαλόντι δὲ τὸ
c. ο μεταξὺ τοῦ χ καὶ τοῦ ν, καὶ τοῦ νυ καὶ τοῦ ἦτα. ΕΡΜ. Καὶ μάλα γε γλίσχρως, ὦ Σώκρατες. ΣΩ. Ὦ μακάριε, οὐκ οἶσθ' ὅτι τὰ πρῶτα ὀνόματα τεθέντα, κατακέχωσαι ἤδη ὑπὸ τῶν βουλομένων γραφδεῖν αὐτὰ, περιτιθέντων γράμματα

licet ab ἄνω ῥοῆ, id est, sursum fluxu. Γυνὴ vero, id est, mulier, quasi γονὴ, id est, foecunda & generatrix: θῆλυ, id est, femina, ἀπὸ τῆς θηλῆς, id est, papilla dicitur. Θηλὴ autem videtur, Hermogenes, dici, quia τεθηλέναι, id est, germinare pullulareque facit, quasi ea quae irrigantur. *Herm.* Sic apparet, o Socrates. *So.* Θάλλειν, id est, virescere, adolescere, florescere, augmentum iuvenum repraesentant, quasi velox quiddam & subitum, quod innuit ille qui nomen conflavit ex θεῖν, id est, currere, & ἄλλεσθαι, id est, saltare. Non animadvertis, me velut extra cursum delatum, postquam plana ac pervia nactus sum? Multa autem supersunt, quae ad seria pertinere videntur. *Herm.* Vera loqueris. *So.* Quorum unum est, ut videamus, quid τέχνη, id est, ars importet. *Herm.* Prorsus. *So.* Nonne hoc ἕξιν νοῦ, id est, habitum mentis ostendit, si τ demitur, interseritur autem ο medium inter χ & ν, & inter ν & ἦτα? *Herm.* Aride nimium, Socrates, & inculte. *So.* An ignoras, beate vir, nomina vetera obruta iam a sermonis tragici studiosis, elegantiae gratia addentibus & subtrahentibus li-

καὶ ἐξαιρούντων, εὐχομίας ἕνεκα, καὶ παντα χῆ ςρεφόντων, καὶ ὑπὸ καλλωπισμοῦ καὶ ὑπὸ χρόνου. ἐπεὶ καὶ ἐν τῷ κατόπτρῳ οὐ δοκεῖ σοι ἄτοπον εἶναι τὸ ἐμβεβλῆσθαι τὸ ρω; ἀλλὰ τοιαῦτα, οἶμαι, ποιοῦσιν οἱ τῆς μὲν ἀληθείας οὐδὲν Φροντί- d.
ζοντες, τὸ δὲ ςόμα πλάττοντες. ὥστ' ἐπεμβάλλοντες πολλὰ ἐπὶ τὰ πρῶτα ὀνόματα, τελευτῶντες ποιοῦσι μηδ' ἂν ἕνα ἀνθρώπων συνεῖναι ὅ, τι ποτὲ βούλεται τὸ ὄνομα. ὥσπερ καὶ τὴν σφίγγα ἀντὶ σφιγὸς σφίγγα καλοῦσι, καὶ ἄλλα πολλά. ΕΡΜ. Ταῦτα μὲν ἔςιν οὕτως, ὦ Σώκρατες. ΣΩ. Εἰ δ' αὖ τις ἐάσει καὶ ἐντιθέναι καὶ ἐξαιρεῖν ἅττ' ἂν βούληται τις εἰς τὰ ὀνόματα, πολλὴ εὐπορία ἔσαι, καὶ πᾶν ἂν παντί τις ὄνομα πράγματι προσαρμόσειεν. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. e.
Ἀληθῆ μέντοι. ἀλλὰ τὸ μέτριον, οἶμαι, δεῖ φυλάττειν καὶ τὸ εἰκὸς σὲ τὸν σοφὸν ἐπισάτην. ΕΡΜ. Βουλοίμην ἄν. ΣΩ. Καὶ ἐγώ σοι ξυμβούλομαι, ὦ Ἑρμόγενες. ἀλλὰ μὴ λίαν, ὦ δαιμόνιε, ἀκριβολογοῦ, μή με ἀπογυιώσῃς μένεος. ἔρχομαι p.
γὰρ ἐπὶ τὴν κορυφὴν ὧν εἴρηκα, ἐπειδὰν μετὰ τέχνης μη- 415
a.

teras, ac partim temporis diuturnitate, partim exornationis ſtudio undique pervertentibus? ut ecce in κατόπτρῳ, id eſt, ſpeculo, quam abſurdum eſt ρ ipſius additamentum. talia certe, ut arbitror, faciunt, quod oris artificioſam conformationem pluris aeſtimant quam veritatem. Quamobrem cum multa nominibus ipſis adiecerint, tandem effecerunt, ut nemo iam nominum ſenſum animadvertat. quemadmodum dum σφίγγα, id eſt, monſtrum quoddam proferunt, cum σφίγα pronuntiare deberent, ac cetera multa. *Herm.* Haec quidem ita ſe habent, o Socrates. *So.* Profecto ſi daretur cuique arbitratu ſuo & demere & addere, magna utique eſſet licentia, & quodlibet nomen cuique rei unusquisque accommodaret. *Herm.* Vera narras. *So.* Vera plane. ſed enim modum quendam atque decorum ſervare te decet praeſidem ſapientem. *Herm.* O utinam. *So.* Atqui & ipſe, o Hermogenes, opto. verum ne exacta nimium diſcuſſione, vir felix, exquiras, ne vim meam prorſus exhaurias. Aſcendam quippe ad ſupra dictorum apicem, ubi

μηχανὴν ἐπισκεψώμεθα. μηχανὴ γάρ μοι δοκεῖ τοῦ ἀνεῖν ἐπιπολὺ σημεῖον εἶναι. τὸ γὰρ μῆκος, πρὸς τὸ πολὺ σημαίνειν. ἐξ ἀμφοῖν οὖν τούτοιν σύγκειται, μήκους τε καὶ τοῦ ἀνεῖν, τὸ ὄνομα ἡ μηχανή. ἀλλ', ὅπερ νῦν δὴ εἶπον, ἐπὶ τὴν κορυφὴν δεῖ τῶν εἰρημένων ἐλθεῖν. ἀρετὴ γὰρ καὶ κακία ὅ, τι
b. βούλεται τὰ ὀνόματα ζητητέα. τὸ μὲν οὖν ἕτερον οὔπω καθορῶ, τὸ δ' ἕτερον δοκεῖ μοι κατάδηλον εἶναι. συμφωνεῖ γὰρ τοῖς ἔμπροσθεν πᾶσιν. ἅτε γὰρ ἰόντων τῶν πραγμάτων, πᾶν τὸ κακῶς ἰὸν, κακία ἂν εἴη· τοῦτο δὲ ὅταν ἐν ψυχῇ ᾖ τὸ κακῶς ἰέναι ἐπὶ τὰ πράγματα, μάλιστα τὴν τοῦ ὅλου ἐπωνυμίαν ἔχει τῆς κακίας. τὸ δὲ κακῶς ἰέναι ὅ, τι ποτέ ἐστι, δοκεῖ μοι δηλοῦν καὶ ἐν τῇ δειλίᾳ· ὃ οὔπω διήλθομεν, ἀλλ'
c. ὑπερέβημεν, δέον αὐτὸ μετὰ τὴν ἀνδρίαν σκέψασθαι. δοκοῦμεν δέ μοι καὶ ἄλλα πολλὰ ὑπερβεβηκέναι. ἡ δ' οὖν δειλία τῆς ψυχῆς σημαίνει δεσμὸν εἶναι ἰσχυρόν. τὸ γὰρ λίαν, ἰσχύς τις ἐστί. δεσμὸς οὖν ὁ λίαν καὶ ὁ μέγιστος τῆς ψυχῆς,

poſt artem conſideraverimus *μηχανὴν*, id eſt, machinationem excogitationemque ſolertem. videtur autem ſignificare idem quod multum pertingere & aſcendere. componitur ergo ex his duobus, *μήκους*, id eſt, longe & multum, & *ἀνεῖν*, id eſt, aſcendere, penetrare, pertingere. Sed, ut modo dicebam, ad ſummam dictorum perveniendum eſt: quaerendumque, nomina iſta quid ſignificent, *ἀρετὴ*, id eſt, virtus, & *κακία*, id eſt, pravitas. Alterum quidem nondum reperio: alterum patere videtur. nam ſuperioribus omnibus conſonat. nempe tanquam eant omnia, *κακῶς ἰὸν*, id eſt, male vadens, *κακία*, id eſt, pravitas erit. quare cum anima male ad res ipſas acceder, communiter prava dicetur. proprie vero ac maxime procedendi haec facultas in *δειλίᾳ*, id eſt, timiditate patet, quam nondum declaravimus, ſed transgreſſi ſumus. oportebat autem continuo poſt fortitudinem ipſam inferre. multa inſuper alia praeteriſſe videmur. Δειλία ſignificat durum animae vinculum. *δεσμὸς* enim vinculum eſt. *λίαν* vero forte quiddam durumque ſignificat. quare timiditas vehemens ac maxi-

ἡ δειλία ἂν εἴη· ὥσπερ γε καὶ ἡ ἀπορία, κακόν· καὶ πᾶν, ὡς ἔοικεν, ὅ, τι ἂν ἐμποδὼν ᾖ τῷ ἰέναι καὶ πορεύεσθαι. τοῦτ' οὖν φαίνεται τὸ κακῶς ἰέναι δηλοῦν τὸ ἰσχομένως τε καὶ ἐμποδιζομένως πορεύεσθαι. ὁ δὴ ψυχὴ ὅταν ἔχῃ, κακίας μεστὴ γίνεται. εἰ δ' ἐπὶ τοιούτοις ἡ κακία ἐστὶ τοὔνομα, τοὐναντίον τούτου ἡ ἀρετὴ ἂν εἴη, σημαῖνον πρῶτον μὲν εὐπορίαν, ἔπειτα δὲ λελυμένην τὴν ῥοὴν τῆς ἀγαθῆς ψυχῆς εἶναι ἀεί. ὥστε d. τὸ ἀσχέτως καὶ τὸ ἀκωλύτως ἀεὶ ῥέον, ἐπωνυμίαν εἴληφεν, ὡς ἔοικε, τοῦτο τοὔνομα. ὀρθῶς μὲν ἔχει ἀειῤῥείτην καλεῖν, ἴτως δὲ αἱρετὴν λέγει, ὡς οὔσης ταύτης τῆς ἕξεως αἱρετωτάτης. συγκεκρότηται δὲ καὶ καλεῖται ἀρετή. καὶ ἴσως μὲν σὺ φήσεις πλάττειν· ἐγὼ δέ φημι, εἴπερ ὃ ἔμπροσθεν εἶπον, ὀρθῶς ἔχει, ἡ κακία, καὶ τοῦτο τοὔνομα τὴν ἀρετὴν ὀρθῶς e. ἔχειν. ΕΡΜ. Τὸ δὲ δὴ κακόν, δι' οὗ πολλὰ τῶν ἔμπροσθεν εἰρηκας, τί ἂν νοοῖ τοὔνομα; ΣΩ. Ἄτοπόν τι νὴ Δία ἔμοιγε p. δοκεῖ καὶ χαλεπὸν συμβαλεῖν. ἐπάγω οὖν καὶ τούτῳ ἐκείνην 416 a.

mum est animae vinculum: quemadmodum & ἀπορία, id est, defectus, inopia, dubium, malum quiddam est, ac summatim quodcunque progressus ipsius impedimentum: idque male progredi videtur ostendere, in ipsa videlicet motione impediri atque detineri. quod cum anima subit, pravitate plena dicitur. Quod si illud pravitatis nomen talibus quibusdam competit, contrarium ἀρετὴ, id est, virtus significabit. in primis quidem facilem agilemque progressum, deinde solutum & expeditum animae bonae impetum esse oportet. Quamobrem absque impedimento obstaculoque ἀεὶ ῥέον, id est, semper fluens, iure cognominari posset ἀειῤῥείτη. forte vero & αἱρετὴν vocet quis, quia sit ἕξεως αἱρετωτάτης, id est, habitus maxime eligendi. verum collisо vocabulo ἀρετὴ denominatur. Forsitan me fingere dices. ego autem affero, si modo nomen illud pravitatis, quod retuli, recte est inductum, recte quoque & istud virtutis nomen induci. *Herm.* At κακὸν, id est, malum, per quod in superioribus multa dixisti, quid sibi vult? *So.* Mirificum quiddam per Iovem, ac inventu difficile, quemadmodum mi-

τὴν μηχανήν. ΕΡΜ. Ποίαν ταύτην; ΣΩ. Τὴν τοῦ βαρβαρικόν τι καὶ τοῦτο φάναι εἶναι. ΕΡΜ. Καὶ ἔοικάς μοι ὀρθῶς λέγοντι. ἀλλ' εἰ δοκεῖ, ταῦτα μὲν ἐῶμεν· τὸ δὲ καλὸν καὶ τὸ αἰσχρὸν πειράμεθα ἰδεῖν πῇ εὐλόγως ἔχει. ΣΩ. Τὸ μὲν τοίνυν αἰσχρὸν, καὶ δὴ καταδηλόν μοι φαίνεται ὃ νοεῖ. καὶ
b. τοῦτο γὰρ τοῖς ἔμπροσθεν ὁμολογεῖται. τὸ γὰρ ἐμποδίζον καὶ ἴσχον τῆς ῥοῆς τὰ ὄντα λοιδορεῖν μοι φαίνεται διαπαντὸς ἥ τὰ ὀνόματα θεὶς, καὶ νῦν τῷ ἀεὶ ἴσχοντι τὸν ῥοῦν τοῦτο τὸ ὄνομα ἔθετο ἀεισχόῤῥουν· νῦν δὲ συγκροτήσαντες, αἰσχρὸν καλοῦσι. ΕΡΜ. Τί δὲ τὸ καλόν; ΣΩ. Τοῦτο χαλεπώτερον κατανοῆσαι. καίτοι λέγουσί γε αὐτὸ ἁρμονίᾳ μόνον καὶ μήκει τοῦ οὗ παρῆκται. ΕΡΜ. Πῶς δή; ΣΩ. Τῆς διανοίας ἣν ἔοικεν ἐπωνυμία εἶναι τοῦτο τὸ ὄνομα. ΕΡΜ. Πῶς λέγεις;
c. ΣΩ. Φέρε, τί οἴει σὺ εἶναι τὸ αἴτιον κληθῆναι ἑκάστῳ τῶν ὄντων; ἆρ' οὐκ ἐκεῖνο τὸ τὰ ὀνόματα θέμενον; ΕΡΜ. Πάντως που. ΣΩ. Οὐκοῦν διάνοια ἂν εἴη τοῦτο, ἤτοι θεῶν, ἢ ἀνθρώπων, ἢ ἀμφοτέρων. ΕΡΜ. Ναί. ΣΩ. Οὐκοῦν τὸ κα-

hi quidem videtur. itaque ad hoc etiam machinamentum illud ſuperius afferam. *Herm.* Quid iſtud? *So.* Barbaricum quiddam & hoc eſſe dicam. *Herm.* Probe loqui videris. ceterum haec iam, ſi placet, mittamus: nomina vero iſta καλὸν & αἰσχρὸν, id eſt, pulchrum & turpe, quam recte ficta ſint, conſideremus. *So.* Quid αἰσχρὸν innuat, ſatis mihi patere videtur. nempe cum ſuperioribus convenit. Videtur qui nomina ſtatuit, paſſim agitationis impedimentum vituperare. ut ecce, ἀεὶ ἴσχοντι τὸν ῥοῦν, id eſt, ſemper impedienti fluxum, nomen dedit ἀεισχόῤῥουν. nunc vero collidentes αἰσχρὸν appellant. *Herm.* Quid καλὸν, id eſt, pulchrum? *So.* Hoc cognitu difficilius: quanquam ipſum ita deducitur, ut harmoniae dumtaxat & longitudinis gratia ipſum α ſit productum. *Herm.* Quo pacto? *So.* Nomen hoc cogitationis cognomentum quoddam eſſe videtur. *Herm.* Qui iſtud ais? *So.* Quam tu cauſam appellationis rei cuiusque cenſes? an non quod nomina tribuit? *Herm.* Omnino. *So.* Nonne cauſa haec cogitatio eſt, vel deo-

λοῦν τὰ πράγματα καὶ τὸ καλὸν, ταυτόν ἐϛι τοῦτο, διάνοια. ΕΡΜ. Φαίνεται. ΣΩ. Οὐκοῦν καὶ ὅσα μὲν ἂν νοῦς τε καὶ διάνοια ἐργάσηται, ταῦτά ἐϛι τὰ ἐπαινετά· τὰ δὲ μὴ, ψεκτά. ΕΡΜ. Πάνυ γε. ΣΩ. Τὸ οὖν ἰατρικὸν ἰατρικὰ ἐργάζεται, d. καὶ τὸ τεκτονικὸν τεκτονικά· ἢ πῶς λέγεις; ΕΡΜ. Οὕτως ἔγωγε. ΣΩ. Καὶ τὸ καλὸν ἄρα καλά; ΕΡΜ. Δεῖ γέ τοι. ΣΩ. Ἔϛι δέ γε τοῦτο, ὡς φαμὲν, διάνοια; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ὀρθῶς ἄρα φρονήσεως αὕτη ἡ ἐπωνυμία ἐϛὶ τὸ καλὸν τῆς τὰ τοιαῦτα ἀπεργαζομένης, ἃ δὴ καλὰ φάσκοντες εἶναι, ἀϛπαζόμεθα. ΕΡΜ. Φαίνεται. ΣΩ. Τί οὖν ἡμῖν ἔτι λοιπὸν τῶν τοιούτων; ΕΡΜ. Ταῦτα τὰ περὶ τὸ ἀγαθόν τε καὶ κα- e. λὸν συμφέροντά τε καὶ λυσιτελοῦντα, καὶ ὠφέλιμα, καὶ κερδαλέα, καὶ τἀναντία τούτων. ΣΩ. Οὐκοῦν τὸ μὲν συμ- p. φέρον ἤδη που ἂν σὺ εὕροις ἐκ τῶν πρότερον σκοπῶν. τῆς γὰρ 417 ἐπιξύμης ἀδελφόν τι φαίνεται. οὐδὲν γὰρ ἄλλο δηλοῖ ἢ τὴν ἅμα φορὰν τῆς ψυχῆς μετὰ τῶν πραγμάτων· καὶ τὰ ὑπὸ a.

rum, vel hominum, vel amborum? *Herm.* Nempe. *So.* Ergo καλοῦν, id eſt, quod vocat res, & καλὸν, idem ac cogitatio ſunt. *Herm.* Apparet. *So.* Quaecunque igitur mens & cogitatio agunt, laudanda ſunt: quae non, vituperanda. *Herm.* Prorſus. *So.* Quod ergo medicinae particeps, medicinae opera efficit: quod fabrilis artis, fabrilia. aut quomodo dicis? *Herm.* Ita equidem. *So.* Pulchrum igitur pulchra? *Herm.* Decet. *So.* Eſt autem hoc, ut diximus, cogitatio. *Herm.* Maxime. *So.* Nomen itaque hoc καλὸν, id eſt, pulchrum, merito erit prudentiae cognomentum, talia quaedam agentis, qualia affirmantes pulchra eſſe, diligimus. *Herm.* Sic apparet. *So.* Quid ultra generis huius reſtat inveſtigandum? *Herm.* Quae ad bonum & pulchrum ſpectant, conferentia videlicet, utilia, conducibilia, emolumenta, horumque contraria. *So.* Quid συμφέρον, id eſt, conferens ſit, ex ſuperioribus, ſi conſideres, ipſe invenies. Nam nominis illius quod ad ſcientiam attinet, germanum quiddam apparet. nihil enim prae ſe fert aliud quam φορὰν, id eſt, lationem animae ſimul cum rebus: & quae hinc proveniunt, vo-

τοῦ τοιούτου πραττόμενα, συμφέροντά τε καὶ σύμφορα κεκλῆσθαι ἀπὸ τοῦ συμπεριφέρεσθαι. ΕΡΜ. Ἔοικε. ΣΩ. Τὸ δέ γε κερδαλέον, ἀπὸ τοῦ κέρδους. κέρδος δὲ, νυ ἀντὶ τοῦ
b. δέλτα ἀποδιδόντι ἐς τὸ ὄνομα, δηλοῖ ὃ βούλεται. τὸ γὰρ ἀγαθὸν κατ' ἄλλον τρόπον ὀνομάζει. ὅτι γὰρ κεράννυται ἐς πάντα διεξιὸν, ταύτην αὐτοῦ τὴν δύναμιν ἐπονομάζων, ἔθετο τοὔνομα· δέλτα ἐνθεὶς ἀντὶ τοῦ νυ, κέρδος ἐφθέγξατο. ΕΡΜ. Λυσιτελοῦν δὲ τί δή; ΣΩ. Ἔοικεν, ὦ Ἑρμόγενες, οὐχὶ καθάπερ οἱ κάπηλοι αὐτῷ χρῶνται ἐὰν τὸ ἀνάλωμα ἀπολύῃ, οὐ ταύτῃ λέγειν μοι δοκεῖ τὸ λυσιτελοῦν· ἀλλ' ὅτι τάχιστον ὂν τοῦ ὄντος,
c. ἴσασθαι οὐκ ἐᾷ τὰ πράγματα, οὐδὲ τέλος λαβοῦσαν τὴν φορὰν τοῦ φέρεσθαι, ϛῆναί τε καὶ παύσασθαι· ἀλλ' ἀεὶ λύει αὐτῆς, ἄν τι ἐπιχειρῇ τέλος ἐγγίνεσθαι, καὶ παρέχει ἄπαυστον καὶ ἀθάνατον αὐτήν· ταύτῃ μοι δοκεῖ ἐπιφημίσαι τὸ ἀγαθὸν, λυσιτελοῦν. τὸ γὰρ τῆς φορᾶς λύον τὸ τέλος, λυσιτελοῦν καλέσαι. Ὠφέλιμον δὲ, ξενικὸν τοὔνομα. καὶ Ὅμηρος

cari *συμφέροντα* & *σύμφορα*, id est, conferentia, ex eo quod simul circumferantur. *Herm.* Videtur. *So.* Κερδαλέον autem, id est, emolumentum, a *κέρδος*, id est, lucro est. *κέρδος* vero, si quis *ν* pro *δ* nomini huic inserat, quod vult exprimit. nam bonum alio quodam modo nominat. quod enim omnibus *κεράννυται*, id est, miscetur, diffusum per omnia, hanc ipsam eius vim significans nomen illud excogitavit, *δ* pro *ν* apponens, ac *κέρδος* pronuntiavit. *Herm.* Quid autem *λυσιτελοῦν*, id est, utile? *So.* Videtur, o Hermogenes, non sicut caupones hoc utuntur, idcirco *λυσιτελοῦν* vocari, quia *ἀνάλωμα ἀπολύῃ*, id est, sumtus vitat & minuit: verum quia cum velocissimum sit, res stare non sinit, neque permittit lationem *τέλος*, id est, finem progressionis accipere, atque cessare: sed solvit semper ab illa fugatque, si quis terminus superveniat; ipsamque indesinentem immortalemque praebet. hac ratione bonum *λυσιτελοῦν* vocatum arbitror. ipsum enim motionis *λύον τὸ τέλος*, id est, solvens terminum, *λυσιτελοῦν* vocari videtur. *Ὠφέλιμον* vero, id est, conducibile peregrinum nomen

πολλαχοῦ κέχρηται τῷ ὀφελλεῖν. ἔστι δὲ τοῦτο, τοῦ αὔξειν καὶ ποιεῖν ἐπωνυμία. ΕΡΜ. Τὰ δὲ δὴ τούτων ἐναντία πῶς d.
ἔχει ἡμῖν; ΣΩ. Ὅσα μὲν ἀπόφησιν αὐτῶν, ὡς γέ μοι δοκεῖ, οὐδὲν δεῖ ταῦτα διεξιέναι. ΕΡΜ. Ποῖα ταῦτα; ΣΩ. Ἀσύμφορον, καὶ ἀνωφελὲς, καὶ ἀλυσιτελὲς, καὶ ἀκερδές. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀλλὰ βλαβερόν γε καὶ ζημιῶδες. ΕΡΜ. Ναί. ΣΩ. Καὶ τὸ μέν γε βλαβερὸν, τὸ βλάπτον τὸν ῥοῦν εἶναι λέγει· τὸ δὲ βλάπτον αὖ σημαίνει, βουλόμενον ἅπτειν. τὸ δὲ ἅπτειν καὶ δεῖν, ταυτόν ἐστι τοῦτο δὲ παντα χοῦ e.
ψέγει. τὸ βουλόμενον οὖν ἅπτειν ῥοῦν, ὀρθότατα μὲν ἂν εἴη βουλαπτεροῦν· καλλωπισθὲν δὲ, καλεῖσθαί μοι φαίνεται βλαβερόν. ΕΡΜ. Ποικίλα γέ σοι, ὦ Σώκρατες, ἐκβαίνει τὰ ὀνόματα. καὶ γὰρ νῦν μοι ἔδοξας ὥσπερ τοῦ τῆς Ἀθηναίας νόμου προαύλιον ϛομαυλῆσαι, τοῦτο τὸ ὄνομα προειπὼν τὸ βουλαπτεροῦν. ΣΩ. Οὐκ ἐγὼ, ὦ Ἑρμόγενες, αἴτιος, ἀλλ' p.
οἱ θέμενοι τὸ ὄνομα. ΕΡΜ. Ἀληθῆ λέγεις· ἀλλὰ δὴ τὸ ζη- 418
μιῶδες τί ἂν εἴη; ΣΩ. Τί δ' ἂν εἴη ποτὲ ζημιῶδες, θέασαι, a.

est, quo saepenumero Homerus est usus. est autem hoc augendi faciendique cognomentum. *Herm.* Quid de horum contrariis est dicendum? *So.* Quae per negationem istorum dicuntur, tractare nequaquam oportet. *Herm.* Quaenam ista? *So.* Ἀσύμφορον, ἀνωφελὲς, ἀλυσιτελὲς, ἀκερδές. *Herm.* Vera loqueris. *So.* Sed βλαβερὸν & ζημιῶδες, id est, noxium & damnosum. *Herm.* Certe. *So.* Βλαβερὸν quidem βλάπτον τὸν ῥοῦν esse dicit. βλάπτον autem significat βουλόμενον ἅπτειν, id est, quod vult impedire & coërcere, ῥοῦν, id est, fluxum. hoc autem passim vituperat. quodque vult ἅπτειν τὸν ῥοῦν, recte βουλαπτεροῦν appellaretur. verum ornatus gratia βλαβερὸν arbitror nominatum. *Herm.* Varia tibi suboriuntur, o Socrates, nomina. atqui mihi videris in praesentia quasi Palladiae legis praeludium quoddam praecinuisse, dum nomen hoc βουλαπτεροῦν pronuntiares. *So.* Non ego in causa sum, Hermogenes, sed qui nomen ipsum instituerunt. *Herm.* Vera loqueris. verum ζημιῶδες quid? *So.* Quid esse debeat ζημιῶ-

ὦ Ἑρμόγενες, ὡς ἐγὼ τἀληθῆ λέγω, λέγων ὅτι προστιθέντες γράμματα καὶ ἐξαιροῦντες, σφόδρα ἀλλοιοῦσι τὰς τῶν ὀνομάτων διανοίας, οὕτως ὥστε σμικρὰ πάνυ παρασρέφοντες ἐνιοτε, τἀναντία ποιεῖν σημαίνειν. οἷον καὶ ἐν τῷ δέοντι.
b. ἐνενόησα γὰρ αὐτὸ καὶ ἀνεμνήσθην ἄρτι ἀπὸ τοῦδε ὃ ἔμελλον σοὶ ἐρεῖν· ὅτι ἡ μὲν νέα φωνὴ ἡμῖν ἡ καλὴ αὕτη καὶ τοὐναντίον περιέτρεψε μηνύειν τὸ δέον καὶ τὸ ζημιῶδες, ἀφανίζουσα ὅ, τι νοεῖ· ἡ δὲ παλαιὰ ἀμφότερον δηλοῖ ὃ βούλεται τοὔνομα. ΕΡΜ. Πῶς λέγεις; ΣΩ. Ἐγώ σοι ἐρῶ. οἶσθα ὅτι οἱ παλαιοὶ οἱ ἡμέτεροι τῷ ἰῶτα καὶ τῷ δέλτα εὖ μάλα ἐχρῶντο· καὶ
c. οὐχ ἥκιστα αἱ γυναῖκες, αἵπερ μάλιστα τὴν ἀρχαίαν φωνὴν σώζουσι. νῦν δὲ ἀντὶ μὲν τοῦ ἰῶτα, ἢ ε ἢ ἦτα μεταστρέφουσιν, ἀντὶ δὲ δέλτα ζῆτα, ὡς δὴ μεγαλοπρεπέστερα ὄντα. ΕΡΜ. Πῶς δή; ΣΩ. Οἷον, οἱ μὲν ἀρχαιότατοι ἱμέραν τὴν ἡμέραν ἐκάλουν, οἱ δὲ, ἑμέραν· οἱ δὲ νῦν, ἡμέραν. ΕΡΜ. Ἔστι ταῦτα. ΣΩ. Οἶσθα οὖν ὅτι μόνον τοῦτο δηλοῖ τὸ ἀρχαῖον ὄνομα τὴν διάνοιαν τοῦ θεμένου. ὅτι γὰρ ἀσμένοις τοῖς ἀνθρώποις

δες, dicam, Hermogenes: & vide quam vere loquar, dum dico quod addentes ac dementes literas longe nominum sensum variant, adeo ut saepe exiguum quid mutantes, contrariam significationem inducant. quod apparet in nomine δέον, id est, opportunum. venit hoc nuper mihi in mentem, de eo quod tibi dicturus sum cogitanti: Recens est profecto vox nobis pulchra illa, coëgitque contrarium sonare nobis δέον & ζημιῶδες, sensum confundens. vetus autem, quid nomen utrumque velit, explicat. *Herm.* Qui isthuc ais? *So.* Dicam equidem. Haud praeterit te, maiores nostros frequenter ι & δ uti solitos: nec rarius mulieres, quae maxime priscam linguam servant. nunc autem pro ι vel ipsum ε vel η adhibent: pro δ vero ζ, quasi haec magnificentius quiddam sonent. *Herm.* Quo pacto? *So.* Ut ecce vetustissimi viri ἱμέραν diem vocabant: posteriores autem partim ἑμέραν, partim, hoc quidem tempore, ἡμέραν vocant. *Herm.* Vera haec sunt. *So.* Scis igitur, vetusto illo nomine tantum mentem eius qui nomen imposuit declarari.

καὶ ἱμείρουσιν ἐκ τοῦ σκότους τὸ φῶς ἐγίγνετο, ταύτην ὠνό- d.
μασαν ἱμέραν. ΕΡΜ. Φαίνεται. ΣΩ. Νῦν δέ γε τετραγω-
δημένον, οὐδ' ἂν κατανοήσαις ὅ, τι βούλεται ἡ ἡμέρα. καίτοι
τινὲς οἴονται ὡς δὴ ἡμέρα ἥμερα ποιεῖ, διὰ ταῦτα ὀνομάσθαι
αὐτὴν οὕτως. ΕΡΜ. Δοκεῖ μοι. ΣΩ. Καὶ τό γε ζυγὸν οἶσθα ὅτι
δυογὸν οἱ παλαιοὶ ἐκάλουν; ΕΡΜ. Πάνυ γε. ΣΩ. Καὶ τὸ μέν
γε ζυγὸν, οὐδὲν δηλοῖ· τὸ δὲ, τοῖν δυεῖν ἕνεκα τῆς δέσεως ἐς
τὴν ἀγωγὴν, ἐπωνόμαζαι δυογὸν, δικαίως· νῦν δὲ ζυγόν. καὶ e.
ἄλλα πάμπολλα οὕτως ἔχει. ΕΡΜ. Φαίνεται. ΣΩ. Κατὰ
ταῦτα τοίνυν πρῶτον μὲν τὸ δέον οὕτω λεγόμενον, τοὐναν-
τίον σημαίνει πᾶσι τοῖς περὶ τὸ ἀγαθὸν ὀνόμασιν. ἀγαθοῦ γὰρ
ἰδέα οὖσα τὸ δέον φαίνεται δεσμὸς εἶναι καὶ κώλυμα φορᾶς,
ὥσπερ ἀδελφὸν ὂν τοῦ βλαβεροῦ. ΕΡΜ. Καὶ μάλα, ὦ Σώ-
κρατες, οὕτω φαίνεται. ΣΩ. Ἀλλ' οὐκ ἐὰν τῷ ἀρχαίῳ ὀνό-
ματι χρῇ· ὃ πολὺ μᾶλλον εἰκὸς ἐστιν ὀρθῶς κεῖσθαι ἢ τὸ νῦν.
ἀλλ' ὁμολογήσει τοῖς πρόσθεν ἀγαθοῖς, ἐὰν ἀντὶ τοῦ ε τὸ P.
419
a.

nam ex eo quod ἱμείρουσιν, id est, desiderantibus hominibus gratulantibusque, e tenebris lumen emicuit, diem ἱμέραν cognominarunt. *Herm.* Apparet. *So.* Nunc autem illa tragicis decantata quid sibi velit ἡμέρα, nequaquam intelligas. quanquam arbitrantur nonnulli ἥμεραν dici, quod ἥμερα, id est, mansueta quaeque efficiat. *Herm.* Ita mihi videtur. *So.* Neque te fugit, veteres ζυγὸν, id est, iugum, δυογὸν vocavisse. *Herm.* Plane. *So.* Enimvero ζυγὸν nihil significat. at δυογὸν, δυοῖν ἀγωγὴν, id est, duorum conductionem, ligandi simul gratia, monstrat. idemque est de multis aliis iudicandum. *Herm.* Patet. *So.* Eadem ratione δέον ita pronuntiatum, contrarium nominum omnium quae ad bonum spectant ostendit. nam boni species existens δέον, δεσμὸς, id est, vinculum quoddam & impedimentum processionis esse videtur, tanquam βλαβεροῦ, id est, noxii affine quiddam. *Herm.* Ita maxime apparet, o Socrates. *So.* Verum non sic in nomine veteri: quod verisimilius est recte institutum fuisse, quam nostrum. nempe cum superioribus bonis consenties, si pro ε, ι vetus restituas. ne-

ἰῶτα ἀποδιδῶς, ὥσπερ τοπαλαιόν. διὸν γὰρ αὖ σημαίνει, ἀλλ' οὐ δέον, τἀγαθὸν ὅπερ ἀεὶ ἐπαινεῖ. καὶ οὕτως οὐκ ἐναντιοῦται αὐτὸς αὑτῷ ὁ τὰ ὀνόματα τιθέμενος, ἀλλὰ δέον, καὶ ὠφέλιμον, καὶ λυσιτελοῦν, καὶ κερδαλέον, καὶ ἀγαθὸν, καὶ συμφέρον, καὶ εὔπορον, τὸ αὐτὸ φαίνεται ἑτέροις ὀνόμασι σημαῖνον τὸ διακοσμοῦν καὶ διῒὸν πανταχοῦ, ἐγκεκωμιασμένον·
b. τὸ δὲ ἴσχον καὶ δοῦν, ψεγόμενον. καὶ δὴ καὶ τὸ ζημιῶδες ἐὰν κατὰ τὴν ἀρχαίαν φωνὴν ἀποδῷς ἀντὶ τοῦ ζῆτα, δέλτα, φανεῖταί σοι κεῖσθαι τὸ ὄνομα ἐπὶ τῷ δοῦντι τὸ ἰὸν, ἐπονομασθὲν δημιῶδες. EPM. Τί δαὶ δὴ ἡδονὴ καὶ λύπη, καὶ ἐπιθυμία, καὶ τὰ τοιαῦτα, ὦ Σώκρατες; ΣΩ. Οὐ πάνυ χαλεπά μοι φαίνεται, ὦ Ἑρμόγενες. ἥ τε γὰρ ἡδονὴ, ἡ πρὸς τὴν ὄνησιν ἔοικε τείνουσα πρᾶξις, τοῦτο ἔχειν τὸ ὄνομα· (τὸ δέλτα δὲ ἔγκειται· ὥστε ἡδονὴ ἀντὶ ἡονῆς καλεῖται.) ἥ τε λύπη,
c. ἀπὸ τῆς διαλύσεως τοῦ σώματος ἔοικεν ἐπονομασθῆναι, ἣν ἐν τούτῳ τῷ πάθει ἴσχει τὸ σῶμα. καὶ ἥ γε ἀνία, τὸ ἐμπο-

que enim δέον, sed δῖον bonum illud significat, quod semper nominum laudat inventor. atque ita secum ipse non dissidet, immo ad idem spectant δέον, ὠφέλιμον, λυσιτελοῦν, κερδαλέον, ἀγαθὸν, συμφέρον, εὔπορον, id est, facile ad progressum. universum hoc diversis nominibus innuit aliquid per omnia penetrans, omniaque perornans, idque ubique laudatum. quod vero obstat & detinet, improbat. Quin etiam in nomine hoc ζημιῶδες, si veterum more δ pro ζ posueris, apparebit tibi nomen istud δοῦντι τὸ ἰὸν, id est, liganti sistentique quod pergit, impositum. unde & δημιῶδες cognominatum est. *Herm.* Quid ἡδονὴ, λύπη, ἐπιθυμία, voluptas scilicet, dolor, cupiditas, Socrates, & huius generis reliqua? *So.* Haud valde obscura mihi videntur, Hermogenes. Ἡδονὴ, id est, voluptas, actionis illius nomen est, quae ad ὄνησιν, id est, utilitatem emolumentumque tendit. δ vero adiectum facit, ut pro eo quod est ἦονὴ, ἥδονὴ proferatur. Λύπη, id est, dolor, a διαλύσεως, id est, dissolutione corporis trahi videtur. nam in huiusmodi passione corpus dissolvitur. Ἀνία, id est, tristitia, quod impedit

δίζον τοῦ ἰέναι. Ἡ δὲ ἀλγηδὼν, ξενικόν τι φαίνεταί μοι, ἀπὸ τοῦ ἀλγεινοῦ ὠνομασμένον. Ὀδύνη δὲ, ἀπὸ τῆς ἐνδύσεως τῆς λύπης κεκλημένη. ΕΡΜ. Ἔοικεν. ΣΩ. Ἀχθηδὼν δὲ, καὶ παντὶ δῆλον ἀπεικασμένον τὸ ὄνομα τῷ τῆς φορᾶς βάρει. Χαρὰ δὲ, τῇ διαχύσει καὶ εὐπορίᾳ τῆς ῥοῆς τῆς ψυχῆς ἔοικε κεκλημένη. Τέρψις δὲ, ἀπὸ τοῦ τερπνοῦ. τὸ δὲ τερπνὸν, ἀπὸ d. τῆς διὰ τῆς ψυχῆς ἕρψεως, πνοῇ ἀπεικασθὲν κέκληται· ἐν δίκῃ μὲν ἂν ἔρπνουν καλούμενον, ὑπὸ χρόνου δὲ τερπνὸν παρηγμένον. Εὐφροσύνη δὲ οὐδὲν προσδεῖται τοῦ διότι ῥηθῆναι. παντὶ γὰρ δῆλον ὅτι ἀπὸ τοῦ εὖ τοῖς πράγμασι τὴν ψυχὴν συμφέρεσθαι, τοῦτο ἔλαβε τὸ ὄνομα, εὐφερωσύνη, τόγε δίκαιον· ὅμως δὲ αὐτὸ καλοῦμεν εὐφροσύνην. Οὐδ' ἐπιθυμία χαλεπόν· τῇ γὰρ ἐπὶ τὸν θυμὸν ἰούσῃ δυνάμει δηλονότι τοῦτο e. ἐκλήθη τὸ ὄνομα. Θυμὸς δὲ, ἀπὸ τῆς θύσεως καὶ ζέσεως τῆς

ἰέναι, id est, ire, demonstrat. Ἀλγηδὼν, id est, cruciatus, peregrinum nomen videtur, ab ἀλγεινοῦ dictum. Ὀδύνη, id est, dolor & afflictio, ab ἐνδύσεως, id est, ingressione doloris denominatur. *Herm.* Videtur. *So.* Ἀχθηδὼν, id est, moeror languorque, lationis gravedinem tarditatemque significat. ἄχθος enim onus est: ἰὸν vero pergens. Χαρὰ vero, id est, laetitia gaudiumque, a διαχύσεως, id est, profusione, εὐπορίας, id est, facilitate, ῥοῆς, id est, motionis animae, dicitur. Τέρψις, id est, delectatio, a τερπνοῦ, id est, oblectamento ducitur. τερπνὸν autem a πνοῇ, id est, inspiratione delectationis in animam. quare merito vocaretur ἔρπνουν, id est, inspirans. temporis autem intervallo ad τερπνὸν deventum est. Εὐφροσύνη, id est, hilaritas & alacritas, quam ob causam dicatur, assignare nihil opus. nam cuique patet, hoc nomen trahi ab eo quod dicitur εὖ, id est, bene, συμφέρεσθαι, id est, una sequi, quasi dicatur anima bene res assequi. unde εὐφερωσύνη vocari deberet: tamen εὐφροσύνην appellamus. Sed neque difficile est assignare, quid Ἐπιθυμία, id est, cupiditas sibi velit. nomen quippe hoc vim tendentem in θυμὸν, id est, animam & iram & furorem ostendit. Θυμὸς autem a θύσεως & ζέσεως, id est, flagrantia, fer-

ψυχῆς ἔχοι ἂν τοῦτο τὸ ὄνομα. Ἀλλὰ μὴν ἵμερός γε τῷ μάλιστα ἕλκοντι τὴν ψυχὴν ῥῷ ἐπωνομάσθη. ὅτι γὰρ ἱέμενος
p. ῥεῖ καὶ ἐφιέμενος τῶν πραγμάτων, καὶ οὕτω δὴ ἐπισπᾷ σφό-
420 a. δρα τὴν ψυχὴν διὰ τὴν ἔσιν τῆς ῥοῆς· ἀπὸ ταύτης οὖν πάσης τῆς δυνάμεως, ἵμερος ἐκλήθη. καὶ μὴν πόθος αὖ καλεῖται, σημαίνων οὐ τοῦ παρόντος εἶναι ἱμέρου τε καὶ ῥεύματος, ἀλλὰ τοῦ ἀλλοθί που ὄντος καὶ ἀπόντος. ὅθεν πόθος ἐπωνόμασται· ὃς τότε ὅταν παρῇ οὗ τὶς ἐφίετο, ἵμερος ἐκαλεῖτο· ἀπογενομένου δὲ, ὁ αὐτὸς οὗτος πόθος ἐκλήθη. Ἔρως δὲ, ὅτι εἰσρεῖ ἔξωθεν, καὶ οὐκ οἰκεία ἐξὶν ἡ ῥοὴ αὕτη τῷ ἔχοντι, ἀλλ'
b. ἐπείσακτος διὰ τῶν ὀμμάτων, διὰ ταῦτα ἀπὸ τοῦ ἐσρεῖν, ἔσρος τό γε παλαιὸν ἐκαλεῖτο (τῷ γὰρ ο ἀντὶ τοῦ ω ἐχρώμεθα) νῦν δ' ἔρως κέκληται, διὰ τὴν τοῦ ω ἀντὶ τοῦ ο μεταλλαγήν. ἀλλὰ τί ἔτι οὐ λέγεις ὅ, τι σκοπῶμεν; ΕΡΜ. Δόξα καὶ τὰ τοιαῦτα πῆ σοι φαίνεται; ΣΩ. Δόξα μὲν ἤτοι τῇ διώξει ἐπωνόμασαι, ἣν ἡ ψυχὴ διώκουσα τοῦ εἰδέναι ὅπη ἔχει τὰ

vore, & impetu animae nomen habet. proinde Ἵμερος, id est, suavis & blanda perfusio, dicitur, ῥῷ, id est, fluxu animam vehementer alliciente. ex eo enim quod ἱέμενος ῥεῖ, id est, incitatus rerumque appetens fluit, animam vehementer attrahit propter impetum sive incitamentum fluxus. ab hac tota vi ἵμερος est nuncupatus. Praeterea Πόθος vocatur, id est, desiderium, quod sane praesentem suavitatem non significat, quemadmodum ἵμερος, sed absentem ardet. unde πόθος dicitur, quasi ἀπόντος, id est, absentis concupiscentia. idemque ipse in id quod gratum est animi nixus, praesente eo quod cupitur ἵμερος, absente πόθος denominatur. Ἔρως autem, id est, amor, quia εἰσρεῖ, id est, influit extrinsecus, neque propria est habenti ῥοὴ, id est, fluxio ista, sed infusa per oculos. quapropter ab ἐσρεῖν, id est, influere, ἔσρος, id est, influxio, amor ab antiquis nostris appellabatur. nam ο pro ω utebantur. nunc autem ἔρως dicitur, ω pro ο interposito. Verum quid deinceps considerandum praecipis? *Herm.* Δόξα, id est, opinio, & talia quaedam, unde nomen habent? *So.* Δόξα, vel a διώξει, id est, persecutione di-

πράγματα πορεύεται, ἢ τῇ ἀπὸ τοῦ τόξου βολῇ. ἔοικε δὲ τοῦτο μᾶλλον. ἡ γοῦν οἴησις τούτῳ συμφωνεῖ. οἴσει γὰρ τῆς ψυχῆς ἐπὶ πᾶν πρᾶγμα οἷόν ἐστιν ἕκαστον τῶν ὄντων δηλούσῃ προσέοικεν· ὥσπερ γε καὶ ἡ βουλὴ πρὸς τὴν βολήν, καὶ τὸ βούλεσθαι τὸ ἐφίεσθαι σημαίνει, καὶ βουλευεσθαι, πάντα ταῦτα δόξῃ ἑπόμενα· ἄττα φαίνεται τῆς βολῆς ἀπεικάσματα· ὥσπερ αὖ καὶ τοὐναντίον ἡ ἀβουλία, ἀτυχία δοκεῖ εἶναι, ὡς οὐ βαλόντος οὐδὲ τυχόντος οὗ τ' ἐβάλλετο καὶ ὃ ἐβούλετο, καὶ περὶ οὗ ἐβουλεύετο, καὶ οὗ ἐφίετο. EPM. Ταῦτα ἤδη μοι δοκεῖς, ὦ Σώκρατες, πυκνότερον ἐπάγειν. τέλος γὰρ ἤδη θεῷ. ἀνάγκην δ' οὖν ἔτι βούλομαι διαπεραῦναι, ὅ, τι τούτοις ἔξῃς ἐστι, καὶ τὸ ἑκούσιον. ΣΩ. Τὸ μὲν οὖν ἑκούσιον, τὸ εἶκον καὶ μὴ ἀντιτυποῦν, ἀλλ', ὡς λέγω, εἶκον τῷ ἰόντι, δεδηλωμένον ἂν εἴη τούτῳ τῷ ὀνόματι τῷ κατὰ τὴν βούλησιν γιγνομένῳ· τὸ δὲ ἀναγκαῖον καὶ ἀντίτυπον, παρὰ τὴν βούλησιν

citur, qua pergit & profequitur anima, conditionem rerum inveſtigans: vel a τόξου βολῇ, id eſt, arcus iactu. videtur autem hinc potius dependere. Οἴησις, id eſt, exiſtimatio, huic conſonat. oſtendit quippe οἴσιν, id eſt, ingreſſum animae in unumquodque conſiderandum, οἷον, id eſt, quale ſit: quemadmodum & βουλὴ, id eſt, voluntas, a βολὴ, id eſt, iactu dicitur: & βούλεσθαι, id eſt, velle, propter ipſum attingendi nixum ſignificat etiam ἐφίεσθαι, id eſt, cupere: & βουλεύεσθαι, id eſt, conſulere. omnia haec opinionem ſequentia, βολῆς ipſius, id eſt, iactus & nixus imagines eſſe videntur. quemadmodum contrarium ἀβουλία, id eſt, privatio voluntatis, defectus quidam conſequendi impos apparet: quaſi non contendat; neque etiam quod intendit, vult, cupit, inveſtigat, adipiſcatur. *Herm.* Frequentiora haec congerere videris, o Socrates. Quare finis iam ſit favente deo. Volo tamen adhuc ἀνάγκην & ἑκούσιον, id eſt, neceſſarium & voluntarium declarari. nempe ſuperioribus iſta ſuccedunt. *So.* Ἑκούσιον, equidem eſt εἶκον, id eſt, cedens, neque renitens. hoc ſiquidem nomine declaratur εἶκον τῷ ἰόντι, id eſt, cedens eunti, quodve

ὄν, τὸ περὶ τὴν ἁμαρτίαν ἂν εἴη καὶ ἀμαθίαν. ἀπείκασαι δὲ
e. τῇ κατὰ τὰ ἄγκη πορείᾳ, ὅτι δύσπορα καὶ τραχέα καὶ λάσια
ὄντα ἴσχει τοῦ ἰέναι. ἐντεῦθεν οὖν ἴσως ἐκλήθη ἀναγκαῖον,
τῇ διὰ τοῦ ἄγκους ἀπεικασθὲν πορείᾳ. ἕως δὲ πάρεσιν ἡ
ῥώμη, μὴ ἀνιῶμεν αὐτήν. ἀλλὰ καὶ σὺ μὴ ἄνιει, ἀλλὰ
ἐρώτα. ΕΡΜ. Ἐρωτῶ δὴ τὰ μέγιστα καὶ κάλλιστα, τήν τε
p. ἀλήθειαν καὶ τὸ ψεῦδος, καὶ τὸ ὄν, καὶ αὐτὸ τοῦτο περὶ ὃ
421 νῦν ὁ λόγος ἡμῖν ἐστιν, ὄνομα, διότι τὸ ὄνομα ἔχει. ΣΩ.
a. Μαίεσθαι οὖν καλεῖς τί; ΕΡΜ. Ἔγωγε τὸ ζητεῖν. ΣΩ.
Ἔοικε τοίνυν ἐκ λόγου ὀνόματι συγκεκροτημένῳ, λέγοντος
ὅτι τοῦτ' ἐστὶν ὄν, οὗ τυγχάνει ζήτημα τὸ ὄνομα. μᾶλλον δὲ
ἂν αὐτὸ γνοίης, ἐν ᾧ λέγομεν τὸ ὀνομαστόν. ἐνταῦθα γὰρ
σαφῶς λέγει τοῦτο εἶναι, ὀνόμασμα ἐξίν. ἡ δ' ἀλήθεια, καὶ
b. τοῦτο τοῖς ἄλλοις ἔοικε συγκεκροτῆσθαι. ἡ γὰρ θεία τοῦ ὄν-
τος φορὰ ἔοικε προσειρῆσθαι τούτῳ τῷ ῥήματι τῇ ἀληθείᾳ,
ὡς θεία οὖσα ἄλη. τὸ δὲ ψεῦδος, τοὐναντίον τῇ φορᾷ. πάλιν

ex voluntate perficitur. Ἀναγκαῖον vero, id eſt, neceſſarium & obſiſtens, cum praeter voluntatem ſit, circa errorem inſcitiamque verſabitur. deſcribitur autem ex progreſſu ſecundum neceſſitatem, quoniam impervia & aſpera & denſa progreſſum prohibent. unde ἀναγκαῖον dictum eſt, quaſi per ἄγκους ἰὸν, id eſt, per vallem vadens. Quouſque vero viget robur, ne deſeramus. quamobrem interroga amabo, neque deſiſtas. *Herm.* Ecce, rogo quae maxima ſunt & pulcherrima: ἀλήθειαν, id eſt veritatem, & ψεῦδος, id eſt, mendacium, & ὄν, id eſt, ens, & quare id quo de hic agimus, ὄνομα, id eſt, nomen, dicitur. *So.* Quid vocas μαίεσθαι? *Herm.* Voco equidem inquirere. *So.* Videtur nomen hoc ex ſermone illo conflatum, quo dicitur ὄν, id eſt, ens eſſe, cuius nomen inquiſitio eſt. Quod clarius certe comprehendes in eo quod dicimus ὀνομαστὸν, id eſt, nominandum. hic enim exprimitur nomen quid ſit, entis videlicet inquiſitio. Ἀλήθεια vero, ſicut & alia, contrahi conflarique videtur. nam divina entis latio, nomine hoc ncluditur ἀληθείᾳ, quaſi exiſtens θεία ἄλη, id eſt, divina

γὰρ αὖ λοιδορούμενον ἥκει τὸ ἰσχόμενον καὶ τὸ ἀναγκαζόμενον ἠσυχάζειν. ἀπείκασαι δὲ τοῖς καθεύδουσι. τὸ ψι δὲ προσγενόμενον, ἐπικρύπτει τὴν βούλησιν τοῦ ὀνόματος. τὸ δὲ ὂν καὶ ἡ οὐσία ὁμολογεῖ τῷ ἀληθεῖ, τὸ ἰῶτα ἀποβαλόν. ἰὸν γὰρ σημαίνει, καὶ τὸ οὐκ ὂν αὖ, ὡς τινες καὶ ὀνομάζουσιν αὐτὸ οὐκ ἰόν. ΕΡΜ. Ταῦτα μέν μοι δοκεῖς, ὦ Σώκρατες, ἀν- c. δρείως πάνυ διακεκροτηκέναι. εἰ δέ τις σὲ ἔροιτο, τοῦτο τὸ ἰὸν, καὶ τὸ ῥέον, καὶ τὸ δοῦν, τίνα ἔχει ὀρθότητα ταῦτα τὰ ὀνόματα, τίνα ἂν αὐτῷ ἀποκριναίμεθα λέγειν, ἦ γάρ; ΣΩ. Πάνυ μὲν οὖν. ἐν μέντοι, νῦν ἄρτι που ἐπορισάμεθα, ὥστε δοκεῖν τι λέγειν ἀποκρινόμενοι. ΕΡΜ. Τὸ ποῖον τοῦτο; ΣΩ. Φάναι, ὃ ἐὰν μὴ γιγνώσκωμεν, βαρβαρικόν τι τοῦτ' εἶναι. εἴη μὲν οὖν ἴσως ἄν τι τῇ ἀληθείᾳ καὶ τοιοῦτον αὐτῶν· εἴη δὲ d. κἂν ὑπὸ παλαιότητος τὰ πρῶτα τῶν ὀνομάτων ἀνεύρετα εἶναι. διὰ γὰρ τὸ πανταχῇ σπείφεσθαι τὰ ὀνόματα, οὐδὲν θαυμαστὸν ἂν εἴη εἰ ἡ παλαιὰ φωνὴ πρὸς τὴν νυνὶ, βαρβα-

quaedam vagatio. Ψεῦδος autem contrarium motionis. rursus enim hic usurpatur agitationis obstaculum, quodve sistere cogit. nam a καθεύδω, id est, dormio dicitur. Ἰὸν vero adiectum sensum nominis occulit. Ὂν vero & Οὐσία, id est, ens & essentia, cum ἀληθείᾳ, id est, veritate, congruunt, si ι apponatur. nam ἰὸν, id est, vadens significat. At οὐκ ὄν, id est, non ens, quidam nominant οὐκ ἰὸν, id est, non vadens. *Herm.* Haec mihi videris, o Socrates, fortiter admodum discussisse. Verum si quis te percontetur, quae sit recta istorum interpretatio, quae dicuntur ἰὸν, id est, vadens, ῥέον, id est, fluens, δοῦν, id est, ligans ac detinens, quid illi potissimum respondebimus? habesne? *So.* Habeo equidem. profecto nuper succurrit nobis aliquid, cuius responsione quidquam videamur afferre. *Herm.* Quale istud? *So.* Ut quod minime cognoscimus, barbaricum esse dicamus. forte enim partim revera talia sunt. forte vero ob vetustatem prima nomina inscrutabilia sunt. Etenim cum passim vocabula distrahantur, nihil mirum esset, si prisca lingua cum nostra collata nihilo a barbarica voce differret. *Herm.*

ρικῆς μηδὲν διαφέροι. ΕΡΜ. Καὶ οὐδέν γε ἀπὸ τρόπου λέγεις. ΣΩ. Λέγω γὰρ οὖν εἰκότα. οὐ μέντοι μοι δοκεῖ προφάσεις ὁ ἀγὼν εἰσδέχεσθαι, ἀλλὰ προθυμητέον αὐτὰ διασκέψασθαι. ἐνθυμηθῶμεν δὲ, εἴτις ἀεὶ δι' ὧν ἂν λέγηται τὸ ὄνο-
e. μα ἐκεῖνα ἂν ἐρήσεται τὰ ῥήματα, καὶ αὖθις αὖ δι' ὧν ἂν τὰ ῥήματα λεχθῇ, ἐκεῖνα πεύσεται, καὶ τοῦτο μὴ παύσεται ποιῶν· ἆρ' οὐκ ἀνάγκη τελευτῶντα ἀπειπεῖν τὸν ἀποκρι-
p. νόμενον; ΕΡΜ. Ἔμοιγε δοκεῖ. ΣΩ. Πότε οὖν ἀπειπὼν ὁ
422 ἀπαγορεύων, δικαίως παύοιτ' ἄν; ἆρ' οὐκ ἐπειδὰν ἐπ' ἐκείνοις
a. γένηται τοῖς ὀνόμασιν, ἃ ὥσπερεὶ στοιχεῖα τῶν ἄλλων ἐστὶ καὶ λόγων καὶ ὀνομάτων; ταῦτα γάρ που οὐκέτι δικαιον φανῆναι, ἐξ ἄλλων ὀνομάτων συγκείμενα, ἂν οὕτως ἔχῃ. οἷον νῦν δὴ τὸ ἀγαθὸν ἔφαμεν ἐκ τοῦ ἀγαστοῦ καὶ ἐκ τοῦ θοοῦ συγκεῖσθαι· τὸ δὲ θοὸν ἴσως φαῖμεν ἂν ἐξ ἑτέρων· ἐκεῖνα δὲ ἐξ
b. ἄλλων. ἀλλ' ἐάν ποτε γε λάβωμεν ὃ οὐκέτι ἔκ τινων ἑτέρων συγκειται ὀνομάτων, δικαίως ἂν φαῖμεν ἐπὶ στοιχείῳ τε ἤδη εἶναι, καὶ οὐκέτι τοῦτο ἡμᾶς δεῖν εἰς ἄλλα ὀνόματα ἀναφέ-

Haud alienum eſt a ratione quod dicis. *So.* Conſentanea quidem affero. non tamen idcirco certamen excuſationem videtur admittere. Sed conemur haec diſquirere, atque ita conſideremus: ſi quis ſemper verba illa, per quae nomen dicitur, quaereret, rurſusque illa, per quae dicuntur verba, ſciſcitaretur, pergeretque ita perquirere: nonne qui reſpondet, defatigari tandem & renuere cogeretur? *Herm.* Mihi ſane videtur. *So.* Quando itaque qui reſponſum denegat, merito ceſſabit? an non poſtquam ad nomina illa pervenerit, quae ceterorum ſunt & ſermonum & nominum elementa? haec utique ſi elementa ſunt, ex aliis nominibus compoſita videri non debent. quemadmodum ſupra ἀγαθὸν, id eſt, bonum, diximus ex ἀγαστοῦ, id eſt, iucundo amabilique, & θοοῦ, id eſt, veloci compoſitum. θοὸν vero rurſus ex aliis conſtare dicemus: illaque ex aliis. ſed poſtquam ad id pervenerimus, quod ultra ex aliis nominibus non conſtituitur, merito nos ad elementum perveniſſe dicemus, nec ulterius hoc ad alia nomina referendum. *Herm.*

ρειν. ΕΡΜ. Ἔμοιγε δοκεῖ ὀρθῶς λέγειν. ΣΩ. Ἆρ' οὖν καὶ νῦν ἃ ἐρωτᾷς τὰ ὀνόματα, στοιχεῖα ὄντα τυγχάνει, καὶ δεῖ αὐτῶν ἄλλῳ τινὶ τρόπῳ ἤδη τὴν ὀρθότητα ἐπισκέψασθαι ἥτις ἐστίν; ΕΡΜ. Εἰκός γε. ΣΩ. Εἰκὸς δῆτα, ὦ Ἑρμόγενες. πάντα γοῦν φαίνεται τὰ ἔμπροσθεν εἰς ταῦτ' ἀνεληλυθέναι. εἰ δὲ τοῦτο οὕτως ἔχει ὡς μοι δοκεῖ ἔχειν, δεῦρο αὖ συνεπίσκεψαι μετ' ἐμοῦ, μή τι παραληρήσω λέγων οἵαν δεῖ τὴν τῶν πρώτων ὀνομάτων ὀρθότητα εἶναι. ΕΡΜ. Λέγε μόνον· ὡς ὅσον γε δυνάμεως παρ' ἐμοιγ' ἐστί, συνεπισκέψομαι. ΣΩ. Ὅτι μὲν τοίνυν μία γέ τις ἡ ὀρθότης παντὸς ὀνόματος καὶ πρώτου καὶ ὑστάτου, καὶ οὐδὲν διαφέρει τὸ ὄνομα εἶναι οὐδὲν αὐτῶν, οἶμαι καί σοι συνδοκεῖν. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἀλλὰ μὴν ὧν γε νῦν διεληλύθαμεν τῶν ὀνομάτων ἡ ὀρθότης, τοιαύτη τις ἐβούλετο εἶναι, οἵα δηλοῦν οἷον ἕκαστον ἐστι τῶν ὄντων. ΕΡΜ. Πῶς γὰρ οὔ; ΣΩ. Τοῦτο μὲν ἄρα οὐδὲν ἧττον καὶ τὰ πρῶτα δεῖ ἔχειν καὶ τὰ ὕστερα, εἴπερ ὀνόματα ἔσαι. ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἀλλὰ τὰ μὲν ὕστερα, ὡς ἔοικε, διὰ τῶν προτέρων οἷά τε ἦν τοῦτο ἀπεργάζεσθαι. ΕΡΜ. Φαίνεται. ΣΩ.

Scite mihi loqui videris. *So.* An non ea de quibus paulo ante interrogabas nomina elementa sunt? oportetque rectam illorum rationem aliter quam reliquorum investigare? *Herm.* Probabile id quidem. *So.* Probabile certe, Hermogenes. superiora itaque omnia in haec redacta videntur. Si vero res ita se habet, ut mihi videtur, rursus age hic una mecum considera, ne forte delirem, dum rectam primorum nominum rationem exponere tento. *Herm.* Dic modo. ego namque pro viribus meditabor. *So.* Arbitror equidem in hoc te consentire, unam esse rectam cuiusvis nominis, tum primi tum ultimi, rationem; nullumque illorum eo quod nomen est, ab alio discrepare. *Herm.* Maxime. *So.* Etenim omnium quae supra retulimus nominum recta ratio in hoc constitit, ut qualis quaeque res sit indicaretur. *Herm.* Procul dubio. *So.* Hoc utique non minus prioribus quam posterioribus competere debet, si nomina futura sunt. *Herm.* Prorsus. *So.* Atqui posteriora nomina per

Εἶεν. τὰ δὲ δὴ πρῶτα, οἷς οὔπω ἕτερα ὑπόκειται, τίνι τρόπῳ
κατὰ τὸ δυνατὸν ὀτιμάλιστα φανερὰ ἡμῖν ποιήσει τὰ ὄντα,
c. εἴπερ μέλλει ὀνόματα εἶναι; ἀπόκριναι δέ μοι τόδε· εἰ φωνὴν
μὴ εἴχομεν, μηδὲ γλῶτταν, ἐβουλόμεθα δὲ δηλοῦν ἀλλήλοις τὰ πράγματα, ἆρ' οὐκ ἂν, ὥσπερ νῦν οἱ ἐννεοὶ, ἐπεχειροῦμεν ἂν σημαίνειν ταῖς χερσὶ καὶ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι; ΕΡΜ. Πῶς γὰρ ἂν ἄλλως, ὦ Σώκρατες; ΣΩ. Εἰ
p. μέν γ', οἶμαι, τὸ ἄνω καὶ τὸ κοῦφον ἐβουλόμεθα δηλοῦν,
423 a. ἤρομεν ἂν πρὸς τὸν οὐρανὸν τὴν χεῖρα, μιμούμενοι αὐτὴν τὴν φύσιν τοῦ πράγματος· εἰ δὲ τὰ κάτω καὶ τὰ βαρέα, πρὸς τὴν γῆν. καὶ ἵππον δέοντα, ἤ τι ἄλλο τῶν ζώων ἐβουλόμεθα δηλοῦν, οἶσθα ὅτι ὡς ὁμοιότατ' ἂν τὰ ἡμέτερα αὐτῶν σώματα καὶ σχήματα ἐποιοῦμεν ἐκείνοις. ΕΡΜ. Ἀνάγκη μοι
b. δοκεῖ ὡς λέγεις ἔχειν. ΣΩ. Οὕτω γὰρ ἂν, οἶμαι, δηλώματα τοῦ σώματος ἐγίγνετο, μιμησαμένου, ὡς ἔοικε, τοῦ σώματος ἐκεῖνο ὃ ἐβούλετο δηλῶσαι. ΕΡΜ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ φωνῇ τε καὶ γλώττῃ καὶ στόματι βουλόμεθα δηλοῦν, ἆρ' οὐ

priora hoc efficere poterant. *Herm.* Apparet. *So.* Prima vero, quibus alia non praecedunt, quo pacto quam maxime res ipsas nobis ostendent, si nomina esse debent? Ad hoc mihi respondе. Si voce & lingua caruissemus, voluissemusque res invicem declarare, nonne perinde ac nunc muti, manibus capiteque & ceteris membris significare tentavissemus? *Herm.* Haud aliter, Socrates. *So.* Ergo supernum quippiam ac leve demonstraturi, coelum versus manum extulissemus, ipsam rei naturam imitantes: inferiora vero & gravia deiectione quadam versus terram innuissemus. quin etiam currentem equum vel aliud quidquam animalium indicaturi, corporum nostrorum gestus figurasque ad illorum similitudinem quam proxime quisque finxisset. *Herm.* Necessarium quod ais esse mihi videtur. *So.* Hunc in modum, ut arbitror, his corporis partibus ostensum esset: corpore videlicet quod quisque monstrare voluerat imitante. *Herm.* Ita certe. *So.* Postquam vero voce, lingua & ore declarare voluimus, nonne ita demum per haec

τό γε ἐκάστου τότε δήλωμα ἡμῖν ἔσται τὸ ἀπὸ τούτων γιγνόμενον, ὅταν μίμημα γένηται διὰ τούτων περὶ ὁτιοῦν; ΕΡΜ. Ἀνάγκη μοι δοκεῖ. ΣΩ. Ὄνομ' ἄρ' ἐστὶν, ὡς ἔοικε, μίμημα φωνῆς ἐκείνου ὃ μιμεῖται καὶ ὀνομάζει ὁ μιμούμενος τῇ φωνῇ ὃ ἂν μιμῆται. ΕΡΜ. Δοκεῖ μοι. ΣΩ. Μὰ Δι' ἀλλ' οὐκ ἐμοί πω δοκεῖ καλῶς λέγεσθαι, ὦ ἑταῖρε. ΕΡΜ. Τί δή; c. ΣΩ. Τοὺς τὰ πρόβατα μιμουμένους τούτους καὶ τοὺς ἀλεκτρυόνας, καὶ τἄλλα ζῶα, ἀναγκαζοίμεθ' ἂν ὁμολογεῖν ὀνομάζειν ταῦτα ἅπερ μιμοῦνται. ΕΡΜ. Ἀληθῆ λέγεις. ΣΩ. Καλῶς οὖν ἔχειν δοκεῖ σοι; ΕΡΜ. Οὐκ ἔμοιγε. ἀλλὰ τίς ἂν, ὦ Σώκρατες, μίμησις εἴη τὸ ὄνομα; ΣΩ. Πρῶτον μὲν, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἐὰν καθάπερ τῇ μουσικῇ μιμώμεθα τὰ πράγματα, οὕτω μιμώμεθα, καίτοι φωνῇ γε καὶ τότε d. μιμούμεθα· ἔπειτα οὐκ ἐὰν ἅπερ ἡ μουσικὴ μιμεῖται, καὶ ἡμεῖς μιμώμεθα, οὗ μοι δοκοῦμεν ὀνομάσειν. λέγω δέ τι τοῦτο. ἔστι τὶς πράγμασι φωνὴ καὶ σχῆμα ἐκάστῳ, καὶ χρῶμά γε πολλοῖς; ΕΡΜ. Πάνυ γε. ΣΩ. Ἔοικε τοίνυν, οὐκ ἐάν τις ταῦτα μιμῆται, οὐδὲ περὶ ταύτας τὰς μιμήσεις ἡ τέχνη

oſtenſio fiet, ſi per ea circa quodlibet facta fuerit imitatio? *Herm.* Neceſſarium puto. *So.* Nomen itaque eſt, ut apparet, imitatio vocis, qua quisquis aliquid imitatur, per vocem imitatur & nominat. *Herm.* Idem mihi quoque videtur. *So.* Atqui per Iovem nondum tamen, o amice, recte dictum exiſtimo. *Herm.* Quamobrem? *So.* Quoniam hos ovium & gallorum ceterorumque animalium imitatores fateri cogeremur nominare eadem, quae imitantur. *Herm.* Vera loqueris. *So.* Decere id cenſes? *Herm.* Nequaquam. ſed quaenam, o Socrates, imitatio nomen erit? *So.* Non talis imitatio, qualis quae per muſicam fit, quamvis voce fiat. neque etiam eorundem quorum & muſica imitatio eſt: neque enim per muſicam imitationem nominare videmur. Dico autem ſic: adeſt rebus vox & figura colorque plurimis. *Herm.* Omnino. *So.* Videtur itaque non ſi quis haec imitetur, neque circa imitationes iſtas, nominandi facultas conſiſtere. hae ſiquidem ſunt partim muſica, partim

ἡ ὀνομαστικὴ εἶναι. αὗται μὲν γάρ εἰσιν, ἡ μέν, μουσική· ἡ
e. δὲ, γραφική. ἦ γάρ; ΕΡΜ. Ναί. ΣΩ. Τί δὲ δὴ τόδε; οὐ
καὶ οὐσία δοκεῖ σοι εἶναι ἑκάστῳ, ὥσπερ καὶ χρῶμα, καὶ ἃ
νῦν δὴ ἐλέγομεν; πρῶτον αὐτῷ τῷ χρώματι καὶ τῇ φωνῇ
οὐκ ἔστιν οὐσία τὶς ἑκατέρῳ αὐτῶν καὶ τοῖς ἄλλοις, ὅσα ἠξίω-
ται ταύτης τῆς προσρήσεως τοῦ εἶναι; ΕΡΜ. Ἔμοιγε δοκεῖ.
ΣΩ. Τί οὖν; εἴτις αὐτὸ τοῦτο μιμεῖσθαι δύναιτο ἑκάστου τὴν
οὐσίαν γράμμασι τε καὶ συλλαβαῖς, ἆρ' οὐκ ἂν δηλοῖ ἕκα-
p. στον ὅ ἐστιν; ἢ οὔ; ΕΡΜ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ τί ἂν
424 φαίης τὸν τοῦτο δυνάμενον; ὥσπερ τοὺς προτέρους, τὸν μὲν,
a. μουσικὸν ἔφησθα, τὸν δὲ, γραφικόν, τοῦτον δὲ, τίνα; ΕΡΜ.
Τοῦτο ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ὅπερ πάλαι ζητοῦμεν, οὗ-
τος ἂν εἶναι ὁ ὀνομαστικός. ΣΩ. Εἰ ἄρα τοῦτο ἀληθὲς, ἤδη,
ὡς ἔοικεν, ἐπισκεπτέον περὶ ἐκείνων τῶν ὀνομάτων ὧν σὺ ἤρου,
περὶ ῥοῆς τε, καὶ τοῦ ἰέναι, καὶ σχέσεως, εἰ τοῖς γράμμασι
καὶ ταῖς συλλαβαῖς τοῦ ὄντος ἐπιλαμβάνεται αὐτῶν, ὥστε
b. ἀπομιμεῖσθαι τὴν οὐσίαν, εἴτε καὶ οὔ. ΕΡΜ. Πάνυ μὲν οὖν.
ΣΩ. Φέρε δὴ ἴδωμεν πότερον ἆρα ταῦτα μόνα ἐξ τῶν πρώ-
των ὀνομάτων, ἢ καὶ ἄλλα πολλά. ΕΡΜ. Οἶμαι ἔγωγε καὶ

vero pictura. nonne? *Herm.* Plane. *So.* Quid ad hoc? nonne essentiam esse cuique putas, quemadmodum colori & ceteris quae supra diximus? An non inest colori ac voci essentia quaedam, & aliis omnibus quaecunque essendi appellatione sunt digna? *Herm.* Mihi quidem videtur. *So.* Si quis cuiusque essentiam imitari literis syllabisque valeret, nonne quid unumquodque sit declararet? *Herm.* Maxime quidem. *So.* Quem hunc esse dices? superiores quidem partim musicum, partim pictorem cognominabas: hunc vero quomodo vocabis? *Herm.* Videtur hic mihi, o Socrates, quem iamdiu quaerimus, nominandi auctor. *So.* Si verum hoc est, considerandum iam de nominibus illis, quae tu exigebas, ῥοῆς, id est, fluxu, ἰέναι, id est, ire, σχέσεως, id est, detentione, utrum literis syllabisque suis revera essentiam imitantur, necne. *Herm.* Prorsus. *So.* Age videamus, numquid haec sola prima nomina sint, an sint &

ἄλλα. ΣΩ. Εἰκὸς γάρ. ἀλλὰ τίς ἂν εἴη ὁ τρόπος τῆς διαιρέσεως, ὅθεν ἄρχεται μιμεῖσθαι ὁ μιμούμενος; ἆρα οὐκ ἐπείπερ συλλαβαῖς τε καὶ γράμμασιν ἡ μίμησις τυγχάνει οὖσα τῆς οὐσίας, ὀρθότατόν ἐστι διελέσθαι τὰ στοιχεῖα πρῶτον; ὥσπερ οἱ ἐπιχειροῦντες τοῖς ῥυθμοῖς, τῶν στοιχείων πρῶτον τὰς δυ- c.
νάμεις διείλοντο, ἔπειτα τῶν συλλαβῶν· καὶ οὕτως ἤδη ἔρχονται ἐπὶ τοὺς ῥυθμοὺς σκεψόμενοι, πρότερον δ' οὔ. EPM. Ναι. ΣΩ. Ἆρ' οὖν καὶ ἡμᾶς οὕτω δεῖ πρῶτον μὲν τὰ φωνήεντα διελέσθαι, ἔπειτα τῶν ἑτέρων, κατὰ εἴδη, τά τε ἄφωνα καὶ ἄφθογγα; (οὕτωσὶ γάρ που λέγουσιν οἱ δεινοὶ περὶ τούτων) καὶ τὰ οὐ φωνήεντα μέν, οὐ μέντοιγε ἄφθογγα; καὶ αὐτῶν τῶν φωνηέντων ὅσα διάφορα εἴδη ἔχει ἀλλήλων; καὶ ἐπειδὰν ταῦτα διελώμεθα τὰ ὄντα εὖ πάντα, αὖθις δεῖ ὀνό- d.
ματα ἐπιθεῖναι, εἰ ἔστιν εἰς ἃ ἀναφέρεται πάντα, ὥσπερ τὰ στοιχεῖα, ἐξ ὧν ἐστιν ἰδεῖν αὐτά τε, καὶ εἰ ἐν αὐτοῖς ἔνεστιν εἴδη κατὰ τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τοῖς στοιχείοις. ταῦτα πάντα καλῶς διαθεασαμένους, ἐπίστασθαι ἐπιφέρειν ἕκαστον κατὰ τὴν ὁμοιότητα, ἐάν τε ἐν ἑνὶ δέῃ ἐπιφέρειν, ἐάν τε

alia praeter haec. *Herm.* Alia equidem arbitror. *So.* Conſentaneum eſt. ceterum quis diſtinguendi modus, unde imitari incipit imitator? nonne quandoquidem literis ac ſyllabis eſſentiae fit imitatio, praeſtat primum elementa diſtinguere? quemadmodum qui rhythmis dant operam, elementorum primo vires diſtinguunt, deinde ſyllabarum tantum, rhythmos tandem ipſos aggrediuntur, prius nequaquam. *Herm.* Utique. *So.* An non ita & nos primo oportet literas vocales diſtinguere, poſtea reliquas, ſecundum ſpecies, mutas & ſemivocales? (ita enim in his eruditi viri loquuntur) ac rurſus vocales quidem, non tamen ſemivocales? & ipſarum vocalium ſpecies invicem differentes? & poſtquam haec bene omnia diſcreverimus, rur- e.
ſus inducere nomina, conſiderareque, ſi ſunt in quae omnia referuntur, quemadmodum elementa: ex quibus cognoſcere licet & ipſa, & ſi in ipſis ſpecies continentur eodem modo, ſicut in elementis. His omnibus diligenter cogitatis, ſcire oportet

συγκεραννύντα πολλά. ὥσπερ οἱ ζωγράφοι βουλόμενοι ἀφο-
μοιοῦν, ἐνίοτε μὲν ὄστρεον μόνον ἐπήνεγκαν, ἐνίοτε δὲ ὁτιοῦν
e. ἄλλο τῶν φαρμάκων· ἔστι δὲ ὅτε πολλὰ συγκεράσαντες, οἷον
ὅταν ἀνδρείκελον σκευάζωσιν, ἢ ἄλλό τι τῶν τοιούτων· ὡς ἂν,
οἶμαι, δοκῇ ἑκάστῃ ἡ εἰκὼν δεῖσθαι ἑκάστου φαρμάκου· οὕτω
δὴ καὶ ἡμεῖς τὰ στοιχεῖα ἐπὶ τὰ πράγματα ἐποίσομεν· καὶ ἓν
ἐπὶ ἓν, οὗ ἂν δοκῇ δεῖν, καὶ σύμβολα ποιοῦντες· ὃ δὴ συλλα-
p. βὰς καλοῦσι· καὶ συλλαβὰς αὖ συντιθέντες, ἐξ ὧν τά τε
425 a. ὀνόματα καὶ τὰ ῥήματα συντίθενται· καὶ πάλιν ἐκ τῶν ὀνο-
μάτων καὶ ῥημάτων μέγα ἤδη τι καὶ καλὸν καὶ ὅλον συσή-
σομεν, ὥσπερ ἐκεῖ τὸ ζῶον τῇ γραφικῇ, ἐνταῦθα τὸν λόγον
τῇ ὀνομαστικῇ, ἢ ῥητορικῇ, ἤ ἥτις ἐστὶν ἡ τέχνη. μᾶλλον δὲ
οὐχ ἡμεῖς· ἀλλὰ λέγων ἐξηνέχθην. συνέθεσαν μὲν γὰρ οὕτως
ἥπερ σύγκειται οἱ παλαιοί. ἡμᾶς δὲ δεῖ, εἴπερ τεχνικῶς ἐπι-
σκησόμεθα, σκοπεῖσθαι αὐτὰ πάντα, οὕτω διελομένους, εἴτε

afferre ſecundum ſimilitudinem unumquodque, ſive unum uni ſit admovendum, ſeu multa invicem commiſcenda: ceu pictores, ſimilitudinem volentes exprimere, interdum purpureum dumtaxat colorem adhibent, interdum quemvis alium colorem: quandoque multos commiſcent, veluti cum imaginem viri quam ſimillimam effingere volunt, vel aliud quiddam huiuſmodi, quatenus imago quaeque certis coloribus indiget. haud ſecus & nos elementa rebus accommodabimus, & unum uni, quocunque egere maxime videatur: σύμβολαque, id eſt, coniecta conficiemus, quas ſyllabas vocant. quas ubi iunxerimus, ex eisque nomina verbaque conſtituerimus, rurſus ex nominibus ac verbis magnum iam quiddam & pulchrum & integrum conſtruemus: & quemadmodum totum ipſum compoſitum pictura animal vocat, ita nos contextum hunc integrum, orationem, vel nominandi peritia, vel rhetorica fabricatam, vel alia quavis quae id efficiat arte. Immo non nos iſtud agemus. modum namque loquendo transgreſſus ſum. quippe veteres ita conflarunt, uti eſt conſtitutum. nos autem oportet, ſi modo artificioſe conſideraturi ſumus, ipſa omnia

κατὰ τρόπον τά τε πρῶτα ὀνόματα κεῖται καὶ τὰ ὕστερα, εἴτε b.
καὶ μὴ, οὕτω θεᾶσθαι. ἄλλως δὲ συνείρειν μὴ φαῦλον ᾖ,
καὶ οὐ καθ' ὁδὸν, ὦ φίλε Ἑρμόγενες. ΕΡΜ. Ἴσως νὴ Δι',
ὦ Σώκρατες. ΣΩ. Τί οὖν; σὺ πιστεύεις σαυτῷ οἷός τ' ἂν
εἶναι ταῦτα οὕτω διελέσθαι; ΕΡΜ. Ἐγὼ μὲν γὰρ οὔ. ΣΩ.
Πολλοῦ ἄρα δέω ἔγωγε. ΕΡΜ. Ἐάσωμεν οὖν· ἢ βουλει οὕ-
τως ὅπως ἂν δυνώμεθα, καὶ ἂν σμικρόν τι αὐτῶν οἷοιτ' ὦμεν
κατιδεῖν, ἐπιχειρῶμεν· προειπόντες (ὥσπερ ὀλιγον πρότερον) c.
τοῖς θεοῖς, ὅτι οὐδὲν εἰδότες τῆς ἀληθειας τὰ τῶν ἀνθρώπων
δόγματα περὶ αὐτῶν εἰκάζομεν. οὕτω δὲ καὶ νῦν αὖ εἰπόν-
τες ἡμῖν αὐτοῖς ἴωμεν, ὅτι εἰ μέν τι χρησὸν εἴη αὐτὰ διελέ-
σθαι, εἴτε ἄλλον ὁντινοῦν, εἴτε ἡμᾶς, οὕτως ἔδει αὐτὰ διαι-
ρεῖσθαι. νῦν δὲ, τὸ λεγόμενον, κατὰ δύναμιν δεήσει ἡμᾶς
περὶ αὐτῶν πραγματεύεσθαι. δοκεῖ ταῦτα; ἢ πῶς λέγεις;
ΕΡΜ. Πάνυ μεν οὖν σφόδρα ἔμοιγε δοκεῖ. ΣΩ. Γελοῖα
μὲν οἶμαι φανεῖσθαι, ὦ Ἑρμόγενες, γράμμασι καὶ συλ- d.
λαβαῖς τὰ πράγματα μεμιμημένα κατάδηλα γιγνόμενα.
ὅμως δὲ ἀνάγκη. οὐ γὰρ ἔχομεν τούτου βέλτιον εἰς ὅ, τι

sic distinguentes, sive ut convenit prima nomina & posteriora sint posita, sive non, ita excogitare. Aliter autem connectere videndum est, o amice Hermogenes, ne forte sit error. *Herm.* Forte per Iovem, o Socrates. *So.* Numquid ipse confidis ita te posse distinguere? ego enim me posse diffido. *Herm.* Multo igitur magis ipse diffido. *So.* Dimittemus igitur? an vis utcunque valemus, experiamur, & si parum quid horum nosse possumus, aggrediamur, ita tamen, ut paulo supra, diis praefati, Nihil nos veri intelligentes, opiniones hominum de illis coniicere. ita & nunc pergamus nobis ipsis similiter praedicentes, quod si quam optime distinguenda haec fuissent, vel ab alio quopiam, vel a nobis, sic certe distinguere oportuisset. nunc autem, ut fertur, pro viribus ista nos tractare licebit. Admittis haec? vel quid ais? *Herm.* Sic prorsus opinor. *So.* Ridiculum visum iri, o Hermogenes, arbitror, quod res ipsae, imitatione per literas syllabasque facta, manifestae fiant. ne-

ἐπανενέγκωμεν περὶ ἀληθείας τῶν πρώτων ὀνομάτων· εἰ μὴ
ἄρα δή, ὥσπερ οἱ τραγῳδοποιοὶ ἐπειδάν τι ἀπορῶσιν, ἐπὶ τὰς
μηχανὰς καταφεύγουσι, θεοὺς αἴροντες, καὶ ἡμεῖς οὕτως
εἰπόντες ἀπαλλαγῶμεν, ὅτι τὰ πρῶτα ὀνόματα οἱ θεοὶ ἔθε-
c. σαν, καὶ διὰ ταῦτα ὀρθῶς ἔχει. ἆρα καὶ ἡμῖν κράτιστος οὗτος
τῶν λόγων· ἢ ἐκεῖνος, ὅτι παρὰ βαρβάρων τινῶν αὐτὰ παρει-
λήφαμεν· (εἰσὶ δὲ ἡμῶν ἀρχαιότεροι βάρβαροι) ἢ ὅτι ὑπὸ
p. παλαιότητος ἀδύνατον αὐτὰ ἐπισκέψασθαι, ὥσπερ καὶ τὰ
426 βαρβαρικά. αὗται γὰρ ἂν πᾶσαι ἐκδύσεις εἶεν καὶ μάλα
a. κομψαὶ τῷ μὴ ἐθέλοντι λόγον διδόναι περὶ τῶν πρώτων ὀνο-
μάτων, ὡς ὀρθῶς κεῖται. καίτοι ὅτῳ τις τρόπῳ τῶν πρώτων
ὀνομάτων τὴν ὀρθότητα μὴ οἶδεν, ἀδύνατόν που τῶν γε ὑστέ-
ρων εἰδέναι, ἃ ἐξ ἐκείνων ἀνάγκη δηλοῦσθαι, ὧν τις περὶ
μηδὲν οἶδεν. ἀλλὰ δῆλον ὅτι τὸν φάσκοντα περὶ αὐτῶν τεχ-
νικὸν εἶναι, περὶ τῶν πρώτων ὀνομάτων μάλιστά τε καὶ καθα-
b. ρώτατα δεῖ ἔχειν ἀποδεῖξαι· ἢ εὖ εἰδέναι ὅτι τά γε ὕστερα ἤδη
φλυαρήσει. ἢ σοὶ ἄλλως δοκεῖ; EPM. Οὐδ' ὁπωστιοῦν ἀλ-

cessarium tamen. neque enim melius hoc habemus quidquam, ad quod respicientes de veritate primorum nominum iudicemus: nisi forte quemadmodum Tragici, quoties ambigunt, commentitiis quibusdam machinamentis ad deos confugiunt, ita & nos ocius rem expediamus, dicentes deos prima nomina posuisse, & idcirco recte instituta fuisse. Numquid potissimus nobis hic sermo? an ille, quod ipsa a barbaris quibusdam accepimus? (nobis quippe antiquiores sunt barbari) vel quod ob vetustatem ita ea discerni nequeunt, ut & barbara? Tergiversationes hae sunt, & bellissimae quidem, illorum quicunque nolint de recta impositione primorum nominum reddere rationem. Etenim quisquis rectam primorum nominum rationem ignorat, sequentium cognoscere nequit. haec enim ex illis declaranda sunt: illa autem is ignorat. quin potius necesse est sequentium peritiam profitentem, multo prius & absolutius antecedentia comprehendisse, posseque ostendere. aliter autem scire debet, se in sequentibus deliraturum. an aliter

λως, ὦ Σώκρατες. ΣΩ. Ἃ μὲν τοίνυν ἐγὼ ᾠήθημαι περὶ τῶν πρώτων ὀνομάτων, πάνυ μοι δοκεῖ ὑβριστικὰ εἶναι καὶ γελοῖα. τούτων οὖν σοι μεταδώσω, ἂν βούλῃ· σὺ δ' ἄν τι ἔχῃς βέλτιον ποθὲν λαβεῖν, πειρᾶσθαι καὶ ἐμοὶ μεταδιδόναι. ΕΡΜ. Ποιήσω ταῦτα. ἀλλὰ θαρρῶν λέγε. ΣΩ. Πρῶτον μὲν τοίνυν τὸ ρ ἔμοιγε φαίνεται ὥσπερ ὄργανον εἶναι πάσης c. τῆς κινήσεως, ἣν οὐδ' εἴπομεν διότι ἔχει τοῦτο τοὔνομα. ἀλλὰ γὰρ δῆλον ὅτι ἴεσις βούλεται εἶναι. οὐ γὰρ ἡ ἐχρώμεθα, ἀλλὰ ε, τοπαλαιόν. ἡ δὲ ἀρχὴ, ἀπὸ τοῦ κιεν. ξενικὸν δὲ τοὔνομα. τοῦτο δ' ἐστὶν ἰέναι. εἰ οὖν τις τὸ παλαιὸν αὐτῆς εὕροι ὄνομα εἰς τὴν ἡμετέραν φωνὴν συμβαῖνον, ἴεσις ἂν ὀρθῶς καλοῖτο· νῦν δὲ ἀπό τε τοῦ ξενικοῦ τοῦ κιειν, καὶ ἀπὸ τῆς τοῦ η μεταβολῆς, καὶ τῆς τοῦ ν ἐνθέσεως, κίνησις κέκλη- d. ται. ἐδει δὲ κιείνησιν καλεῖσθαι, ἢ εἶσιν. ἡ δὲ στάσις, ἀπόφα- σις τοῦ ἰέναι βούλεται εἶναι. διὰ δὲ τὸν καλλωπισμὸν, στάσις ὠνόμασαι. τὸ δ' αὖ ρ τὸ στοιχεῖον, ὥσπερ λέγω, καλὸν ἔδοξεν ὄργανον εἶναι τῆς κινήσεως τῷ τὰ ὀνόματα τιθεμένῳ πρὸς τὸ

ipse censes? *Herm.* Haud aliter, Socrates. *So.* Quae ego sensi de primis nominibus, insolentia ridiculaque admodum esse mihi videntur: eaque tecum, si velis, communicabo. si quid vero tu melius inveneris, mecum & ipse communica. *Herm.* Efficiam. sed dic iam forti animo. *So.* Principio ipsum ρ velut instrumentum omnis motus esse videtur. cur autem motus κίνησις appelletur, non diximus. patet tamen quod ἴεσις, id est, itio esse vult. non enim η quondam, sed ε utebamur. principium autem a κίειν, id est, ire, quod peregrinum nomen est, & ἰέναι, id est, ire significat. Quare si priscum eius nomen reperiatur, in vocem nostram translatum, recte ἴεσις appellabitur. nunc autem ab κίειν, nomine peregrino, & ipsius η commutatione, & ν ipsius interpositione κίνησις nuncupatur. oportebat autem κιείνησιν, vel εἶσιν dicere. Στάσις, id est, statio, negatio ipsius ἰέναι, id est, ire, esse vult. sed ornatus causa στάσις denominatur. Elementum itaque ipsum ρ, opportunum motus instrumentum, ut modo dicebam, visum est

ἀφομοιοῦν τῇ φορᾷ. πολλαχοῦ γοῦν χρῆται αὐτῷ εἰς αὐτήν· πρῶτον μὲν αὐτῷ τῷ ῥεῖν καὶ ῥοῇ διὰ τούτου τοῦ γράμματος τὴν φορὰν μιμεῖται· εἶτα ἐν τῷ τρόμῳ, εἶτα ἐν
e. τῷ τραχεῖ· ἔτι δὲ ἐν τοῖς τοιοῖσδε ῥήμασιν, οἷον Κρούειν, Θραύειν, Ἐρύκειν, Θρύπτειν, Κερματίζειν, Ῥέμβειν. πάντα ταῦτα τὸ πολὺ ἀπεικάζει διὰ τοῦ ρ. ἐῶ γὰρ, οἶμαι, τὴν γλῶτταν ἐν τούτῳ ἧκιστα μένουσαν, μάλιστα δὲ σειομένην. διὸ φαίνεταί μοι τούτῳ καὶ πρὸς ταῦτα κατακεχρῆσθαι. τῷ δ' αὖ ι, πρὸς τὰ λεπτὰ πάντα, ἃ δὴ μάλιστα διὰ πάντων ἴοι
p. ἂν, διὰ ταῦτα τὸ ἰέναι καὶ τὸ ἵεσθαι διὰ τοῦ ι ἀπομιμεῖται·
427 ἅσπερ γε διὰ τοῦ φ, καὶ τοῦ ψ, καὶ τοῦ σίγμα, καὶ τοῦ
a. ζῆτα, ὅτι πνευματώδη τὰ γράμματα, πάντα τὰ τοιαῦτα μεμίμηται αὐτοῖς ὀνομάζων· οἷον, τὸ ψυχρὸν, καὶ τὸ ζέον, καὶ τὸ σείεσθαι, καὶ ὅλως σεισμόν. καὶ ὅταν που τὸ φυσῶδες μιμῆται, παντα χοῦ ἐνταῦθα ὡς τοπολὺ τὰ τοιαῦτα γράμ-

nominum auctori ad ipsam lationis similitudinem exprimendam. passim itaque ρ ad motus expressionem utitur. In primo quidem ipso ῥεῖν & ῥοῆ, id est, fluere fluxuque, per literam ρ lationem imitatur: deinde in τρόμῳ, id est, tremore, & τραχεῖ, aspero. item in verbis huiusmodi, κρούειν, percutere, θραύειν, vulnerare, ἐρύκειν, trahere, θρύπτειν, frangere enervareque, κερματίζειν, incidere, ῥέμβειν, vacillare, irritare, & circumversare. haec omnia ut plurimum per ρ ad similitudinem motionis effingit. Mitto enim quod lingua in hac litera pronuntianda minime immoratur, quin potius maxime concitatur. Quocirca ad istorum expressionem ipso ρ potissimum usus fuisse videtur. Usus est & ι, scilicet iota, ad tenuia quaeque, per omnia maxime penetrantia. idcirco ἰέναι & ἵεσθαι, id est, ire progredique, per ι imitatur. Quemadmodum per φ, ψ, σ, ζ, quae literae vehementioris spiritus sunt, talia quaedam nominum auctor exprimit, ψυχρὸν, frigidum, ζέον, fervens, σείεσθαι, concuti, & communiter σεισμὸν, concussionem quassationemque. quotiesque vehemens quippiam & spiritu plenum imitari vult nominum institutor, tales ut plurimum literas adhi-

ματα ἐπιφέρειν φαίνεται ὁ τὰ ὀνόματα τιθέμενος. τῆς δ' αὖ
τοῦ δ συμπιέσεως, καὶ τοῦ τ, καὶ ἀπερείσεως τῆς γλώττης
τὴν δύναμιν, χρήσιμον φαίνεται ἡγήσασθαι πρὸς τὴν μίμη- b.
σιν τοῦ δεσμοῦ καὶ τῆς ῥάσεως. ὅτι δὲ ὀλισθαίνει μάλιστα ἐν
τῷ λ ἡ γλῶττα, κατιδὼν ὁ ἀφομοιῶν ὠνόμασε τά τε λεῖα,
καὶ αὐτὸ τὸ ὀλισθαίνειν, καὶ τὸ λιπαρὸν, καὶ τὸ κολλῶδες,
καὶ τἄλλα πάντα τὰ τοιαῦτα. ᾗ δὲ ὀλισθαινούσης τῆς γλώτ-
της ἀντιλαμβάνεται ἡ τοῦ γ δύναμις, τὸ γλίσχρον ἀπεμι-
μήσατο, καὶ γλυκὺ, καὶ γλοιῶδες. τοῦ δ' αὖ ν τὸ εἴσω αἰ-
σθόμενος τῆς φωνῆς, τὸ ἔνδον καὶ τὰ ἐντὸς ὠνόμασεν, ὡς c.
ἀφομοιῶν τοῖς γράμμασι τὰ ἔργα. τὸ δ' αὖ α τῷ μεγάλῳ
ἀπέδωκε, καὶ τῷ μήκει τὸ η, ὅτι μεγάλα τὰ γράμματα.
εἰς δὲ τὸ στρογγύλον τοῦ ο δεόμενος σημείου, τοῦτο πλεῖστον
αὐτῷ εἰς τὸ ὄνομα ἐνεκέρασε. καὶ τἄλλα οὕτω φαίνεται
προσβιάζειν καὶ κατὰ γραμματα καὶ κατὰ συλλαβὰς ἑκά-
στῳ τῶν ὄντων σημεῖόν τε καὶ ὄνομα ποιῶν ὁ νομοθέτης· ἐκ δὲ
τούτων, τὰ λοιπὰ εἴδη αὐτοῖς τούτοις συντιθέναι ἀπομιμού-

bet. Quin etiam ipsius δ & τ compressionem, & linguae velut haerentis retractionem, peropportunam existimasse videtur ad vinculi & stationis potentiam exprimendam. Et quia λ proferendo maxime lingua prolabitur, idcirco per hoc velut ex similitudine quadam nominavit λεῖα, id est, lenia, & ὀλισθαίνειν, labi, & κολλῶδες, liquidum, λιπαρὸν, pingue, ceteraque huiusmodi. Quia vero labentem linguam γ remoratur, eo interiecto formavit γλίσχρον, lubricum, γλυκὺ, dulce, γλοιῶδες, viscosum, lutulentum. Animadvertens quoque, ipsius ν sonum imo in gutture detineri, eo nominavit τὸ ἔνδον & τὰ ἐντὸς, id est, quod intus est, & quae intrinsecus sunt, ut res literis repraesentaret. Ipsum vero α μεγάλῳ, id est, magno tribuit, & ipsum η μήκει, id est, longitudini, quoniam magnae literae sunt. in nomine autem στρογγύλον, id est, rotundum, ipso ο indigens, ο ut plurimum miscuit. Eademque ratione cetera secundum literas ac syllabas rebus singulis accommodare videtur nominum auctor, signum nomenque con-

d. μενος. αὕτη μοὶ φαίνεται, ὦ Ἑρμόγενες, βούλεσθαι εἶναι ἡ τῶν ὀνομάτων ὀρθότης· εἰ μή τι ἄλλο Κρατύλος ὅδε λέγει. ΕΡΜ. Καὶ μήν, ὦ Σώκρατες, πολλὰ γέ μοι πολλάκις πράγματα παρέχει Κρατύλος (ὥσπερ κατ' ἀρχὰς ἔλεγον) φάσκων μὲν εἶναι ὀρθότητα ὀνομάτων, ἥτις δ' ἐστὶν, οὐδὲν σαφὲς λέγων· ὥστέ με μὴ δύνασθαι εἰδέναι πότερον ἐκὼν, ἢ ἄκων· οὕτως ἀσαφῶς ἑκάστοτε περὶ αὐτῶν λέγει. νῦν οὖν μοι,
e. ὦ Κρατύλε, ἐναντίον Σωκράτους εἰπὲ, πότερον ἀρέσκει σοι ἢ λέγει Σωκράτης περὶ ὀνομάτων, ἢ ἔχεις τι ἄλλη κάλλιον λέγειν. καὶ εἰ ἔχεις, λέγε, ἵνα ἤτοι μάθῃς παρὰ Σωκράτους, ἢ διδάξῃς ἡμᾶς ἀμφοτέρους. ΚΡ. Τί δὲ, ὦ Ἑρμόγενες; δοκεῖ σοι ῥᾴδιον εἶναι οὕτω ταχὺ μαθεῖν τε καὶ διδάξαι ὁτιοῦν πρᾶγμα, μὴ ὅτι τοσοῦτον, ὃ δὴ δοκεῖ ἐν τοῖς με-
p. γίστοις μέγιστον εἶναι; ΕΡΜ. Μὰ Δί' οὐκ ἔμοιγε. ἀλλὰ τὸ
428 τοῦ Ἡσιόδου καλῶς μοι φαίνεται ἔχειν, τὸ, εἰ καί τις σμι-
a. κρὸν ἐπὶ σμικρῷ καταθείη, προὔργου εἶναι. Εἰ οὖν καὶ σμικρόν τι οἷόστ' εἶ πλέον ποιῆσαι, μὴ ἀπόκαμνε, ἀλλ' εὐεργέ-

stituens: ex his vero species iam reliquas per similitudinem constituere. Haec mihi, Hermogenes, recta videtur esse nominum ratio, nisi quid aliud Cratylus hic afferat. *Herm.* Et sane, o Socrates, saepe mihi negotium facessit Cratylus hic, ut a principio dixi, dum esse quandam asserit rectam nominum rationem, quae vero sit, non explicat: ut discernere nequeam, utrum de industria, necne, adeo sit obscurus. In praesentia igitur, Cratyle, coram Socrate dicas, utrum placeant ea tibi, quae Socrates de nominibus praedicat, an praeclarius aliquid afferre possis. quod si potes, adducas in medium, ut vel a Socrate discas, vel nos ambos erudias. *Crat.* Videturne tibi, Hermogenes, facile esse tam brevi percipere quodvis atque docere, nedum rem tantam, quae maximum quid de maximis aestimatur? *Herm.* Non mihi per Iovem. quin immo scite loquutum Hesiodum arbitror, quod operae pretium sit parvum parvo addere. Quare si quidquam, licet exiguum, perficere vales, ne graveris: sed & Socratem istum iuva, & me insu-

τει καὶ Σωκράτη τόνδε (δίκαιος δ' εἶ) καὶ ἐμέ. ΣΩ. Καὶ μὲν δὴ ἔγωγε καὶ αὐτὸς, ὦ Κρατύλε, οὐδὲν ἂν ἰσχυρισαίμην ὧν εἴρηκα· ᾗ δέ μοι ἐφαίνετο μεθ' Ἑρμογένους ἐπεσκεψάμην. ὥστε τούτου γε ἕνεκα θαῤῥῶν λέγε εἴτι ἔχεις βέλτιον, ὡς b. ἐμοῦ ἐνδεξομένου. εἰ μέντοι ἔχεις τι σὺ κάλλιον τούτων λέγειν, οὐκ ἂν θαυμάζοιμι. δοκεῖς γάρ μοι αὐτός τε ἐσκέφθαι τὰ τοιαῦτα, καὶ παρ' ἄλλων μεμαθηκέναι. ἐὰν οὖν λέγῃς τι κάλλιον, ἕνα τῶν μαθητῶν περὶ ὀρθότητος ὀνομάτων καὶ ἐμὲ γράφου. ΚΡ. Ἀλλὰ μὲν δὴ, ὦ Σώκρατες, ὥσπερ σὺ λέγεις, μεμέληκε τέ μοι περὶ αὐτῶν, καὶ ἴσως ἄν σε ποιησαίμην μαθητήν. φοβοῦμαι μέντοι μὴ τούτου πᾶν τοὐναντίον ᾖ. ὅτι μοί πως ἐπέρχεται πρός σε λέγειν τὸ τοῦ Ἀχιλλέως, ὃ ἐκεῖνος c. ἐν λιταῖς πρὸς τὸν Αἴαντα λέγει. φησὶ δὲ, Αἶαν Διογενὲς Τελαμώνιε κοίρανε λαῶν, Πάντα τι μοὶ κατὰ θυμὸν ἐείσω μυθήσασθαι. καὶ ἐμοὶ σὺ, ὦ Σώκρατες, ἐπιεικῶς φαίνῃ κατὰ νοῦν χρησμῳδεῖν, εἴτε παρ' Εὐθύφρονος ἐπίπνους γενόμενος, εἴτε καὶ ἄλλη τις μοῦσα πάλαι σε ἐνοῦσα ἐλελήθει. ΣΩ. Ὦ θαυμάσιε Κρατύλε, θαυμάζω καὶ αὐτὸς πάλαι τὴν ἐμαυτοῦ σο- d.

per. *So.* Equidem, o Cratyle, nihil eorum quae ſupra commemoravi, aſſererem. nempe, utcunque viſum eſt, cum Hermogene hoc indagavi. Quocirca aude, ſi quid melius habes, exprimere, tanquam ſim libenter, quod dixeris, ſuſcepturus. Neque enim mirarer, ſi quid tu hiſce haberes praeclarius. videris enim & ipſe talia quaedam conſideraſſe, & ab aliis didiciſſe. Si quid ergo praeſtantius dixeris, me inter diſcipulos tuos circa rectam nominum rationem unum connumerato. *Crat.* Certe mihi, o Socrates, ut ais, curae haec fuerunt, ac forte diſcipulum te efficerem. vereor tamen, ne contra omnino ſe res habeat. nam convenit mihi nunc idem erga te dicere, quod adverſus Aiacem in ſacris Achilles inquit: *Generoſe*, ait, *Aiax, Telamonie, populorum princeps, omnia mea ex ſententia protuliſti.* ita quoque, o Socrates, noſtra ex mente vaticinari videris, ſive ab Euthyphrone fueris inſpiratus, ſive Muſa quaedam tibi pridem inhaerens nunc te protinus concitaverit. *So.*

φίαν, καὶ ἀπιστῶ. δοκεῖ οὖν μοι χρῆναι ἐπανασκέψασθαι τί καὶ λέγω. τὸ γὰρ ἐξαπατᾶσθαι αὐτὸν ὑφ' αὑτοῦ, πάντων χαλεπώτατον. ὅταν γὰρ μηδὲ σμικρὸν ἀποστῇ, ἀλλ' ἀεὶ παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν; δεῖ δὴ, ὡς ἔοικε, σαμὰ μεταστρέφεσθαι ἐπὶ τὰ προειρημένα, καὶ πειρᾶσθαι, τὸ ἐκείνου τοῦ ποιητοῦ, βλέπειν ἅμα πρόσω καὶ ὀπίσω. καὶ δὴ καὶ νῦν
c. ἡμεῖς ἴδωμεν τί ἡμῖν εἴρηται. ὀνόματος, φαμὲν, ὀρθότης ἐστὶν αὕτη ἥτις ἐνδείκνυται οἷόν ἐστι τὸ πρᾶγμα. τοῦτο φῶμεν ἱκανῶς εἰρῆσθαι; ΚΡ. Ἐμοὶ μὲν δοκεῖ πάνυ σφόδρα, ὦ Σώκρατες. ΣΩ. Διδασκαλίας ἄρα ἕνεκα τὰ ὀνόματα λέγεται. ΚΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν φῶμεν καὶ ταύτην τέχνην εἶναι, καὶ δημιουργοὺς αὐτῆς; ΚΡ. Πάνυ γε. ΣΩ. Τίνας; ΚΡ. Οὕσ-
p. περ σὺ κατ' ἀρχὰς ἔλεγες τοὺς νομοθέτας. ΣΩ. Πότερον οὖν
429 καὶ ταύτην φῶμεν τὴν τέχνην ἐν τοῖς ἀνθρώποις ἐγγίγνε-
a. σθαι, ὥσπερ καὶ τὰς ἄλλας, ἢ μή; βούλομαι δὲ λέγειν τὸ τοιόνδε. ζωγράφοι εἰσί που, οἱ μὲν, χείρους, οἱ δὲ, ἀμείνους; ΚΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν οἱ μὲν ἀμείνους τὰ αὐτῶν ἔργα

O vir bone, Cratyle, ego quoque ſapientiam meam iampridem admiror, neque nimis confido. Quare examinandum quid dicam, exiſtimo. Nam a ſeipſo decipi graviſſimum eſt. nimis enim periculoſa res eſt, quum ſeductor abeſt nunquam, ſemperque deceptum proxime comitatur. Oportet itaque ſuperiora frequenter animadvertere, &, ut poëta ille ait, ante illa retroque conſpicere. Atqui & in praeſenti videamus, quid a nobis ſit dictum. Rectam diximus nominis rationem, quae qualis quaeque res ſit, oſtendit. Numquid ſufficienter eſſe dictum aſſerimus? *Crat.* Mihi quidem plane ſic videtur, o Socrates. *So.* Docendi igitur gratia nomina ipſa dicuntur? *Crat.* Prorſus. *So.* An non & artem eſſe hanc dicimus, & ipſius artifices? *Crat.* Maxime. *So.* Quos? *Crat.* Quos a principio tu legum & nominum conditores cognominabas. *So.* Utrum hanc artem ſimiliter atque alias ineſſe hominibus, an aliter arbitramur? id autem eſt quod volo. pictores quidam deteriores ſunt, quidam praeſtantiores? *Crat.* Sunt. *So.* Nonne praeſtantiores

καλλίω παρέχονται, τὰ ζῶα, οἱ δὲ, φαυλότερα; καὶ οἰκοδόμοι ὡσαύτως, οἱ μὲν καλλίους τὰς οἰκίας ἐργάζονται, οἱ δὲ, αἰσχίους; ΚΡ. Ναί. ΣΩ. Ἆρ' οὖν καὶ νομοθέται οἱ μὲν καλλίω τὰ ἔργα αὐτῶν παρέχονται, οἱ δὲ αἰσχίω; ΚΡ. Οὔ μοι δοκεῖ τοῦτο ἔτι. ΣΩ. Οὐκ ἄρα δοκοῦσί σοι νόμοι οἱ μὲν, βελτίους, οἱ δὲ, φαυλότεροι εἶναι; ΚΡ. Οὐ δῆτα. ΣΩ. Οὐδὲ δὴ ὄνομα, ὡς ἔοικε, δοκεῖ σοι κεῖσθαι τὸ μὲν, χεῖρον, τὸ δὲ, ἄμεινον; ΚΡ. Οὐ δῆτα. ΣΩ. Παντα ἄρα τὰ ὀνόματα ὀρθῶς κεῖται. ΚΡ. Ὅσα γε ὀνόματά ἐστι. ΣΩ. Τι οὖν; ὃ καὶ ἄρτι ἐλέγετο Ἑρμογένει τῷδε, πότερον μηδὲ ὄνομα τούτῳ κεῖσθαι φῶμεν, εἰ μή τι αὐτῷ Ἑρμοῦ γενέσεως προσήκει; ἢ κεῖσθαι μὲν, οὐ μέντοι ὀρθῶς γε; ΚΡ. Οὐδὲ κεῖσθαι ἔμοιγε δοκεῖ, ὦ Σώκρατες· ἀλλὰ δοκεῖν μὲν κεῖσθαι, εἶναι δὲ ἑτέρου τοῦτο τὸ ὄνομα, οὗπερ καὶ ἡ φύσις ἡ τὸ ὄνομα δηλοῦσα. ΣΩ. Πότερον οὐδὲ ψεύδεται ὅταν τις φῇ Ἑρμογένη αὐτὸν εἶναι; μὴ γὰρ οὐδὲ τοῦτο αὖ ᾖ τὸ τοῦτον φάναι Ἑρμογένη εἶναι, εἰ

opera ſua pulchriora faciunt, figuras videlicet animalium? ceteri contra? aedificatores quoque ſimiliter partim pulchriores, partim turpiores domos efficiunt? *Crat.* Sic eſt. *So.* Nonne & legum ipſarum auctores partim opera ſua pulchriora, partim turpiora efficiunt? *Crat.* Haud amplius iſtud admitto. *So.* Non ergo leges aliae meliores, deteriores aliae tibi videntur. *Crat.* Non. *So.* Neque etiam nomen, ut apparet, aliud melius, aliud deterius impoſitum arbitraris. *Crat.* Neque iſtud. *So.* Ergo omnia nomina recte impoſita ſunt. *Crat.* Quaecunque videlicet nomina ſunt. *So.* Quid de huius Hermogenis, quod paulo ante dictum eſt, nomine? utrum dicendum, non eſſe illi iſtud impoſitum, niſi quod Ἑρμοῦ γενέσεως, id eſt, Mercurii generationis illi competat? an impoſitum quidem, non tamen recte? *Crat.* Neque impoſitum eſſe, o Socrates, arbitror; ſed videri: eſſe autem alterius cuiusdam nomen, cui natura ineſt, quae nomine continetur. *So.* Utrum neque mentitur, quisquis Hermogenem eſſe eum dicit? neque enim hoc eſt dubitandum, quin eum dicat Hermogenem eſſe, cum non ſit. *Crat.*

μή ἐςι; ΚΡ. Πῶς λέγεις; ΣΩ. Ἆρα ὅτι ψευδῆ λέγειν τοπα-
d. ράπαν οὐκ ἔςιν; ἆρα τοῦτό σοι δύναται ὁ λόγος; συχνοὶ γάρ τινες οἱ λέγοντες, ὦ φίλε Κρατύλε, καὶ νῦν καὶ πάλαι. ΚΡ. Πῶς γὰρ ἄν, ὦ Σώκρατες, λέγων γέ τις τοῦτο ὃ λέγει, μὴ τὸ ὂν λέγοι; ἢ οὐ τοῦτό ἐςι τὸ ψευδῆ λέγειν, τὸ μὴ τὰ ὄντα λέγειν; ΣΩ. Κομψότερος μὲν ὁ λόγος ἢ κατ' ἐμὲ, καὶ κατὰ τὴν ἐμὴν ἡλικίαν, ὦ ἑταῖρε· ὅμως μέντοι εἰπέ μοι τοσόνδε, πότερον λέγειν μὲν οὐ δοκεῖ σοι εἶναι ψευδῆ, φάναι δέ; ΚΡ.
e. Οὔ μοι δοκεῖ οὐδὲ φάναι. ΣΩ. Οὐδὲ εἰπεῖν, οὐδὲ προσειπεῖν; οἷον εἴτις ἀπαντήσας σοι ἐπὶ ξενίας, λαβόμενος τῆς χειρὸς εἴποι, Χαῖρε, ὦ ξένε Ἀθηναῖε, υἱὲ Σμικρίωνος Ἑρμόγενες· οὗτος λέξειεν ἂν ταῦτα, ἢ φαίη ἂν ταῦτα, ἢ εἴποι ἂν ταῦτα; ἢ προσείποι ἂν οὕτω σὲ μὲν οὔ, Ἑρμογένη δὲ τόνδε; ἢ οὐδένα; ΚΡ. Ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες, ἄλλως ἂν οὗτος ταῦτα φθέγξασθαι. ΣΩ. Ἀλλ' ἀγαπητὸν καὶ τοῦτο. πότε-
p. ρον γὰρ ἀληθῆ ἂν φθέγξαιτο ταῦτα ὁ φθεγξάμενος, ἢ
430 a. ψευδῆ; ἢ τὸ μέν τι αὐτῶν, ἀληθὲς, τὸ δὲ, ψεῦδος; καὶ γὰρ

Qua ratione id ais? *So.* Numquid ex eo, quod non datur dicere falsa, sermo tuus constat, & circa id versatur? permulti nempe, o amice Cratyle, & nunc praedicant, & quondam asseruerunt. *Crat.* Quo pacto, o Socrates, dum dicit quis quod dicit, quod non est dixerit? an non hoc est falsa dicere, quae non sunt dicere? *So.* Exquisitior est hic sermo, amice, quam conditio mea & aetas exigat. attamen mihi dicas, utrum loqui falsa non posse aliquis tibi videtur, fari autem posse? *Crat.* Neque fari. *So.* Ac etiam neque dicere, neque appellare, salutareque? quemadmodum si quis tibi obvius hospitalitatis iure manu te prehendens, dicat, Salve, hospes Athenienſis, Smicrionis fili, Hermogenes: ille loqueretur ista, vel fari diceretur, vel diceret, vel salutaret, appellaretque ita, non te quidem, sed hunc Hermogenem? aut nullum? *Crat.* Videtur mihi, o Socrates, incassum haec iste vociferare. *So.* Sat habeo. Utrum vero qui ita clamat, vera vociferat, an falsa? an partim vera, partim falsa? nam hoc quoque sufficiet. *Crat.* Sonare hunc

ἂν καὶ τοῦτο ἐξαρκοίη. ΚΡ. Ψοφεῖν ἔγωγ' ἄν φαίην τὸν τοιοῦτον, μάτην αὐτὸν ἑαυτὸν κινοῦντα, ὥσπερ ἂν εἴτις χαλκεῖον κινήσειε κρούσας. ΣΩ. Φέρε δή, ἐάν πη διαλλαχθῶμεν, ὦ Κρατύλε, ἆρ' οὐκ ἄλλο μὲν ἂν φαίης τὸ ὄνομα εἶναι, ἄλλο δὲ, ἐκεῖνο οὗ τὸ ὄνομά ἐστιν; ΚΡ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ τὸ ὄνομα ὁμολογεῖς μίμημά τι εἶναι τοῦ πράγματος; ΚΡ. Πάντων μαλιστα. ΣΩ. Οὐκοῦν καὶ τὰ ζωγραφήματα b. τρόπον τινὰ ἄλλον λέγεις μιμήματα εἶναι πραγμάτων τινῶν; ΚΡ. Ναί. ΣΩ. Φέρε δή. ἴσως γὰρ ἐγὼ οὐ μανθάνω ἅττα ποτ' ἐστὶν ἃ λέγεις· σὺ δὲ τάχ' ἂν ὀρθῶς λέγοις. ἔστι διανείμαι καὶ προσενεγκεῖν ταῦτα ἀμφότερα τὰ μιμήματα, τάτε ζωγραφήματα, κἀκεῖνα τὰ ὀνόματα, τοῖς πράγμασιν ὧν μιμήματά ἐστιν; ἢ οὔ; ΚΡ. Ἔστι. ΣΩ. Πρῶτον μὲν δὴ σκόπει τόδε. ἆρ' ἄν τις τὴν μὲν τοῦ ἀνδρὸς εἰκόνα τῷ ἀνδρὶ ἀπο- c. δοίη, τὴν δὲ τῆς γυναικὸς, τῇ γυναικί; καὶ τἆλλα οὕτως; ΚΡ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν καὶ τοὐναντίον, τὴν μὲν τοῦ ἀνδρὸς τῇ γυναικὶ, τὴν δὲ τῆς γυναικὸς, τῷ ἀνδρί; ΚΡ. Ἔστι καὶ ταῦτα. ΣΩ. Ἆρ' οὖν αὗται αἱ διανομαὶ, ἀμφότεραι ὀρθαί; ἢ ἡ ἑτέρα; ΚΡ. Ἡ ἑτέρα. ΣΩ. Ἢ ἂν ἐκάςῳ, οἶμαι,

ego dicam, seipsum frustra moventem, ceu si quis aera pulset. *So.* Animadverte, Cratyle, utrum quoquo modo conveniamus. nonne aliud nomen, aliud cuius nomen est, esse dicis? *Crat.* Equidem. *So.* Et nomen rei ipsius imitationem quandam esse fateris? *Crat.* Maxime omnium. *So.* Et picturas alio quodam modo rerum quarundam imitationes? *Crat.* Certe. *So.* Age vero, forte ego quid dicas, non satis intelligo: tu autem forsitan recte loqueris. Possumus has imitationes utrasque, & picturas & nomina, rebus his quarum imitationes sunt, attribuere, necne? *Crat.* Possumus. *So.* Adverte hoc in primis. numquid possit aliquis viri imaginem viro, & mulieri mulieris tribuere, & in aliis eodem pacto? *Crat.* Sic certe. *So.* Num & contra, viri imaginem mulieri, & mulieris viro? *Crat.* Et hoc. *So.* An utraeque distributiones huiusmodi rectae sunt? vel potius altera, quae cuique proprium simileque attribuit?

τὸ προσῆκόν τε καὶ τὸ ὅμοιον ἀποδιδῷ. ΚΡ. Ἔμοιγε δοκεῖ. ΣΩ. Ἵνα τοίνυν μὴ μαχώμεθα ἐν τοῖς λόγοις ἐγώ τε καὶ σύ,
d. φίλοι ὄντες, ἀπόδεξαί μου ὃ λέγω. τὴν τοιαύτην γὰρ, ὦ ἑταῖρε, καλῶ ἐγωγε διανομὴν, ἐπ' ἀμφοτέροις μὲν τοῖς μιμήμασι τοῖς τε ζώοις καὶ τοῖς ὀνόμασιν ὀρθὴν, ἐπὶ δὲ τοῖς ὀνόμασι, πρὸς τῷ ὀρθὴν καὶ ἀληθῆ· τὴν δ' ἑτέραν, τὴν τοῦ ἀνομοίου δόσιν τε καὶ ἐπιφορὰν, οὐκ ὀρθὴν, καὶ ψευδῆ, ὅταν ἐπ' ὀνόμασιν ᾖ. ΚΡ. Ἀλλ' ὅμως μὴ, ὦ Σώκρατες, ἐν μὲν
e. τοῖς ζωγραφήμασιν ᾖ τοῦτο, τὸ μὴ ὀρθῶς διανέμειν, ἐπὶ δὲ τοῖς ὀνόμασιν, οὔ· ἀλλ' ἀναγκαῖον ᾖ ἀεὶ ὀρθῶς. ΣΩ. Πῶς λέγεις; τί τοῦτο ἐκείνου διαφέρει; ἆρ' οὐκ ἔστι προσελθόντα ἀνδρί τῳ, εἰπεῖν ὅτι τουτὶ σόν ἐστι γράμμα, καὶ δεῖξαι αὐτῷ, ἂν μὲν τύχῃ, ἐκείνου εἰκόνα, ἂν δὲ τύχῃ. γυναικός; τὸ δὲ δεῖξαι λέγω εἰς τὴν τῶν ὀφθαλμῶν αἴσθησιν καταξῆσαι. ΚΡ. Πάνυ γε. ΣΩ. Τί δέ; πάλιν αὐτῷ τούτῳ προσελθόντα, εἰπεῖν ὅτι τουτί ἐστι σὸν ὄνομα. ἔστι δέ που καὶ τὸ ὄνομα, μίμημα, ὥσπερ τὸ ζωγράφημα. τοῦτο δὴ λέγω· ἆρ' οὐκ ἂν
p. εἴη αὐτῷ εἰπεῖν ὅτι τουτί ἐστι σὸν ὄνομα; καὶ μετὰ τοῦτο εἰς
431
a.

Crat. Mihi quidem videtur. *So.* Ne igitur ego ac tu, cum simus amici, in verbis pugnemus, adverte quod dico. Talem ego, o amice, distributionem in imitationibus utrisque, tam nominibus quam picturis, rectam voco: & in nominibus non rectam modo, sed veram. Alteram vero dissimilis ipsius tributionem illationemque non rectam, & in nominibus praeterea falsam. *Crat.* At vide, o Socrates, ne forte in picturis dumtaxat id contingere possit, ut quis male dispertiat: in nominibus autem minime, sed necessarium sit recte semper adscribere. *So.* Quid ais? quo ab illo hoc differt? nonne fieri potest, ut cuipiam viro quis obvius dicat, Haec tua figura est: ostendatque illi forte viri illius figuram, forte etiam mulieris? at ostendere dico, sensibus oculorum offerre. *Crat.* Certe. *So.* Nonne iterum, ut eidem factus obviam dicat, Nomen id tuum est? imitatio quippe aliqua nomen est, quemadmodum & figura. Dico autem ita: nonne licebit illi dicere, Nomen hoc tuum est?

τὴν τῆς ἀκοῆς αὖ αἴσθησιν καταχῆσαι, ἂν μὲν τύχῃ, τὸ ἐκείνου μίμημα, εἰπόντα ὅτι ἀνήρ· ἂν δὲ τύχῃ, τὸ τοῦ θήλεος τοῦ ἀνθρωπίνου γένους, εἰπόντα ὅτι γυνή; οὐ δοκεῖ σοι τοῦτο οἷόντ' εἶναι καὶ γίγνεσθαι ἐνίοτε; ΚΡ. Ἐθέλω σοι, ὦ Σώκρατες, συγχωρῆσαι· καὶ ἔχω οὕτω. ΣΩ. Καλῶς γε σὺ ποιῶν, ὦ φίλε, εἰ ἔχειν τοῦτο οὕτως ἔχον. οὐδὲ γὰρ δεῖ νῦν πάνυ διαμάχεσθαι περὶ αὐτοῦ. εἰ δ' οὖν ἐστι τοιαύτη τις διανομὴ καὶ ἐνταῦθα, τὸ μὲν ἕτερον τούτων, ἀληθεύειν βουλόμεθα καλεῖν, b.
τὸ δ' ἕτερον, ψεύδεσθαι. εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ ἔστι μὴ ὀρθῶς διανέμειν τὰ ὀνόματα, μηδὲ ἀποδιδόναι τὰ προσήκοντα ἑκάστῳ, ἀλλ' ἐνίοτε τὰ μὴ προσήκοντα, εἴη ἂν καὶ ῥήματα ταυτὸν τοῦτο ποιεῖν. εἰ δὲ ῥήματα καὶ ὀνόματα ἐστὶν οὕτω τιθέναι, ἀνάγκη καὶ λόγους. λόγοι γάρ που, ὡς ἐγῷμαι, ἡ τούτων σύνθεσις ἐστίν. ἢ πῶς λέγεις, ὦ Κρατύλε; ΚΡ. Οὕτω. c.
καλῶς γάρ μοι δοκεῖς λέγειν. ΣΩ. Οὐκοῦν εἰ γράμμασιν αὖ τὰ πρῶτα ὀνόματα ἀπεικάζομεν, ἔστιν ὥσπερ ἐν τοῖς ζωγραφήμασι καὶ πάντα τὰ προσήκοντα χρώματά τε καὶ σχή-

deinde in aurem idem infundere, forte eius imitationem dicendo quod vir est, forte vero feminae cuiusdam generis humani imitationem, dicendo, quod mulier? nonne videtur tibi hoc aliquando fieri posse? *Crat.* Concedere tibi volo, o Socrates. sic esto. *So.* Recte facis, amice, si quidem id ita se habet. neque enim nunc ea de re magnopere decertandum est. Si igitur in his huiusmodi quaedam partitio fit, alterum vera loqui, alterum loqui falsa vocamus. Si hoc accidit, & possumus non recte nomina distribuere, & quae non propria sunt cuique reddere: similiter in verbis aberrare licebit. Sin autem verba nominaque ita congerere datur, necesse est & orationes similiter. oratio quippe, ut arbitror, est verborum & nominum compositio. Quid ad ista, Cratyle? *Crat.* Quod & tu. probe namque loqui videris. *So.* Quin etiam, si prima nomina ad literas ipsas quadam imitatione referimus, contingere potest in his, quemadmodum in picturis, in quibus accidit, ut congruas omnes figuras coloresque adhibeamus: itemque, ut non

ματα ἀποδοῦναι· καὶ μὴ πάντα αὖ, ἀλλ' ἔνια ἐλλείπειν, ἔνια δὲ καὶ προστιθέναι, καὶ πλείω καὶ μείζω. ἢ οὐκ ἔστι; ΚΡ. Ἔστιν. ΣΩ. Οὐκοῦν ὁ μὲν ἀποδιδοὺς πάντα καλὰ τὰ γράμματά τε καὶ τὰς εἰκόνας ἀποδιδωσιν· ὁ δὲ ἢ προστιθεὶς, ἢ ἀφαιρῶν, γράμματα μὲν καὶ εἰκόνας ἐργάζεται καὶ οὗτος,
d. ἀλλὰ πονηράς. ΚΡ. Ναί. ΣΩ. Τί δαί; ὁ διὰ τῶν συλλαβῶν τε καὶ γραμμάτων τὴν οὐσίαν τῶν πραγμάτων ἀπομιμούμενος, ἆρα οὐ κατὰ τὸν αὐτὸν λόγον, ἂν μὲν πάντα ἀποδῷ τὰ προσήκοντα, καλὴ ἡ εἰκὼν ἔσαι; (τοῦτο δ' ἔστιν ὄνομα) ἐὰν δὲ σμικρὰ ἐλλείπῃ ἢ προστιθῇ ἐνίοτε, εἰκὼν μὲν γενήσεται, καλὴ δὲ οὔ; ὥστε τὰ μὲν καλῶς εἰργασμένα ἔσαι τῶν ὀνομάτων, τὰ δὲ, κακῶς; ΚΡ. Ἴσως. ΣΩ. Ἴσως ἄρα ἔσαι
e. ὁ μὲν, ἀγαθὸς δημιουργὸς ὀνομάτων, ὁ δὲ, κακός; ΚΡ. Ναί. ΣΩ. Οὐκοῦν τούτῳ νομοθέτης ἦν ὄνομα. ΚΡ. Ναί. ΣΩ. Ἴσως ἄρα νὴ Δί' ἔσαι, ὥσπερ ἐν ταῖς ἄλλαις τέχναις, καὶ ὁ νομοθέτης ὁ μὲν, ἀγαθὸς, ὁ δὲ, κακός· ἐάνπερ τὰ ἔμπροσθεν ἐκεῖνα ὁμολογηθῇ ἡμῖν. ΚΡ. Ἔστι ταῦτα. ἀλλ' ὁρᾷς, ὦ Σώκρατες,

omnes; sed partim superaddamus, partim subtrahamus, pluraque & pauciora exhibeamus. nonne fieri hoc potest? *Crat.* Procul dubio. *So.* Qui igitur convenientia omnia tribuit, pulchras literas & imagines reddit. qui vero addit, vel aufert, literas quidem ac imagines & ipse facit, sed malas. *Crat.* Nempe. *So.* Qui autem per literas ac syllabas rerum essentiam imitatur, nonne eadem ratione, si competentia omnia tribuit, pulchram imaginem efficit? (id autem nomen existit) sin autem in paucis deficiat, vel interdum excedat, imago quidem efficietur, sed non pulchra? Quamobrem nomina quaedam bene instituta erunt, quaedam contra. *Crat.* Forte. *So.* Forsitan ergo nominum hic bonus erit artifex, ille malus. *Crat.* Profecto. *So.* Nonne huic nomen erat nominum conditor? *Crat.* Plane. *So.* Erit itaque in hoc, quemadmodum in ceteris artibus, conditor nominum bonus unus, alius vero non bonus, si modo superiora illa inter nos constant. *Crat.* Vera haec sunt. Verum cernis, o Socrates, quoties has literas α & β, &

ὅταν ταῦτα τὰ γράμματα τό, τε α καὶ τὸ β, καὶ ἓν ἕκαστον τῶν στοιχείων, τοῖς ὀνόμασιν ἀποδιδῶμεν τῇ γραμματικῇ τέχνῃ, ἐάν τι ἀφέλωμεν, ἢ προσθῶμεν, ἢ μεταθῶμέν τι, γέγραπται μὲν ἡμῖν τὸ ὄνομα, οὐ μέντοι ὀρθῶς, ἀλλὰ τοπαράπαν οὐδὲ γέγραπται· ἀλλ' εὐθὺς ἕτερόν ἐστιν, ἐάν τι τούτων πάθῃ. ΣΩ. Μὴ γὰρ οὐ καλῶς σκοπῶμεν, οὕτω σκοποῦντες, ὦ Κρατύλε. ΚΡ. Πῶς δή; ΣΩ. Ἴσως ὅσα ἔκ τινος ἀριθμοῦ ἀναγκαῖον εἶναι, ἢ μὴ εἶναι, πάσχοι ἂν τοῦτο ὃ σὺ λέγεις· ὥσπερ καὶ αὐτὰ τὰ δέκα, ἢ ὅστις βούλει ἄλλος ἀριθμὸς, ἐὰν ἀφέλῃς τι, ἢ προσθῇς, ἕτερος εὐθὺς γέγονε. τοῦ δὲ ποιοῦ τινος καὶ ξυμπάσης εἰκόνος μὴ οὐχ αὕτη ἡ ὀρθότης· ἀλλὰ τὸ ἐναντίον, οὐδὲ τοπαράπαν δεῖ πάντα ἀποδοῦναι, οἷόν ἐστιν ὃ εἰκάζει, εἰ μέλλει εἰκὼν εἶναι. σκόπει δὲ εἴτι λέγω. ἆρ' ἂν δύο πράγματα εἴη τάδε, οἷον Κρατύλος καὶ Κρατύλου εἰκών, εἴτις θεῶν μὴ μόνον τὸ σὸν χρῶμα καὶ σχῆμα ἀπεικάσειεν, ὥσπερ οἱ ζωγράφοι, ἀλλὰ καὶ τὰ ἐντὸς πάντα τοιαῦτα ποιήσειεν οἷαπερ τὰ σὰ, καὶ μαλακότητας καὶ θερμότητας τὰς p. 432 a.

quodvis elementorum, nominibus per artem grammaticam attribuimus, si quid auferimus, vel addimus, vel etiam transponimus, quod nomen quidem scribimus, non tamen recte, immo vero id nullo modo scribimus: quin potius statim aliud quiddam est, cum primum horum aliquid patitur. *So.* Videndum, Cratyle, ne forte minus recte hoc pacto consideremus. *Crat.* Quo pacto? *So.* Fortassis quaecunque aliquo ex numero constare, vel non constare necesse est, id quod ais perpetiuntur: quemadmodum decem, aut quivis alius numerus. nam quilibet numerus, quocunque addito vel ablato, alius statim efficitur. Forte vero qualitatis cuiuslibet & imaginis haud eadem in rectitudine ratio est, sed diversa. neque enim omnia imago habere debet, quaecunque illud cuius imago est, si modo est imago futura. Animadverte, num aliquid dicam. An duo quaedam haec erunt, Cratylus videlicet, & ipsius imago, si quis deorum non modo colorem tuum figuramque expresserit, ut pictores solent, sed interiora quoque omnia similia tuis effe-

c. αὐτὰς ἀποδοίη, καὶ κίνησιν, καὶ ψυχὴν, καὶ φρόνησιν, οἷα-
περ ἡ παρά σοι, ἐνθείη αὐτῇ· καὶ, ἐνὶ λόγῳ, πάντα ἅπερ σὺ
ἔχεις, τοιαῦτα ἕτερα καταςήσειε πλησίον σου, πότερον Κρα-
τύλος ἂν καὶ εἰκὼν Κρατύλου τότ' εἴη τὸ τοιοῦτον, ἢ δύο
Κρατύλοι; ΚΡ. Δύο ἔμοιγε δοκοῦσιν, ὦ Σώκρατες, Κρατύ-
λοι. ΣΩ. Ὁρᾷς οὖν, ὦ φίλε, ὅτι ἄλλην χρὴ εἰκόνος ὀρθότητα
καὶ ζητεῖν ὧν νῦν δὴ ἐλέγομεν, καὶ οὐκ ἀναγκάζειν, ἐάν τι
ἀπῇ ἢ προσῇ, μηκέτι αὐτὴν εἰκόνα εἶναι; ἢ οὐκ αἰσθάνῃ ὅσου
d. ἐνδέουσιν αἱ εἰκόνες τὰ αὐτὰ ἔχειν ἐκείνοις ὧν εἰκόνες εἰσί;
ΚΡ. Ἔγωγε. ΣΩ. Γελοῖα γοῦν, ὦ Κρατύλε, ὑπὸ τῶν ὀνο-
μάτων πάθοι ἂν ἐκεῖνα ὧν ὀνόματα ἐςὶ τὰ ὀνόματα, εἰ
πάντα πανταχῇ αὐτοῖς ὁμοιωθείη. διττὰ γὰρ ἄν που πάν-
τα γένοιτο, καὶ οὐκ ἂν ἔχοι αὐτῶν εἰπεῖν οὐδέτερον, ὁπότε-
ρόν ἐςι, τὸ μὲν, αὐτὸ, τὸ δὲ, ὄνομα. ΚΡ. Ἀληθῆ λέγεις.
ΣΩ. Θαῤῥῶν τοίνυν, ὦ γενναῖε, ἔα καὶ ὄνομα, τὸ μὲν, εὖ
e. κεῖσθαι, τὸ δὲ, μή· καὶ μὴ ἀνάγκαζε πάντ' ἔχειν τὰ γράμ-
ματα, ἵνα κομιδῇ ᾖ τοιοῦτον οἷόνπερ οὗ ὄνομά ἐςιν· ἀλλ' ἔα

cerit, mollitiem eandem, caloremque, motum, animam, ſa-
pientiam, &, ut brevi complectar, talia prorſus effinxerit om-
nia, qualia tibi inſunt? Utrum, inquam, alterum iſtorum Cra-
tylus erit, alterum Cratyli ipſius imago? an Cratyli potius
gemini? *Crat.* Cratyli, o Socrates, ut arbitror, duo. *So.* Cer-
nis, amice, aliam imaginis rectitudinem eſſe quaerendam, quam
illorum quae paulo ante diximus: neque cogendum eſſe, ſi quid
vel additum, vel ablatum fuerit, ut non amplius ſit imago?
an non ſentis quantum deeſt imaginibus, ut eadem habeant
quae & illa quorum imagines ſunt? *Crat.* Equidem. *So.* Ridi-
culum aliquid, Cratyle, ex nominibus contingeret his quorum
nomina ſunt, ſi prorſus illis ſimilia redderentur. gemina quippe
omnia fierent, neutrumque illorum utrum eſſet potius dici
poſſet, resne ipſa an nomen. *Crat.* Vera loqueris. *So.* Ingenue
itaque fatearis, o vir generoſe, nominum aliud bene, aliud
contra poſitum eſſe: neque cogas omnes literas continere,
adeo ut penitus tale ſit, quale id cuius eſt nomen: ſed permitte

καὶ τὸ μὴ προσῆκον γράμμα ἐπιφέρειν. εἰ δὲ γράμμα, καὶ ὄνομα ἐν λόγῳ· εἰ δὲ ὄνομα, καὶ λόγον ἐν λόγῳ μὴ προσήκοντα τοῖς πράγμασιν ἐπιφέρεσθαι, καὶ μηδὲν ἧττον ὀνομάζεσθαι τὸ πρᾶγμα καὶ λέγεσθαι, ἕως ἂν ὁ τύπος ἐνῇ τοῦ πράγματος περὶ οὗ ἂν ὁ λόγος ᾖ· ὥσπερ ἐν τοῖς τῶν στοιχείων ὀνόμασιν· εἰ μέμνησαι ἃ νῦν δὴ ἐγὼ καὶ Ἑρμογένης ἐλέγομεν. P. 433 a.
ΚΡ. Ἀλλὰ μέμνημαι. ΣΩ. Καλῶς τοίνυν. ὅταν γὰρ τοῦτο ἐνῇ, κἂν μὴ πάντα τὰ προσήκοντα ἔχῃ, λελέξεταί γε τὸ πρᾶγμα καλῶς, ὅταν πάντα, κακῶς δὲ, ὅταν ὀλίγα. λέγεσθαι δ' οὖν, ὦ μακάριε, ἐῶμεν, ἵνα μὴ ὄφλωμεν, ὥσπερ οἱ ἐν Αἰγίνῃ νύκτωρ περιϊόντες ὀψὲ ὁδοῦ, καὶ ἡμεῖς ἐπὶ τὰ πράγματα δόξωμεν αὐτῇ τῇ ἀληθείᾳ οὕτω πως ἐληλυθέναι ὀψιαίτερον τοῦ δέοντος. ἢ ζήτει τιν' ἄλλην ὀνόματος ὀρθότητα, καὶ b.
μὴ ὁμολόγει, δήλωμα συλλαβαῖς καὶ γράμμασι, πράγματος ὄνομα εἶναι. εἰ γὰρ ταῦτα ἀμφότερα ἐρεῖς, οὐχ οἵόστ' ἔσῃ συμφωνεῖν σαυτῷ. ΚΡ. Ἀλλά μοι δοκεῖς γε, ὦ Σώκρατες, μετρίως λέγειν· καὶ οὕτω τίθεμαι. ΣΩ. Ἐπειδὴ τοίνυν

literam quoque minus congruam afferri quandoque: si literam, & nomen similiter in sermone: si in sermone nomen, sermonem insuper nequaquam convenientem rebus tribui, & rem ipsam nihilominus nominari dicique, quoad rei ipsius, cuius sermo est, figura insit: quemadmodum in elementorum nominibus, quae nuper ego & Hermogenes commemoravimus, si recordaris. *Crat.* Recordor equidem. *So.* Bene hercle. Igitur quandocunque hoc inerit, quamvis non omnia convenientia prorsus adsint, dicetur bene quidem, cum omnia: male vero, cum pauca. Dici itaque, o beate, sinamus: ne quemadmodum qui in Aegina noctu circumvagantur, sero iter peragunt, ita & nos hoc pacto ad res ipsas revera serius quam deceat, perveniisse videamur. vel saltem aliam quandam exquiras nominis rationem: neque confitearis, declarationem rei literis ac syllabis factam, nomen esse. si enim ambo haec dixeris, tibi ipse constare & consentire non poteris. *Crat.* Videris mihi probe loqui, o Socrates; atque ita pono. *So.* Postquam de his

ταῦτα ἡμῖν ξυνδοκεῖ, μετὰ ταῦτα δὴ σκοπῶμεν. εἰ μέλλει, φαμὲν, κεῖσθαι καλῶς τὸ ὄνομα, τὰ προσήκοντα δεῖ αὐτῷ
c. γράμματα ἔχειν. ΚΡ. Ναί. ΣΩ. Προσήκει δὲ τὰ ὅμοια τοῖς πράγμασι. ΚΡ. Πάνυ γε. ΣΩ. Τὰ μὲν ἄρα καλῶς κείμενα, οὕτω κεῖται· εἰ δὲ μή τι καλῶς ἐτέθη, τὸ μὲν πολὺ ἴσως ἐκ προσηκόντων ἂν εἴη γραμμάτων, καὶ ὁμοίων, εἴπερ ἔσαι εἰκών· ἔχοι δ' ἄν τι καὶ οὐ προσῆκον, δι' ὃ οὐκ ἂν καλὸν εἴη οὐδὲ καλῶς εἰργασμένον τὸ ὄνομα. οὕτω φαμὲν, ἢ ἄλλως; ΚΡ. Οὐδὲν δεῖ, οἶμαι, διαμάχεσθαι, ὦ Σώκρατες· ἐπεὶ οὐκ ἀρέσκει γέ με τὸ φάναι ὄνομα μὲν εἶναι, μὴ μέντοι καλῶς
d. γε κεῖσθαι. ΣΩ. Πότερον τοῦτο οὐκ ἀρέσκει σε, τὸ εἶναι τὸ ὄνομα δήλωμα τοῦ πράγματος; ΚΡ. Ἔμοιγε. ΣΩ. Ἀλλὰ τὸ εἶναι τῶν ὀνομάτων τὰ μὲν, ἐκ προτέρων συγκείμενα, τὰ δὲ, πρῶτα, οὐ καλῶς σοι δοκεῖ λέγεσθαι; ΚΡ. Ἔμοιγε. ΣΩ. Ἀλλὰ τὰ πρῶτα εἰ μέλλει δηλώματα τινῶν γίγνεσθαι, ἔχεις τινὰ καλλίω τρόπον τοῦ δηλώματα αὐτὰ γενέσθαι ἄλλων, ἢ αὐτὰ ποιῆσαι ὁτιμάλιζα τοιαῦτα οἷα ἐκεῖνα ἃ δεῖ

consentimus, quod reſtat, diſcutiamus. Si bene nomen poſitum eſſe debet, oportere diximus literas ſibi convenientes ineſſe. *Crat.* Plane. *So.* Convenit autem ut literae rerum ſimiles inſint. *Crat.* Omnino. *So.* Quae igitur recte ſunt poſita, ita poſita ſunt. Si quid autem non recte poſitum eſt, ut plurimum quidem ex convenientibus ſimilibusque literis conſtat, ſi quidem imago eſt: habet autem & aliquid non conveniens, propter quod non rectum eſt, neque recte nomen eſt inſtitutum. ſicne, an aliter, dicimus? *Crat.* Nihil eſt, o Socrates, ut arbitror, contendendum: neque enim mihi placet, ut nomen quidem eſſe dicatur, non tamen recte poſitum. *So.* Utrum hoc tibi non placet, quod nomen rei ipſius declaratio ſit? *Crat.* Placet. *So.* At vero nomina partim ex primis conſtituta eſſe, partim eſſe prima, non probe dictum putas? *Crat.* Probe. *So.* Enimvero prima ſi quorundam declarationes eſſe debent, habesne modum commodiorem quo id fiat, quam ſi talia fiant, qualia illa ſunt quae declarari volumus? an modus iſte

δηλοῦν αὐτά; ἢ ὅδε μᾶλλον σὲ ἀρέσκει ὁ τρόπος ὃν Ἑρμο- e.
γένης λέγει, καὶ ἄλλοι πολλοί, τὸ συνθήματα εἶναι τὰ ὀνό-
ματα, καὶ δηλοῦν τοῖς συνθεμένοις, προειδόσι δὲ, τὰ πράγ-
ματα· καὶ εἶναι ταύτην ὀρθότητα ὀνόματος, συνθήκην; δια-
φέρειν δὲ οὐδὲν, ἐὰν τέ τις συνθῆται ὥσπερ νῦν σύγκειται,
ἐάν τε καὶ τοὐναντίον; ἐπὶ μὲν ο νῦν σμικρὸν, μέγα καλεῖν,
ἐπὶ δὲ ω μέγα, σμικρόν; πότερος σὲ ὁ τρόπος ἀρέσκει; ΚΡ.
Ὅλῳ καὶ παντὶ διαφέρει, ὦ Σώκρατες, τὸ ὁμοιώματι δηλοῦν p.
ὅ, τι ἂν τις δηλοῖ, ἀλλὰ μὴ τῷ ἐπιτυχόντι. ΣΩ. Καλῶς 434
λέγεις. οὐκοῦν, εἴπερ ἔσαι τὸ ὄνομα ὅμοιον τῷ πράγματι, a.
ἀναγκαῖον πεφυκέναι τὰ στοιχεῖα ὅμοια τοῖς πράγμασιν, ἐξ
ὧν τὰ πρῶτα ὀνόματα τίς συνθήσει. ὧδε δὲ λέγω· ἆρά ποτ'
ἂν τις συνέθηκεν ὃ νῦν δὴ ἐλέγομεν ζωγράφημα ὅμοιόν τῳ
τῶν ὄντων, εἰ μὴ φύσει ὑπῆρχε φάρμακα ὅμοια ὄντα, ἐξ ὧν
συντίθεται τὰ ζωγραφούμενα, ἐκείνοις ἃ μιμεῖται ἡ γρα- b.
φική; ἢ ἀδύνατον; ΚΡ. Ἀδύνατον. ΣΩ. Οὐκοῦν ὡσαύτως
καὶ ὀνόματα οὐκ ἄν ποτε ὅμοια γένοιτο οὐδενὶ, εἰ μὴ ὑπάρξει

potius tibi placet, quem Hermogenes aliique plurimi tradunt, quod videlicet nomina conventiones quaedam sint & declarationes, significationesque, iis qui ita constituerunt, ac res ipsas praecognovere; rectaque nominis ratio in conventione consistat: neque interest, utrum quis ita ut nunc statutum est decernat, an contra: ut videlicet o, quod nunc o parvum vocatur, ω magnum cognominetur; ω vero quod modo ω magnum, o parvum dicatur? uter istorum magis tibi modus placet? *Crat.* Praestat omnino, o Socrates, similitudine referre quod quis ostendere vult, quam quovis alio. *So.* Scite loqueris. Nonne, si nomen rei simile est, necesse est elementa ex quibus prima nomina componuntur, natura ipsa rebus esse similia. Sic autem dico: an aliquis quandoque picturam, quam supra diximus, rei cuiusquam similem effinxisset, nisi colores ipsi quibus constat imago, essent natura rei illius similes, quam pictoris studium imitatur? an non impossibile? *Crat.* Impossibile plane. *So.* Eadem ratione nomina ipsa nunquam ali-

ἐκεῖνα πρῶτον ὁμοιότητά τινα ἔχοντα, ἐξ ὧν συντέθειται τὰ ὀνόματα, ἐκείνοις ὧν ἐστι τὰ ὀνόματα μιμήματα. ἔστι δὲ, ἐξ ὧν συνθετέον, στοιχεῖα; ΚΡ. Ναί. ΣΩ. Ἤδη τοίνυν καὶ σὺ κοινώνει τοῦ λόγου οὗπερ ἄρτι Ἑρμογένης. φέρε, καλῶς σοὶ δοκοῦμεν λέγειν ὅτι τὸ ρ τῇ φορᾷ καὶ κινήσει καὶ σκληρότητι
c. προσέοικεν; ἢ οὐ καλῶς; ΚΡ. Καλῶς ἔμοιγε. ΣΩ. Τὸ δὲ λ τῷ λείῳ καὶ μαλακῷ, καὶ οἷς νῦν δὴ ἐλέγομεν; ΚΡ. Ναί. ΣΩ. Οἶσθα οὖν ὅτι ἐπὶ τὸ αὐτὸ ἡμεῖς μὲν φαμὲν σκληρότης, Ἐρετριεῖς δὲ, σκληροτήρ; ΚΡ. Πάνυ γε. ΣΩ. Πότερον οὖν τό, τε ρ καὶ τὸ σ ἔοικεν ἀμφότερα τῷ αὐτῷ, καὶ δηλοῖ ἐκείνοις τε τὸ αὐτὸ, τελευτῶντος τοῦ ρ, καὶ ἡμῖν τοῦ σ· ἢ τοῖς ἑτέροις ἡμῶν οὐ δηλοῖ; ΚΡ. Δηλοῖ μὲν οὖν ἀμφοτέροις. ΣΩ.
d. Πότερον ἢ ὅμοια τυγχάνει ὄντα τὸ ρ καὶ τὸ σ, ἢ ἢ μή; ΚΡ. Ἡ ὅμοια. ΣΩ. Ἡ οὖν ὁμοιά ἐστι πανταχῇ; ΚΡ. Πρός γε ἴσως τὸ φορὰν δηλοῦν. ΣΩ. Ἢ καὶ τὸ λ ἐγκείμενον οὐ τὸ ἐναντίον δηλοῖ σκληρότητος; ΣΩ. Ἴσως γὰρ οὐκ ὀρθῶς

cuius similia fierent, nisi illa quibus nomina componuntur, similitudinem aliquam haberent earum rerum, quarum nomina imitationes sunt. Ea vero quibus constant nomina, elementa sunt. *Crat.* Sane. *So.* Iam tu sermonis eius esto particeps, cuius paulo ante Hermogenes. An recte dicere tibi visi sumus, quod ipsum ρ lationi, motui, asperitati congruit? *Crat.* Recte mihi quidem. *So.* Ipsum autem λ laevi & molli, & ceteris quae narravimus? *Crat.* Profecto. *So.* Scisne quod idem, id est, asperitas ipsa nobis quidem σκληρότης vocatur, Eretrienſibus vero σκληροτήρ? *Crat.* Utique. *So.* Utrum ambo haec ρ & σ, eidem similia videntur, idemque ostendunt tam illis per ipsius ρ terminationem, quam nobis per σ: vel alteris nostrum nihil declarant? *Crat.* Utrisque plane demonstrant. *So.* Utrum quatenus similia sunt ρ & σ, vel quatenus dissimilia? *Crat.* Quatenus similia. *So.* Numquid penitus similia sunt? *Crat.* Ad lationem quidem aeque significandam. *So.* Quin & ipsum λ iniectum, cur non contrarium asperitatis ipsius significat? *Crat.* Forte non recte iniectum est, o Socrates, quemadmodum ea

ἔγκειται, ὦ Σώκρατες, ὥσπερ καὶ ἃ νῦν δὴ σὺ πρὸς Ἑρμογένη ἔλεγες, ἐξαίρων τε καὶ ἐντιθεὶς γράμματα οὗ δέοι καὶ ὀρθῶς ἐδόκεις ἔμοιγε. καὶ νῦν ἴσως ἀντὶ τοῦ λ, ρ δεῖ λέγειν. ΣΩ. Εὖ λέγεις. τί οὖν νῦν, ὡς ἐλέγομεν, οὐδὲν μανθάνομεν ἀλλήλων, ἐπειδάν τις φῇ σκληρόν; οὐδὲ οἶσθα σὺ νῦν ὅ, τι ἐγὼ λέγω; ΚΡ. Ἔγωγε, διά γε τὸ ἔθος, ὦ φίλτατε. ΣΩ. Ἔθος δὲ λέγων, οἴει τι διάφορον λέγειν συνθήκης; ἢ ἄλλό τι λέγεις τὸ ἔθος, ἢ ὅ, τι ἐγὼ ὅταν τοῦτο φθέγγωμαι, διανοοῦμαι ἐκεῖνο· σὺ δὲ γινώσκεις, ὅτι ἐκεῖνο διανοοῦμαι; οὐ τοῦτο λέγεις; ΚΡ. Ναί. ΣΩ. Οὐκοῦν εἰ γινώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ. ΚΡ. Ναί. ΣΩ. Ἀπὸ τοῦ ἀνομοίου γε ἢ ὃ διανοούμενος φθέγγομαι, εἴπερ τὸ λ ἀνόμοιόν ἐστι τῇ ἧ Φῆς σὺ σκληρότητι. εἰ δὲ τοῦτο οὕτως ἔχει, τί ἄλλο ἢ αὐτὸς σαυτῷ συνέθου; καί σοι γίγνεται ἡ ὀρθότης τοῦ ὀνόματος συνθήκη; ἐπειδή γε δηλοῖ καὶ τὰ ὅμοια καὶ τὰ ἀνόμοια γράμματα, ἔθους τε καὶ συνθήκης τυχόντα.

e.

p. 435 a.

quae tu in superioribus cum Hermogene hoc tractabas, dum & auferebas & inferebas literas ubi maxime oportebat, ac recte mihi facere videbaris. & nunc forte pro λ, ρ apponendum est. *So.* Probe loqueris. Quid vero nunc, ut loquimur, nihil percipimus invicem, quando quis σκληρὸν pronuntiat? neque tu quid nunc ego dicam, intelligis? *Crat.* Intelligo equidem, o amicissime, propter consuetudinem. *So.* Cum consuetudinem dicis, an quid aliud praeter conventionem dicere putas? aut aliud consuetudinem vocas, quam quod ego cum id pronuntio, illud cogito: tu vero quod ipse cogito, percipis? nonne hoc dicis? *Crat.* Hoc ipsum. *So.* Si id me pronuntiante cognoscis, per me tibi fit declaratio. *Crat.* Ita est. *So.* Dissimile videlicet eius quod ipse cogitas profero: quandoquidem ipsum λ dissimile est eius quod tu σκληρότητα, id est, asperitatem vocas. si hoc ita se habet, profecto ipse ad id te ipsum assuefacis, & ex hac conventione rectam tibi nominis rationem proponis, postquam tibi idem tam dissimiles quam similes literae repraesentant, propter ipsam consuetudinis & con-

b. εἰ δ' ὀτιμάλιςα μή ἐςι τὸ ἔθος συνθήκη, οὐκ ἂν καλῶς ἔτι ἔχοι λέγειν τὴν ὁμοιότητα δήλωμα εἶναι, ἀλλὰ τὸ ἔθος. ἐκεῖνο γὰρ, ὡς ἔοικε, καὶ ὁμοίῳ καὶ ἀνομοίῳ δηλοῖ. ἐπειδὴ δὲ ταῦτα συγχωροῦμεν, ὦ Κρατύλε, (τὴν γὰρ σιγήν σου συγχώρησιν θήσω) ἀναγκαῖόν που καὶ συνθήκην τὶ καὶ ἔθος συμβάλλεσθαι πρὸς δήλωσιν ὧν διανοούμενοι λέγομεν. ἐπεὶ, ὦ βέλτιςε, εἰ θέλεις ἐπὶ τὸν ἀριθμὸν ἐλθεῖν, πόθεν οἴει ἔξειν ὀνόματα ὅμοια ἑνὶ ἑκάςῳ τῶν ἀριθμῶν ἐπενεγκεῖν, ἐὰν μὴ ἐᾷς τι
c. τὴν σὴν ὁμολογίαν καὶ συνθήκην κῦρος ἔχειν τῶν ὀνομάτων ὀρθότητος πέρι; ἐμοὶ μὲν οὖν καὶ αὐτῷ ἀρέσκει μὲν κατὰ τὸ δυνατὸν ὅμοια εἶναι τὰ ὀνόματα τοῖς πράγμασιν· ἀλλὰ μὴ ὡς ἀληθῶς, τὸ τοῦ Ἑρμογένους, γλίσχρα ᾖ ἡ ἑλκὴ αὕτη τῆς ὁμοιότητος, ἀναγκαῖον δὲ ᾖ καὶ τῷ φορτικῷ τούτῳ προσχρῆσθαι, τῇ συνθήκῃ, εἰς ὀνομάτων ὀρθότητα. ἐπεὶ ἴσως, κατά γε τὸ δυνατὸν, κάλλις' ἂν λέγοιτο, ὅταν ἢ πᾶσιν ἢ ὡς πλείςοις ὁμοίως λέγηται· (τοῦτο δ' ἐςὶ προσήκουσιν) αἴσχιςα

ventionis adeptionem. Sin autem consuetudo conventio minime sit, haud adhuc recte dici poterit, similitudinem esse declarationem: immo consuetudinem dicere oportebat. Siquidem ex similitudine & dissimilitudine consuetudo declaratur. His utique concessis, o Cratyle, (nempe silentium tuum pro concessione ponam) necesse est, consuetudinem aliquid conventionemque conferre ad eorum quae sentimus & loquimur expressionem. nam si velis, optime vir, ad numerorum considerationem descendere, quo pacto speras, adeo propria reperturum te nomina, ut singulis numeris simile nomen attribuas, si non permiseris, concessionem tuam conventionemque auctoritatem aliquam circa nominum rationem habere? Mihi quidem & illud placet, ut nomina, quoad fieri potest, rebus similia sint. Vereor tamen, ne forte, ut dicebat Hermogenes, tenuis quodammodo sit istius similitudinis usurpatio, cogamurque, & onerosa hac re, conventione videlicet, uti ad rectam nominum rationem: quoniam tunc forte pro viribus optime diceretur, cum vel omnino, vel maxima ex parte simi-

δὲ τοὐναντίον. τόδε δέ μοι ἔτι εἰπὲ μετὰ ταῦτα, τίνα ἡμῖν d.
δύναμιν ἔχει τὰ ὀνόματα, καὶ τί φῶμεν αὐτὰ καλὸν ἀπερ-
γάζεσθαι. ΚΡ. Διδάσκειν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, καὶ τοῦτο
πάνυ ἁπλοῦν εἶναι, ὃς ἂν τὰ ὀνόματα ἐπίσηται, ἐπίσασθαι καὶ
τὰ πράγματα. ΣΩ. Ἴσως γάρ, ὦ Κρατύλε, τὸ τοιόνδε λέ-
γεις, ὡς ἐπειδάν τις εἰδῇ τὸ ὄνομα οἷόν ἐστιν (ἔστι δὲ οἷόνπερ
τὸ πρᾶγμα) εἴσεται δὴ καὶ τὸ πρᾶγμα, ἐπείπερ ὅμοιον τυγ-
χάνει ὂν τῷ ὀνόματι. τέχνη δὲ μία ἆρ' ἐστὶν ἡ αὐτὴ πάντων e.
τῶν ἀλλήλοις ὁμοίων. κατὰ τοῦτο δή μοι δοκεῖς λέγειν ὡς ὃς
ἂν τὰ ὀνόματα εἰδῇ, εἴσεται καὶ τὰ πράγματα. ΚΡ. Ἀλη-
θέστατα λέγεις. ΣΩ. Ἔχε δή, ἰδωμεν τίς ποτ' ἂν εἴη ὁ τρόπος
οὗτος τῆς διδασκαλίας τῶν ὄντων, ὃν σὺ λέγεις νῦν· καὶ πό-
τερον ἐστὶ μὲν καὶ ἄλλος, οὗτος μέντοι βελτίων· ἢ οὐδὲ ἔστιν
ἄλλος ἢ οὗτος. ποτέρως οἴει; ΚΡ. Οὕτως ἔγωγε, οὐ πάνυ τι p.
εἶναι ἄλλον, τοῦτον δὲ μόνον καὶ βέλτιστον. ΣΩ. Πότερον δὲ 436
καὶ εὕρεσιν τῶν ὄντων τὴν αὐτὴν ταύτην εἶναι, τὸν τὰ ὀνό- a.
ματα εὑρόντα, καὶ ἐκεῖνα εὑρηκέναι ὧν νῦν ἐστι τὰ ὀνόματα;

libus, id est, convenientibus diceremus: turpissime vero cum contra. Hoc autem post haec insuper mihi dicas: Quam nobis vim habent nomina, quidve pulchrum per haec effici asserimus? *Crat.* Docere mihi quidem nomina videntur, o Socrates: idque simpliciter asserendum, quod quisquis nomina scit, & res itidem sciat. *So.* Forte, o Cratyle, tale quiddam dicis, quod cum noverit aliquis quale sit nomen, (est autem tale qualis & res existit) rem quoque ipsam agnoscet, quandoquidem nominis est res similis. ars autem una eademque est omnium inter se similium. Hac ratione inductus dixisse videris, quod quisquis nomina cognoscit, res quoque ipsas agnoscet. *Crat.* Vera loqueris. *So.* Age, videamus quis modus docendarum rerum iste sit, quem ipse nunc dicis: & utrum alius praeterea sit, hic tamen potior habeatur: vel alius praeter hunc nullus. utrum istorum potius arbitraris? *Crat.* Hoc certe, quod nullus videlicet alius sit; sed hic solus & optimus. *So.* Utrum vero & res ipsas ita reperiri censes, ut qui-

ἢ ζητεῖν μὲν καὶ εὑρίσκειν ἕτερον δεῖ τρόπον, μανθάνειν δὲ τοῦτον; ΚΡ. Πάντων μάλιστα καὶ ζητεῖν καὶ εὑρίσκειν τὸν αὐτὸν τρόπον τοῦτον κατὰ ταῦτα. ΣΩ. Φέρε δή, ἐννοήσωμεν, ὦ Κρατύλε, εἴτις ζητῶν τὰ πράγματα, ἀκολουθεῖ τοῖς
b. ὀνόμασι, σκοπῶν οἷον ἕκαστον βούλεται εἶναι, ἆρ' ἐννοεῖς ὅτι οὐ μικρὸς κίνδυνος ἐξ ἐξαπατηθῆναι; ΚΡ. Πῶς; ΣΩ. Δηλονότι ὁ θέμενος πρῶτος τὰ ὀνόματα, οἷα ἠγεῖτο εἶναι τὰ πράγματα, τοιαῦτα ἐτίθετο καὶ τὰ ὀνόματα, ὡς φαμέν. ἦ γάρ; ΚΡ. Ναί. ΣΩ. Εἰ οὖν ἐκεῖνος μὴ ὀρθῶς ἠγεῖτο, ἔθετο δὲ οἷα ἠγεῖτο, τί ἡμᾶς οἴει τοὺς ἀκολουθοῦντας αὐτῷ πείσεσθαι; ἄλλό τι ἢ ἐξαπατηθήσεσθαι; ΚΡ. Ἀλλὰ μὴ οὐχ οὕτως ἔχῃ, ὦ Σώκρατες, ἀλλ' ἀναγκαῖον ᾖ, εἰδότα τίθεσθαι
c. τὸν τιθέμενον τὰ ὀνόματα· εἰ δὲ μή (ὅπερ πάλαι ἐγὼ ἔλεγον) οὐδ' ἂν ὀνόματα εἴη. μέγιστον δέ σοι ἔσῳ τεκμήριον ὅτι οὐκ ἔσφαλται τῆς ἀληθείας ὁ τιθέμενος. οὐ γὰρ ἂν ποτε οὕτω σύμφωνα ἦν αὐτῷ ἅπαντα. ἢ οὐκ ἐνενόεις αὐτὸς, λέγων ὡς πάντα κατ' αὐτὰ καὶ ἐπὶ ταυτὸν ἐγίγνετο τὰ ὀνόματα;

cunque nomina reperit, ea quoque quorum nomina ſunt, inveniat? an quaerendum potius reperiendumque alium modum quendam, huncque diſcendum? *Crat.* Maxime omnium ſecundum iſta hunc ipſum & quaerendum, & inveniendum. *So.* Age itaque conſideremus, o Cratyle, ſi quis, dum res inveſtigat, nomina ipſa ſequitur, attenditque quale unumquodque vult eſſe, videsne quam maximum deceptionis periculum ſubire? *Crat.* Quo pacto? *So.* Quoniam qui principio nomina poſuit, quales eſſe res opinatus eſt, talia quoque nomina, ut dicebamus, effinxit. nonne ita? *Crat.* Ita prorſus. *So.* Si ergo ille non recte ſenſit, & ut ſenſit, inſtituit, nonne & ſequentes eius veſtigia deceptum iri exiſtimas? *Crat.* Haud ita eſt: immo neceſſe, ſcientem fuiſſe illum, qui nomina poſuit. aliter enim, ut iamdudum dicebam, nomina nequaquam eſſent. Evidentiſſimo autem argumento id eſſe tibi poteſt, haud a veritate aberraviſſe nominum auctorem, quod, ſi male ſenſiſſet, nequaquam ſibi omnia conſonarent. an non advertiſti & ipſe, cum

ΣΩ. Ἀλλὰ τοῦτο μὲν, ὦ ἀγαθὲ Κρατύλε, οὐδέν ἐστιν ἀπολόγημα. εἰ γὰρ τοπρῶτον σφαλεὶς ὁ τιθέμενος, τἄλλα ἤδη πρὸς τοῦτ' ἐβιάζετο, καὶ αὐτῷ συμφωνεῖν ἠνάγκαζεν, οὐδὲν d. ἄτοπον· ὥσπερ τῶν διαγραμμάτων ἐνίοτε τοῦ πρώτου σμικροῦ καὶ ἀδήλου ψευδοῦς γενομένου, τὰ λοιπὰ πάμπολλα ἤδη ὄντα ἑπόμενα ὁμολογεῖν ἀλλήλοις. δεῖ δὴ περὶ τῆς ἀρχῆς παντὸς πράγματος παντὶ ἀνδρὶ τὸν πολὺν λόγον εἶναι, καὶ τὴν πολλὴν σκέψιν, εἴτε ὀρθῶς, εἴτε μὴ, ὑπόκειται· ἐκείνης δὲ ἐξετασθείσης ἱκανῶς, τὰ λοιπὰ φαίνεσθαι ἐκείνῃ ἑπόμενα οὐ μέντοι ἀλλὰ θαυμάζοιμ' ἄν εἰ καὶ τὰ ὀνόματα συμφωνεῖ αὐτὰ e. αὑτοῖς. πάλιν γὰρ ἐπισκεψόμεθα ἃ τοπρότερον διήλθομεν, ὡς τοῦ παντὸς ἰόντος τε καὶ φερομένου καὶ ῥέοντος, φαμὲν σημαίνειν ἡμῖν τὴν οὐσίαν τὰ ὀνόματα. ἄλλό τι ἢ ἐστὶν ἢ οὕτω σοὶ δοκεῖ δηλοῦν; ΚΡ. Πάνυ σφόδρα καὶ ὀρθῶς γε σημαίνει.

ΣΩ. Σκοπῶμεν δὴ ἐξ αὐτῶν ἀναλαβόντες· πρῶτον μὲν τοῦτο p. τὸ ὄνομα τὴν ἐπιστήμην ὡς ἀμφιβολόν ἐστι, καὶ μᾶλλον ἔοικε 437 σημαίνον τι ὅτι ἵστησιν ἡμῶν ἐπὶ τοῖς πράγμασι τὴν ψυχὴν, a.

diceres, omnia in idem tendere? *So.* Nihil ista, o bone Cratyle, valet defensio. quid enim mirum est, si primo deceptus nominum institutor, sequentia rursus ad primum vi quadam traxit, & ipsi consonare coëgit? quemadmodum circa figuras interdum exiguo quodam primo ignoto falsoque existente, reliqua deinceps multa invicem consonant. Debet autem quisque circa rei cuiusque principium statuendum differere multa, diligentissimeque considerare, utrum recte decernat, necne. quo quidem sufficienter examinato, cetera iam principium sequi debent. Miror tamen, si nomina sibimet congruunt. Consideremus iterum, quae supra retulimus. Diximus profecto, ita nomina essentiam significare, quasi omnia currant, ferantur & defluant. itane significare censes? *Crat.* Ita certe: & recte quidem. *So.* Videamus itaque, ex illis aliqua repetentes. Principio nomen hoc ἐπιστήμη, id est, scientia, ambiguum est, magisque significare videtur, quod ἵστησιν, id est, sistit in rebus animam, quam quod cum rebus pariter circumfertur;

ἢ ὅτι συμπεριφέρεται· καὶ ὀρθότερόν ἐστιν, ὥσπερ νῦν, αὐτοῦ τὴν ἀρχὴν λέγειν μᾶλλον, ἢ ἐκβάλλοντας τὸ ε, πιστήμην. ἀλλὰ τὴν ἐμβολὴν ποιήσασθαι ἀντὶ τῆς ἐν τῷ ε, ἐν τῷ ι. ἔπειτα τὸ βέβαιον, ὅτι βάσεως τινός ἐστι καὶ στάσεως μίμημα,
b. ἀλλ' οὐ φορᾶς. ἔπειτα ἡ ἱστορία αὐτό που σημαίνει, ὅτι ἵστησι τὸν ῥοῦν, καὶ τὸ πιστὸν, ἱστᾶν παντάπασι σημαίνει. ἔπειτα δὲ ἡ μνήμη παντί που μηνύει ὅτι μονή ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ' οὐ φορά. εἰ δὲ βούλει, ἡ ἁμαρτία καὶ ἡ συμφορὰ, εἰ κατὰ τὸ ὄνομα τὶς ἀκολουθήσει, φανεῖται ταυτὸν τῇ συνέσει ταύτῃ καὶ ἐπιστήμῃ, καὶ τοῖς ἄλλοις πᾶσι τοῖς περὶ τὰ σπουδαῖα ὀνόμασιν. ἔτι τοίνυν ἡ ἀμαθία καὶ ἡ ἀκολασία παραπλησία τούτοις φαίνεται. ἡ μὲν γὰρ τοῦ ἅμα θεῷ ἰόντος πορεία φαί-
c. νεται ἡ ἀμαθία· ἡ δ' ἀκολασία, παντάπασιν ἀκολουθία τοῖς πράγμασι φαίνεται. καὶ οὕτως, ἃ νομίζομεν ἐπὶ τοῖς κακίοις ὀνόματα εἶναι, ὁμοιότατ' ἂν φαίνοιτο τοῖς ἐπὶ τοῖς καλ-

rectiusque esse videtur, ut principium eius ut nunc ἐπιστήμην dicamus, quam per ε ipsius eiectionem, πιστήμην. immo pro ε, ι potius adiiciamus. Deinde βέβαιον, id est, firmum dicitur, quoniam ἱστορία βάσεως & στάσεως, id est, firmamenti, & status, potius quam lationis est imitatio. Praeterea ἱστορία, id forte significat, quod ἵστησι τὸν ῥοῦν, id est, sistit fluxum: & ipsum πιστὸν, id est, credendum, ἱστᾶν, id est, firmare omnino significat. Quin etiam μνήμη, id est, memoria, ostendit prorsus quod in anima non motus est, & agitatio, sed μονὴ, id est, quies, stabilisque permansio. Atque si quis nomina ipsa obsérvet ἥ ἁμαρτία & συμφορὰ, id est, error & contingentia casusque, idem videbuntur inferre, quod σύνεσις & ἐπιστήμη, id est, intelligentia atque scientia, & cetera nomina quae praeclaris sunt rebus imposita. Item ἡ ἀμαθία & ἀκολασία, id est, insicitia & intemperantia, proxima his videntur. ἀμαθία quidem importare videtur ἅμα θεῷ ἰόντος πορείαν, id est, simul cum deo euntis progressum. ἀκολασία vero, omnino quandam ipsarum rerum ἀκολουθίαν, id est, persecutionem atque congressum. Atque ita quae rerum tur-

λίσεις. οἶμαι δὲ, καὶ ἄλλα πόλλ' ἄν τις εὕροι, εἰ πραγματεύοιτο, ἐξ ὧν οἰηθείη ἂν αὖ πάλιν τὸν τὰ ὀνόματα τιθέμενον, οὐχὶ ἰόντα οὐδὲ φερόμενα, ἀλλὰ μένοντα τὰ πράγματα σημαίνειν. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, ὁρᾷς ὅτι τὰ πολλὰ ἐκείνως ἐσήμανε. ΣΩ. Τί οὖν τοῦτο, ὦ Κρατύλε; ὥσπερ ψήφους διαριθμησόμεθα τὰ ὀνόματα; καὶ ἐν τούτῳ ἔσαι ἡ ὀρθότης, ὁπότερα ἂν πλείω φαίνηται τὰ ὀνόματα σημαίνοντα, ταῦτα δὴ ἔσαι τἀληθῆ; ΚΡ. Οὔκουν εἰκός γε. ΣΩ. Οὐδ' ὁπωστιοῦν, ὦ φίλε. καὶ ταῦτα μέν γε αὐτοῦ ἐάσωμεν· τάδε δὲ ἐπισκεψώμεθα εἰ ἡμῖν καὶ τῇδε ὁμολογεῖς, εἴτε καὶ οὔ. φέρε, τοὺς τὰ ὀνόματα ταῖς πόλεσι τιθεμένους ἑκάστοτε ἔν τε ταῖς Ἑλληνικαῖς καὶ βαρβαρικαῖς, οὐκ ἀρτίως ὡμολογοῦμεν νομοθέτας εἶναι, καὶ τὴν τέχνην τὴν τοῦτο δυναμένην, νομοθετικήν; ΚΡ. Πάνυ γε. ΣΩ. Λέγε δή, οἱ πρῶτοι νομοθέται τὰ πρῶτα ὀνόματα πότερον γινώσκοντες τὰ πράγματα οἷς ἐτίθεντο, ἐτίθεντο, ἢ ἀγνοοῦντες; ΚΡ. Οἶμαι

d.

e.

pissimarum nomina esse putamus, nominum illorum quae circa pulcherrima sunt, quam simillima videbuntur. Arbitror & alia multa reperiri posse, si quis ad haec incumbat: ex quibus iterum iudicabit, nominum auctorem non currentes delatasque res, immo stabiles indicare. *Crat.* Verumtamen multa, o Socrates, secundum agitationis significationem vides illum constituisse. *So.* Quid igitur agemus, o Cratyle? numquid suffragiorum calculorumque instar nomina ipsa dinumerabimus? atque ad hanc normam de recta ratione nominum iudicabimus, ut ea tandem vera sint, quibus significationes plurimum nominum suffragantur? *Crat.* Haud decet. *So.* Non certe, amice. Sed his iam omissis, videamus, utrum & haec nobis isto modo fatearis, an non. Age, nonne paulo ante confessi sumus, eos qui nomina in civitatibus singulis tum Graecis, tum Barbaris imposuerunt, onomothetas, id est, nominum conditores esse: & artem, quae hanc facultatem contineret, nominum conditricem esse? *Crat.* Maxime. *So.* Iam vero, primi onomothetae prima nomina, utrum res quibus nomina impone-

p. μὲν ἐγὼ, ὦ Σώκρατες, γινώσκοντες. ΣΩ. Οὐ γάρ που, ὦ
438 ἑταῖρε Κρατύλε, ἀγνοοῦντες. ΚΡ. Οὔ μοι δοκεῖ. ΣΩ. Ἐπαν-
a. ελθωμεν δὴ πάλιν ὅθεν δεῦρο μετέβημεν. ἄρτι γὰρ ἐν τοῖς πρόσθεν, εἰ μέμνησαι, τὸν τιθέμενον τὰ ὀνόματα, ἀναγκαῖον ἔφησθα εἶναι εἰδότα τίθεσθαι οἷς ἐτίθετο. πότερον οὖν ἔτι σοὶ δοκεῖ οὕτως, ἢ οὔ; ΚΡ. Ἔτι. ΣΩ. Ἦ καὶ τὸν τὰ πρῶτα τιθέμενον, εἰδότα φῂς τίθεσθαι; ΚΡ. Εἰδότα. ΣΩ. Ἐκ ποίων οὖν ὀνομάτων ἢ μεμαθηκὼς ἢ εὑρηκὼς ἦν τὰ
b. πράγματα, εἴπερ τά γε πρῶτα μήπω ἔκειτο; μαθεῖν δ' αὖ φαμὲν τὰ πράγματα καὶ εὑρεῖν, ἀδύνατον εἶναι ἄλλως ἢ τὰ ὀνόματα μαθόντας, ἢ αὐτοὺς ἐξευρόντας οἷά ἐσι; ΚΡ. Δοκεῖς τι μοι λέγειν, ὦ Σώκρατες. ΣΩ. Τινα οὖν τρόπον φῶμεν αὐτοὺς εἰδότας θέσθαι; ἢ νομοθέτας εἶναι, πρὶν καὶ ὁτιοῦν ὄνομα κεῖσθαί τε καὶ ἐκείνους εἰδέναι, εἴπερ μή ἐσι τὰ πράγματα μαθεῖν ἀλλ' ἢ ἐκ τῶν ὀνομάτων; ΚΡ. Οἶμαι μὲν ἐγὼ τὸν ἀληθέσατον λόγον περὶ τούτων εἶναι, ὦ Σώκρα-

bant noſcentes, an ignorantes impoſuerunt? *Crat.* Cognoſcentes, ut mihi quidem videtur, o Socrates. *So.* Neque enim, o amice Cratyle, ignorantes poſuiſſent. *Crat.* Non, mea quidem ſententia. *So.* Redeamus illuc, unde digreſſi ſumus. Dixiſti nuper, ſi recordaris, neceſſarium eſſe, illum qui nomina ſtatuit, praenoviſſe ea quibus nomina tribuebat, perſtas adhuc in ſententia, necne? *Crat.* Adhuc. *So.* Numquid & illum, qui prima nomina poſuit, noviſſe ais dum poneret? *Crat.* Noviſſe. *So.* Ex quibus igitur nominibus res vel didicerat, vel invenerat, quando necdum prima nomina fuerant inſtituta? cum dictum ſit, impoſſibile eſſe res vel invenire, vel diſcere, niſi qualia nomina ſunt, didicerimus, vel ipſi nos invenerimus? *Crat.* Videris mihi nonnihil, o Socrates, dicere. *So.* Quo igitur pacto dicemus eos ſcientes nomina poſuiſſe? aut nominum conditores ante poſitionem cuiuslibet nominis exſtitiſſe, eosque res antea cognoviſſe: ſi quidem non aliter quam ex nominibus diſci res poſſint? *Crat.* Reor equidem, Socrates, veriſimum eum eſſe ſermonem, quo dicitur, excellentiorem quam

τες, μείζω τινὰ δύναμιν εἶναι ἢ ἀνθρωπείαν, τὴν θεμένην τὰ c.
πρῶτα ὀνόματα τοῖς πράγμασιν· ὥστε ἀναγκαῖον εἶναι αὐτὰ
ὀρθῶς ἔχειν. ΣΩ. Εἶτα, οἶει, ἐναντία ἂν ἐτίθετο αὐτὸς αὑτῷ
ὁ θήσων δαιμών τις, ἢ θεός; ἢ οὐδὲν σοὶ ἐδοκοῦμεν ἄρτι λέ-
γειν; ΚΡ. Ἀλλὰ μὴ οὐκ ᾖ τούτων τὰ ἕτερα ὀνόματα. ΣΩ.
Πότερα, ὦ ἄριστε, τὰ ἐπὶ τὴν φάσιν ἄγοντα, ἢ τὰ ἐπὶ τὴν
φοράν; οὐ γάρ πω κατὰ τὸ ἄρτι λεχθὲν, πλήθει κριθήσεται.
ΚΡ. Οὕτω δὴ δικαιόν γε, ὦ Σώκρατες. ΣΩ. Ὀνομάτων οὖν d.
φασιασάντων, καὶ τῶν μὲν, φασκόντων ἑαυτὰ εἶναι τὰ ὅμοια
τῇ ἀληθείᾳ, τῶν δ' ἑαυτὰ, τίνι ἔτι διακρινοῦμεν; ἢ ἐπί τί
ἐλθόντες; οὐ γάρ που ἐπ' ὀνόματά γε ἕτερα ἄλλα τούτων.
οὐ γάρ ἔστιν. ἀλλὰ δηλονότι ἄλλ' ἄττα ζητητέα πλὴν ὀνο-
μάτων, ἃ ἡμῖν ἐμφανῆ ἢ ἄνευ ὀνομάτων, ὁπότερα τούτων
ἐστὶ τἀληθῆ, δείξαντα δηλονότι τὴν ἀλήθειαν τῶν ὄντων. ΚΡ.
Δοκεῖ μοι οὕτω. ΣΩ. Ἔστιν ἄρα, ὡς ἔοικε, ὦ Κρατύλε, δυ- e.
νατὸν μαθεῖν ἄνευ ὀνομάτων τὰ ὄντα, εἴπερ ταῦτα οὕτως
ἔχει. ΚΡ. Φαίνεται. ΣΩ. Διὰ τίνος ἄλλου οὖν ἔτι προσδοκᾷς

dam potentiam quam humanam prima rebus nomina praebuisse: quo necessarium sit, ut recte fuerint distributa. *So.* Numquid putas, contraria sibi ipsi posuisse nominum auctorem, si daemon aliquis vel deus exstitit? an nihil tibi supra dixisse videmur? *Crat.* Forte nondum altera istorum nomina erant. *So.* Utra igitur erant, vir optime? num quae ad statum vergunt? an quae ad motum potius? neque enim, ut modo diximus, multitudine iudicabitur. *Crat.* Sic decet, Socrates. *So.* Cum itaque dissentiant contendantque de veritate invicem nomina, & tam haec quam illa vero propinquiora esse asserant: cuius ad normam diiudicabimus? quo nos vertemus? neque enim ad alia nomina confugiemus, quia praeter haec nulla. Verum alia quaedam praeter nomina quaerenda sunt, quae nobis ostendant absque nominibus, utra istorum vera sint, rerum videlicet monstrantia veritatem. *Crat.* Ita mihi videtur. *So.* Si haec vera sunt, Cratyle, possunt, ut videtur, res sine nominibus percipi. *Crat.* Apparet. *So.* Per quid potissimum

ἂν ταῦτα μαθεῖν; ἆρα δι' ἄλλου του, ἢ οὗπερ εἰκός γε καὶ δικαιότατον, δι' ἀλλήλων γε, εἴπη συγγενῆ ἐστι καὶ αὐτὰ δι' αὐτῶν; τὸ γάρ που ἕτερον ἐκείνων καὶ ἄλλο ὄν, ἑτέρου ἂν τι καὶ ἀλλοῖον σημαίνη, ἀλλ' οὐκ ἐκεῖνα. ΚΡ. Ἀληθῆ μοι φαίνῃ
P. λέγειν. ΣΩ. Ἔχε δὴ πρὸς Διός· τὰ δὲ ὀνόματα οὐ πολλά-
439 a. κις μέντοι ὡμολογήκαμεν, τὰ καλῶς κείμενα, ἐοικότα εἶναι ἐκείνοις ὧν ὀνόματα κεῖται, καὶ εἶναι εἰκόνας τῶν πραγμάτων; ΚΡ. Ναί. ΣΩ. Εἰ οὖν ἐστὶ μὲν ὁτιμάλιςα δι' ὀνομάτων τὰ πράγματα μανθάνειν, ἐστὶ δὲ καὶ δι' ἑαυτῶν, ποτέρα ἂν εἴη καλλίων καὶ σαφεςέρα ἡ μάθησις; ἐκ τῆς εἰκόνος μανθάνειν αὐτήν τε αὐτὴν, εἰ καλῶς εἴκασαι, καὶ τὴν ἀλήθειαν, ἧς ἦν ἡ εἰκών· ἢ ἐκ τῆς ἀληθείας αὐτήν τε αὐτὴν καὶ τὴν
b. εἰκόνα αὐτῆς, εἰ πρεπόντως εἴργασαι; ΚΡ. Ἐκ τῆς ἀληθείας μοι δοκεῖ ἀνάγκη εἶναι. ΣΩ. Ὄντινα μὲν τοίνυν τρόπον δεῖ μανθάνειν, ἢ καὶ εὑρίσκειν τὰ ὄντα, μεῖζον ἴσως ἐστὶν ἐγνωκέναι, ἢ κατ' ἐμὲ καί σε. ἀγαπητὸν δὲ καὶ τοῦτο ὁμολογήσασθαι, ὅτι οὐκ ἐξ ὀνομάτων, ἀλλὰ πολὺ μᾶλλον αὐτὰ ἐξ

aliud speras res ipsas percipere? nonne per quod consentaneum ac decens est? per mutuam illarum communionem scilicet, si quo modo invicem cognatae sunt, & per se ipsas maxime? quod enim aliud est ab illis, aliud quiddam, non illas significat. *Crat.* Vera loqui videris. *So.* Dic, obsecro, nonne iam saepe concessimus, nomina quae recte posita sunt, similia illorum esse, quorum sunt nomina? rerumque imagines esse? *Crat.* Concessimus plane. *So.* Si ergo licet res per nomina discere, ac etiam per se ipsas: quae praestantior erit lucidiorque perceptio? num si ex imagine cogitentur, & imago ipsa utrum recte expressa sit, & veritas, cuius haec est imago? an potius si ex veritate tam veritas ipsa, quam ipsius imago, numquid decenter imago ad eam fuerit instituta? *Crat.* Si ex veritate. *So.* Qua igitur ratione res vel per doctrinam vel per inventionem comprehendendae sint, iudicare, maioris quam meum ac tuum sit, ingenii opus esse videtur. Sufficiat autem nunc inter nos constitisse, quod non ex nominibus, immo ex se ipsis potius,

αὐτῶν καὶ μαθητέον καὶ ζητητέον ἢ ἐκ τῶν ὀνομάτων. ΚΡ. Φαίνεται, ὦ Σώκρατες. ΣΩ. Ἔτι τοίνυν τόδε σκεψώμεθα, ὅπως μὴ ἡμᾶς τὰ πολλὰ ταῦτα ὀνόματα ἐς ταυτὸν τείνοντα ἐξαπατᾷ, καὶ τῷ ὄντι μὲν οἱ θέμενοι αὐτὰ, διανοηθέντες τε c.
ἐθεντο, ὡς ἰόντων ἁπάντων ἀεὶ καὶ ῥεόντων. φαίνονται γὰρ ἔμοιγε καὶ αὐτοὶ οὕτω διανοηθῆναι. τὸ δ' εἰ ἔτυχεν, οὐχ οὕτως ἔχει· ἀλλ' οὗτοι αὐτοί τε ὥσπερ εἴς τινα δίνην ἐμπεσόντες κυκῶνται, καὶ ἡμᾶς ἐφελκόμενοι προσεμβάλλουσι. σκέψαι γὰρ, ὦ θαυμάσιε Κρατύλε, ὃ ἐγὼ πολλάκις ὀνειρώττω, πότερον φῶμέν τι εἶναι αὐτὸ καλὸν καὶ ἀγαθὸν, καὶ ἓν ἕκαστον τῶν ὄντων οὕτως, ἢ μή. ΚΡ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρα- d.
τες, εἶναι. ΣΩ. Αὐτὸ τοίνυν ἐκεῖνο σκεψώμεθα μὴ εἰ πρόσωπόν τι ἐξὶ καλὸν, ἢ τι τῶν τοιούτων, καὶ δοκεῖ ταῦτα πάντα ῥεῖν· ἀλλ' αὐτὸ φῶμεν τὸ καλὸν, οὐ τοιοῦτον ἀεί ἐξιν, οἷόν ἐξι; ΚΡ. Ἀνάγκη. ΣΩ. Ἆρ' οὖν οἷόν τε προσειπεῖν αὐτὸ ὀρθῶς, εἰ ἀεὶ ὑπεξέρχεται, πρῶτον μὲν, ὅτι ἐκεῖνό ἐξιν, ἔπειτα, ὅτι τοιοῦτον; ἢ ἀνάγκη, ἅμα ἡμῶν λεγόντων, ἄλλο αὖ-

discendae quaerendaeque sunt. *Crat.* Sic apparet, o Socrates. *So.* Animadvertamus & hoc praeterea, ne multa haec nomina in idem tendentia nos decipiant, cum qui illa imposuerunt, currere omnia semper fluereque putaverint, atque ea consideratione posuerint: videntur nempe mihi ita existimasse: quorum tamen opinio si talis exstitit, falsa habenda est. profecto illi, velut in quandam delapsi vertiginem, & ipsi vacillant iactanturque, & nos in eandem rapientes immergunt. Considera, vir mirifice Cratyle, quod ego saepenumero somnio, utrum dicendum sit, esse aliquid ipsum pulchrum ac bonum, & unumquodque existentium ita, necne. *Crat.* Mihi quidem, o Socrates, esse videtur. *So.* Illud igitur ipsum consideremus, non si vultus quidam aut aliquid talium pulchrum est, quippe haec omnia fluunt: sed ipsum pulchrum dicimus, nonne semper tale quale est perseverat? *Crat.* Necesse est. *So.* Numquid possibile est ipsum recte denominare, si semper subterfugit, ac primo quid illud sit, deinde quale sit dicere? vel necessa-

τὸ εὐθὺς γίγνεσθαι καὶ ὑπεξιέναι, καὶ μηκέτι οὕτως ἔχειν;
e. ΚΡ. Ἀνάγκη. ΣΩ. Πῶς οὖν ἂν εἴη τι ἐκεῖνο, ὃ μηδέποτε
ὡσαύτως ἔχει; εἰ γάρ ποτε ὡσαύτως ἔχει, ἔν γ' ἐκείνῳ τῷ
χρόνῳ ὁπότε ὡσαύτως ἔχει, δῆλον ὅτι οὐδὲν μεταβαίνει. εἰ
δὲ ἀεὶ ὡσαύτως ἔχει, καὶ τὸ αὐτὸ ἐᾷ, πῶς ἂν τοῦτό γε με-
ταβάλλοι ἢ κινοῖτο, μηδὲν ἐξιζάμενον τῆς αὐτοῦ ἰδέας; ΚΡ.
Οὐδαμῶς. ΣΩ. Ἀλλὰ μὴν οὐδ' ἂν γνωσθείη γε ὑπ' οὐδενός.
p. ἅμα γαρ ἂν ἐπιόντος τοῦ γνωσομένου, ἄλλο καὶ ἀλλοῖον γίγ-
440 νοιτο. ὥστε οὐκ ἂν γνασθείη ἔτι ὁποῖόν γέ τι ἐστὶν, ἢ πῶς ἔχον.
a. γνῶσις δὲ δήπου οὐδεμια γιγνώσκει ὃ γιγνώσκει μηδαμῶς
ἔχον. ΚΡ. Ἔστιν ὡς λέγεις. ΣΩ. Ἀλλ' οὐδὲ γνῶσιν εἶναι
φάναι εἰκὸς, ὦ Κρατυλε, εἰ μεταπίπτει πάντα χρήματα,
καὶ μηδὲν μένει. εἰ μὲν γὰρ αὐτὸ τοῦτο ἡ γνῶσις, τοῦ γνῶ-
σις εἶναι μὴ μεταπίπτει, μένοι τε ἂν ἀεὶ ἡ γνῶσις, καὶ εἴη
b. γνῶσις. εἰ δὲ καὶ αὐτὸ τὸ εἶδος μεταπίπτει τῆς γνώσεως,
ἅμα τ' ἂν μεταπίπτοι εἰς ἄλλο εἶδος γνωσεως, καὶ οὐκ ἂν
εἴη γνῶσις. εἰ δὲ ἀεὶ μεταπιπτει, ἀεὶ οὐκ ἂν εἴη γνῶσις. καὶ

rium eſt, dum loquimur aliud ipſum ſtatim fieri, iugiterque diffugere, nec tale amplius eſſe? *Crat.* Neceſſarium. *So.* Quo pacto aliquid illud erit, quod nunquam eodem modo ſe habet? Si enim quandoque eodem modo ſe habet, eo in tempore quo ſic ſe habet, perſpicuum eſt quod minime permutatur. ſin autem ſemper eodem modo ſe habet, idemque exiſtit, quomodo tranſit vel movetur, cum ideam ſuam non deſerat? *Crat.* Nullo pacto. *So.* Praeterea a nullo cognoſceretur. dum enim cognitura vis ipſum aggrederetur, aliud alienumque fieret. quare quid ſit aut quale, cognoſci non poſſet. nam cognitio nulla ita rem percipit, ut nullo modo ſe habentem percipiat. *Crat.* Eſt ut ais. *So.* Sed neque cognitionem ipſam eſſe affirmandum eſt, o Cratyle, ſi decidunt omnia, nihilque permanet. Si enim cognitio, ex eo quod cognitio eſt, non decidit, permanebit ſemper, ac ſemper erit cognitio: ſin autem cognitionis ſpecies ipſa diſcedit, ſimul & in aliam cognitionis ſpeciem delabetur, neque cognitio erit. Quod ſi per-

ἐκ τούτου τοῦ λόγου, οὔτε τὸ γνωσόμενον, οὔτε τὸ γνωσθησόμενον ἂν εἴη. εἰ δὲ ἔστι μὲν ἀεὶ τὸ γιγνῶσκον, ἔστι δὲ τὸ γιγνωσκόμενον, ἔστι δὲ τὸ καλὸν, ἔστι δὲ τὸ ἀγαθὸν, ἔστι δὲ ἕν ἕκαστον τῶν ὄντων, οὐ μοι φαίνεται ταῦτα ὅμοια ὄντα ἃ νῦν ἡμεῖς λέγομεν, ῥοῇ οὐδὲν, οὐδὲ φορᾷ. Ταῦτ' οὖν πότερόν ποτε οὕτως ἔχει, ἢ ἐκεῖνως ὡς οἱ περὶ Ἡράκλειτον λέγουσι καὶ ἄλλοι πολλοὶ, μὴ οὐ ῥᾴδιον ᾖ ἐπισκέψασθαι· οὐδὲ πάνυ νοῦν ἔχοντος ἀνθρώπου, ἐπιτρέψαντα ὀνόμασιν αὐτὸν καὶ τὴν αὐτοῦ ψυχὴν θεραπεύειν, πεπιστευκότα ἐκείνοις, καὶ τοῖς θεμένοις αὐτὰ διϊσχυρίζεσθαι ὡς τι εἰδότα· καὶ αὐτοῦ γε καὶ τῶν ὄντων καταγινώσκειν, ὡς οὐδὲν ὑγιὲς οὐδενός, ἀλλὰ πάντα ὥσπερ κεράμια ῥεῖ, καὶ ἀτεχνῶς ὥσπερ οἱ κατάῤῥῳ νοσοῦντες ἄνθρωποι, οὕτως οἴεσθαι καὶ τὰ πράγματα διακεῖσθαι ὑπὸ ῥεύματός τε καὶ καταῤῥου πάντα χρήματα ἔχεσθαι. Ἴσως μὲν οὖν δὴ, ὦ Κρατύλε, οὕτως ἔχει, ἴσως δὲ καὶ οὔ. σκοπεῖσθαι οὖν χρὴ ἀνδρείως τε καὶ εὖ, καὶ μὴ ῥᾳδίως ἀποδέχεσθαι. (ἔτι γὰρ νέος εἶ, καὶ ἡλικιαν ἔχεις) σκεψάμενον

petuo migrat, ſemper non erit cognitio. atque hac ratione neque quod cogniturum eſt, neque quod cognoſcendum, ſemper erit. Sin autem ſemper eſt quod cognoſcit, eſt quod cognoſcitur, eſt pulchrum, eſt & bonum, eſtque denique exiſtentium unumquodque: quae in praeſentia dicimus, neque fluxus neque lationis ſimilia mihi videntur. Utrum vero haec ita ſint, an ut dicebant Heraclitі ſectatores, aliique permulti, haud facile diſcerni poteſt. neque hominis admodum ſanae mentis eſt, ſe ipſum animumque ſuum nominibus credere, & auctorem nominum ſapientem aſſeverare: atque ita de ſe ipſo rebusque omnibus male ſentire, ut putet nihil integrum firmumque exiſtere, ſed omnia velut fictilia fluere atque concidere, & quemadmodum homines deſtillationibus capitis aegrotantes, ſimiliter quoque res ipſas affici iudicet, adeo ut deſtillatione & fluxu omnia comprehendantur. Forte, o Cratyle, ita eſt, forte etiam aliter. Forti igitur anima & diligenti ſtudio inveſtiganda res eſt, neque facile aſſentiendum, iuvenis enim adhuc es, atque

δὲ, ἐὰν εὕρῃς, μεταδιδόναι καὶ ἐμοί. ΚΡ. Ἀλλὰ ποιήσω ταῦτα. εὖ μέντοι ἴσθι, ὦ Σώκρατες, ὅτι οὐδὲ νυνὶ ἀσκέπτως ἔχω· ἀλλά μοι σκοπουμένῳ καὶ πράγματα ἔχοντι, πολὺ μᾶλλον
e. ἐκείνως φαίνεται ἔχειν, ἢ ὡς Ἡράκλειτος λέγει. ΣΩ. Εἰσαῦθις τοίνυν με, ὦ ἑταῖρε, διδάξεις ἐπειδὰν ἥκῃς· νῦν δὲ, ὥσπερ παρεσκεύασαι, πορεύου εἰς ἀγρόν· προπέμψει δέ σε καὶ Ἑρμογένης ὅδε. ΚΡ. Ταῦτ' ἔσται, ὦ Σώκρατες· ἀλλὰ καὶ σὺ πειρῶ ἔτι ἐννοεῖν ταῦτα ἡδη.

ΤΕΛΟΣ ΤΟΥ ΚΡΑΤΥΛΟΥ.

tibi ſufficit aetas. & ſi quid inveneris indagando, mihi quoque impertiri debes. *Crat.* Navabo operam, Socrates. ac certe ſcito, me etiam in praeſentia non torpere: immo cogitanti mihi & multa animo revolventi, multo magis ita, ut dicebas ipſe, quam ut Heraclitus, res ſeſe habere videntur. *So.* Deinceps, amice, poſtquam redieris, me doceto. Nunc autem, ut conſtituiſti, in agrum perge. Atqui & Hermogenes hic te comitabitur. *Crat.* Fiet ut mones, Socrates. verum tu quoque iam de his cogita.

FINIS CRATYLI.

VARIAE LECTIONES

VARIAE LECTIONES
IN EUTHYDEMUM.

p. 3. Εὐθύδημος ἢ ἐριστικὸς. Sic Ald. Baſ. 1. 2. tranſumtum haud dubie e Diog. Laërt. III, 59, niſi quod ille plenius offerat Εὐθ. ἐρ. ἀνατρεπτικός.

p. 5. *lin.* 3 *ſq.* ΣΩ. Καινοί τινες -- σοφισταί) Haec verba a Critone quoque dici poſſe putabat Steph. Parum commode. Unde enim Critoni innotuerat, illos eſſe καινοὺς σοφιστὰς, cum de toto diſputandi modo οὐδὲν οἷος τ' ἦν ἀκούσαί τι σαφὲς, ut ſupra de ſe ipſe profeſſus fuerat. Sed Stephanum Aldina in hunc induxit errorem, ubi etiam ante verba καινοί τινες nomen Socratis (ob antec. ὦ Σώκρατες) & poſt σοφισταὶ nomen Critonis, denique ante Οὗτοι μὲν nomen Socratis omiſſum eſt, operarum, puto, vitio.

ead. l. 16. καὶ συγγράφεσθαι) Sic Baſ. 1. 2. Sed Ald. συγγραφήσθαι.

p. 6. *l.* 17. γεροντοδιδάσκαλον) Ald. γέροντο διδάσκαλον diviſim, duobusque accentibus, unde, aliter quondam in libris Platonis lectum fuiſſe, non ſine cauſa opineris.

p. 9. *l.* 4. εἰς ἀλλήλω) Ald. Baſ. 2. ἀλλήλους.

ead. l. 14. ἐπεδημείτην) Margg. Stephh. γραι. ἐπεδημησάτην. nimirum ſic legitur in Baſ. 2.

p. 10. *l.* 1. εἰρημένων) Ald. εἰρήμενον· vitioſe.

ead. l. 6. τόσον δέ μοι εἰπ.) Steph. malebat τόσονδε δέ μοι εἰπ. inſerto δὲ, ut paulo poſt τόδε δέ μοι εἰπέτον.

ead. l. 14. ἐμοὶ δοκεῖν) Et hic forte deeſſe δὲ ſuſpicabatur Steph.

ead. l. 17. ἐπεσκότει τῷ Κτ. τῆς ὄψεως) Ald. Baſ. 1. 2. ἐπεσκότει. nullo ſenſu. Veram lectionem ἐπεσκότει reduxit Steph. e Ficini libris, qui vertit: *& Cteſippum aſpectu Cliniae excluderet.*

p. 11. *l.* 6. μάλα προθύμως) Sic Baſ. 1. 2. ſed Ald. πρόθυμος.

ead. l. 10. δῆλον, ὅτι) Sic, diviſim, vult Steph. cum Ald. Baſ. 1. 2. δηλονότι exhibeant. Vide ipſum plura hac de re diſputantem ad init. Protag.

p. 13. *l.* 3. θάῤῥει τὸ ἀποκρ.) Steph. malebat θαῤῥεῖ, ut de ipso adolescente dicatur.

ead. l. 14. ὅπερ σοι φαίνεται) Margg. Stephh. γραι. ὁπότερα σοὶ φαίν. Sic Baf. 2. Utraque bene habet lectio, nisi quod altera firmari posse videatur oratione Dionysodori in seqq. ὁπότερ' ἂν ἀποκρίνηται τὸ μειράκιον.

p. 14. *l.* 7. Ἄλλοτι οὖν) Ald. Baf. 1. ἄλλοι τι οὖν. mendose.

p. 15. *l.* 3. καὶ οὐκ ὀρθῶς) Ald. καὶ οὐκ εὐθὺς, iam notante Steph. in marg. Sic & Baf. 1. At Baf. 2. & Ficin. vulgatam tuentur.

ead. l. 10. Ποτέρα γὰρ -- ἐπίστανται;) Steph. ita quoque distingui posse censebat: ποτέρα γὰρ οἱ μ. μανθάνουσιν; ut ποτέρα sit nomen.

p. 17. *l.* 4 *sq.* ὥσπερ πάλαισμα ὥρμα) Stephh. margg. γραι. ὥσπερ εἰς πάλ. ὥρμ.

ead. l. 15. ἀκούειν τῶν σοφιστικῶν) Sic Baf. 2. & Ficin. at Ald. Baf. 1. τῶν σοφιστῶν. aeque bene.

p. 18. *l.* 5. ἐπιστήμην, ταύτῃ τῇ ἐπιστήμῃ) Sic Baf. 2. Ficin. Sed Ald. Baf. 1. τὴν ἐπιστήμην ταύτην, τῇ ἐπιστήμῃ.

ibid. l. 6. μᾶλλον μὲν) Steph. rectius legi videbatur μᾶλλον μήν.

p. 19. *l.* 3. ἐνδείξεσθον) Sic Baf. 2. cum Ald. ἐνδείξαισθαι, vitiose pro ἐνδείξασθαι, quod est in Baf. 1. exhibeat. tum vero referendum erit ad νόμιζε.

ead. l. 4. ἀποδώσειν) Steph. coniunctivo ἀποδῶσιν opus esse videbatur, si recte praecesserit ἵνα. Quomodo Ficinus legerit, non liquet, vertit enim: *ac ego, quae promiserunt, ab illis exposcam.*

p. 20. *l.* 17. ἴσως γὰρ ἄν τις ἡμῖν) Sic Ald. Baf. 1. At Baf. 2. ἡμῶν, notante iam Steph.

p. 21. *l.* 1. χοροῦ) Vitiose Steph. editio ex Baf. 1. unde & in Francof. fluxit.

ead. l. 2. παραλείπωμεν) Ald. Baf. παραλείπομεν.

p. 23. *l.* 6. ἐσθίοιμεν δὲ) ἐσθίομεν Baf. 2. vitiose. nam sequitur πίνοιμεν.

ead. l. 16. Δεῖ ἄρα) Ald. Baf. 1. 2. Δεῖν ἄρα, quod, cur Steph. contra libros immutarit, nullam causam video.

p. 26. *l.* 14. δεῖν παραλαμβάνειν) Sic Ald. Baf. 1. 2. Sed Steph. *forte* δεῖ, *oportet eum, qui hoc existimet*, illam *ac-*

cipere a parent. & tutor. &c. Ficinus: *Sed existimare quisque debet:* unde tamen, an ita quoque legerit, vix colligas.

p. 31. *l.* 2. ὥστ' ἐκεῖνα ποιήσειεν) Sic Baſ. 1. Ald. Ficin. quoque: *ut illa faciat aliquis existentia nunquam.* Sed Baſ. 2. ὥστε Κλεινίας ποιήσειεν, notante quoque Steph. marg.

p. 33. *l.* 11 *ſq.* τῇ Μηδείᾳ τῇ Κόλχῳ) Steph. contra omnes libros malebat: τῇ Κόλχων. citra neceſſitatem.

ead. l. 13. εἰ δ' ὅ, τι βούλεται) Steph. in marg. *forte* εἰ δ' ἄλλό τι βούλεται· quo eum induxit Ficini verſio: *vel aliud quodcunque in me exemplum edat.* Sed is vulgatam παραφράζει.

p. 34. *l.* 7 *ſq.* Οὐκοῦν σύ τ' ἂν) Ficin. *Atqui nunquam, inquit Dionyſodorus, oſtendes, ubi alterum alteri audiveris contradicentem:* ut adeo, eum οὔκουν legiſſe, probabile ſit.

p. 35. *l.* 15. παρὰ σοῦ μάλιστα πεύσεσθαι) Sic Baſ. 1. Ficin. At Aldina περὶ σου μαλ. π. Baſ. 2. παρὰ σοῦ κάλλιστα πεύσεσθαι, notante quoque Steph. in marg.

ibid. ἀλλό τι ἢ ψευδῆ λέγειν οὐκ ἔστι) Steph. coni. ἄλλοτι ἢ ὅτι ψ. λ. quam coniecturam Ficino debet: is enim vertit, *num enim iſtud vult, ut falſa dicere impoſſibile ſit.*

p. 36. *l.* 9. οὐδ' ἄρα ἐκέλευον) Steph. in marg. *legit & Fic.* ἐκέλευεν· *ſed nihil neceſſe fuerit mutare* ἐκέλευον· *ut ſint tranſiecta verba, ſicut alibi ſaepe: pro,* οὐδ' ἄρα ἐκέλευον ἐγὼ νῦν δὴ, ἔφη ὁ Διονυσ.

ead. l. 15. ἀλλ' ὅτι) Steph. coni. ἀλλ' ἔτι.

p. 37. *l.* 6. οὕτως εἰ κρόνος) Sic Ald. Baſ. 1. Ficin. Sed Baſ. 2. κενός. Sed praeferenda eſt vulgata multo doctior. nam κρόνος de ſenibus dicitur: quibus cum delirium proprium ſit, ponitur deinde pro quovis deliro, inſipienti. Eadem virtute κρόνος occurrit in Ariſtoph. Plut. 323. ubi vid. Spanh. ideoque ἀρχαῖος καὶ μάταιος ſaepe Ariſtoph. coniunguntur.

ead. l. 11. τὸ γὰρ οὐκ ἔχω) Steph. malebat: τὸ γὰρ ὅτι οὐκ ἔχω, ut paulo poſt: τὸ ὅτι οὐκ ἔχω. Iam Ficinus: *quod enim dicis, me non habere* &c.

p. 38. *l.* 8 *ſq.* Πότερον οὖν ψυχὴν ἔχοντα νοεῖ τὰ νοοῦντα; ἢ καὶ τὰ ἄψυχα) Steph. notat hanc lectionis varietatem: Πότερον οὖν τὰ τὴν ψυχὴν ἔχοντα νοεῖν νομιστέα, ἢ καὶ τὰ ἄψυχα, quae cum in vetuſtis libris non compareat, e Serrani verſione petita videtur.

p. 41. *l.* 7. Οὐδ' εἴγε εἴ τις) Steph. coni. οὐδέ γε εἴ τις, orationis ſeriei convenienter.

p. 43. *l.* 5. τραποίμεθ' ἂν, ὅτι ἐπὶ) Steph. in marg. *forte* τραπ. ἂν ἔτι; ἐπὶ, *niſi pro* ὅτι *ſcribendum ſit* ἔφην· quam poſteriorem coniecturam furatus eſt e Ficin. ita vertente: *Quo ergo nos vertemus, inquam, & quam ad artem.*

p. 44. *l.* 3. τοῦτο οὕτως ἔχοι) ἔχει; Baſ. 1. 2. Ald. Ficin. interrogative.

p. 46. *l.* 16. τί ἀπεργάζεται) Baſ. 2. τί ἀπεργάζεται ἔργον.

p. 48. *l.* 7. ἢ τ' ἄλλους ἀγαθοὺς π.) Steph. malebat ἢ τοὺς ἄλλους ἀγαθ. π. alioqui ſcribendum eſſe, τἄλλους.

p. 55. *l.* 2. τέχνην ἔχων, ἰδιώτου ἀνθρώπου) Ald. Baſ. 1. 2. τέχνην ἔχων ἰδιώτου ἀνθρώπου. Steph. vero auctor eſt, legi quoque τέχνην ἔχων σὺ μέν, ἐγὼ δ' ἰδιώτης ὢν ἄνθρωπος. Ita nimirum Ficin. *cum artem hanc teneas, ego vero ſim rudis.* Idem Steph. bene monet, in vulg. repeti debere: καλλ. ἐπίστ. ἐμοῦ ἰδιώτου.

p. 56. *l.* 13. ὦ πολύτιμε Εὐθ.) Baſ. 2. & inde margg. Stephh. πολυτίμητε.

p. 57. *l.* 3. ἄνδρες, ἄδικοί εἰσιν) Steph. coni. οὐκ ἄδικοι, contra omnem orationis ſeriem.

p. 58. *l.* 14. σχεδόν τι ἐγὼ τοῦτ' εὖ οἶδα) Haec verba per parentheſin poni debere videbatur Steph.

p. 60. *l.* 3. ἕτερός ἐστιν τοὐμοῦ πατρός) Steph. volebat ἕτ. ἆρα. *alius eſt certe quam pater meus.* Ficin. vertit: *Pater autem veſter, cum eadem ſibi contigerint, alius eſt, quam pater meus.* Unde coniecturam capere poſſis, illum legiſſe, πατὴρ, ὃ ταυτὰ ταῦτα πέπονθεν, ἕτερος κ. λ. mutato οὗ in ὅ, omiſſa interrogatione poſt πέπονθεν.

ead. l. 12. Πότερον ἀνθρώπων) Steph. Ficinum ſecutus: Utrum hominum *dumtaxat?* coni. πότερον ἀνθρώπων μόνον.

ead. l. 13. ἢ καὶ ἵππων, ἢ καὶ τῶν ἄλλ.) Aut partic. ἢ poſt ἵππων tollendam, aut poſt ἵππων interrogationis notam ponendam eſſe, recte videbat Steph.

p. 61. *l.* 10. Καὶ ἔτι γέ μοι μικρ.) Steph. coni. καὶ ἔν τι γέ μοι μικρ.

ead. l. 14. ὅτι μαθὼν) Steph. malebat diviſim, ὅ, τι μαθὼν, eundem, ut fere ſemper, Ficin. ſecutus: *diſciplinam* quandam *adeptus.*

p. 63. *l.* 7. Ὡμολογήκαμεν οὖν) Steph. coni. ὡμολόγηκα μὲν οὖν.

p. 64. *l.* 5. καὶ οἵοντε λέγοντα) Sic Ald. Baf. 1. 2. Ficin. Sed Steph. auctor eſt legi quoque καὶ οἵοντε λέγων τι. Sed ne ita quidem orationis ſtructuram procedere, eidem videbatur Steph. Unde ipſe proponit: καὶ εἰ οἵοντε λέγοντα, h. ſenſu: *ac, ſi fieri poteſt, ut qui dicit, nihil dicat, id tu quoque facere mihi videris.*

p. 66. *l.* 16. ἔπειτα ἀλλά μοι δοκεῖτε) Vox ἔπειτα, quam nec Ficinus expreſſit, ſuſpecta videtur Stephano.

p. 67. *l.* 2. τῶν δημιουργῶν) Steph. monet poſt h. v. interrogat. notam poni poſſe, quam iam videre licet in Ficini verſione.

p. 69. *l.* 4. ἔστι γὰρ ἔμοιγε καὶ βωμοὶ) Steph. εἰσί γαρ ἔμοιγε.

p. 70. *l.* 3. θῦσαι ἂν θεῷ) Steph. malebat θῦσαι θεῷ, omiſſo ἂν.

p. 72. *l.* 11. πρὸς μὲν τὸ ταχὺ) Hic aliquod mendum latere, aut aliquid deeſſe ſuſpicabatur Steph. cum Fic. vertat: *Huius rei myſterium quam ociſſime docere poſſe praeclarum eſt.*

p. 73. *l.* 3. τὸ δὲ ὕδωρ εὐωνότατον) Steph. ait, legi quoque τὸ δ' ὕδωρ δ' ὅμως εὐων. qui tamen vulgatam praefert, & ſubaudiendum cenſet, quod raritati opponatur hoc modo: at vero aqua, *propter abundantiam* viliſſima eſt, cum alioqui ſit optima.

p. 74. *l.* 8. ἢ ἅπερ) Sic Ald. Baſ. 1. Sed Baſ. 2. ἢ οἵαπερ quod etiam praeferebat Steph. & explicabat: quid aliud mihi de illis videbatur, quam eſſe tales, *qualia* ſunt, quae quis ſemper nugantes eos audire poſſit.

IN PROTAGORAM.

p. 83. Πρωτάγορας ἢ Σοφισταὶ ἐνδεικτικός. Petita & haec inſcriptio e Diog. Laërt.

p. 84. *l.* 1. δηλαδὴ) Steph. rectius δῆλα δὴ ὅτι ſcribi debere contendit, addita Ciceronis interpretatione: *An quidem dubium non eſt quin* &c.

p. 85. *l.* 14. Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν; εἰ μή σε

τὶ κωλύει, καθιζ) Steph. haec ita refingit: Τί οὖν; οὐ δι-γήσαιο ἡμῖν τ. ξυνουσίαν (εἰ μή σε τὶ κωλύει) καθ. -- τουτονί;

p. 86. *l.* 9 *sq.* στὰς παρ' ἐμοί) Male Ficin. *prope me divertit*, cui obstant sqq. καταλύει -- παρὰ Καλλίᾳ. Iungend. potius cum ἔφη, *adstans mihi dixit.*

p. 87. *l.* 13. ἔτι γὰρ παῖς ἦ) Bas. 2. ἦν, sed ἦ Attice positum videtur pro ἦν.

p. 89. *l.* 14. τὸν ἀνδρα εἶναι) Steph. marg. τὸ εἶναι *videtur abundare: alioqui fuerit* ὀνομάζουσι *pro* λεγουσι. Recte.

p. 90 *l.* 2. ἔμπροσθεν ἔοικεν) Steph. malebat inserto τοῦτο sic, ἔμπροσθεν τουτο ἔοικεν, hoc sensu: *si haec res similis est superioribus, & de hac ut de illis dicendum est.*

ead. l. 6. Ἀλλ' ἀρα -- μὴ) Steph. coni. ἀλλ' ὅρα, aut certe subaudiendum esse. Ficinus: *Sed enim* vide, *ne alio tuum tendat studium.*

p. 97. *l.* 2. τὸν δὲ μετεισενόησα, ἔφη Ὅμηρος) Τὸν δὲ μετ' εἰσεν. scribi debere ex Homero iam animadvertit Steph. Idem malit φαίη ἂν Ὅμηρος. non male. At equidem haec verba, tanquam e margine allata, omnino abesse malim, cum Plato & alias, ubi loqu ndi formas ex Homero petit, eius nomen silentio praetereat. Sic paulo post: καὶ μὲν δὴ καὶ Τάνταλόν γε ἐσεῖδον, nulla Homeri mentione.

p. 98. *l.* 1. πάνυ καλός) Steph. malebat καλόν, postulante ipsa orationis serie.

p. 99. *l.* 5. μάλιστα γενέσθαι) Steph. coni. μάλιστα ἂν γενέσθαι.

p. 101. *l.* 8. καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοι ἐστίν) Sic Ald. Bas. 1. 2. In margine tamen Stephaniani exempli comparet haec lectionis varietas: *Al.* καὶ γὰρ καὶ ἔτη πολλά μοι ἐστίν, quae e Serrani versione, *multos enim iam annos vixi*, quin petita sit, nullus dubito. Ficinus vertit: *sum equidem grandis natu;* ut adeo vel hanc ipsam lectionem in suis libris invenerit, vel τὸ ἔτη e praeced. repetierit. In seqq. deesse putabat Steph. καὶ ante οὐδενός.

ead. l. 10. ὥστε πολύ μοι) Steph. auctor est, legi quoque ὥστε ἅπαξ ἁπλῶς πολύ μοι. nimirum Serrani exhibet versio: *Itaque* (*ut rem universim complectar*) *mihi* &c.

p. 102. *l.* 3. κατεσκευάζομεν) Steph. in margine notat, *fort.* ἀνεσκευάζομεν. & ad seq. συνεκαθεζόμεθα, *quidam vet. Cod.*

(qui est Bas. 2.) *συνεσκευάσμεθα, pro συνεκαθεζόμεθα. atque ita de sedilibus in alium coenaculi locum translatis iocose usurparetur verbum, quod de iis dicitur, qui collectis vasis alio commigrant: & credibile esset dictum itidem fuisse in praeced.* ἀνεσκευάζομεν, *videlicet* τὰ βάθρα & τὰς κλίνας. *Alioqui utrobique, quae hic est lectio, ferri potest.*

p. 108. *l.* 14 *sq.* ἁρπῖξαι καὶ δέρμασι στερ. καὶ ἀναίμοις) Ficini versio auctius exhibet: *fetas*, callum, *pelles itidem quam durissimas*: unde Stephano vero fit simile, Ficin. invenisse, ἁρπῖξι, καὶ τύλοις, καὶ δ. στερ. Ex quo & e Cornar. Steph. ἀνέμοις, quae est Ald. Bas. 1. 2. lectio, recte mutavit in ἀναίμοις. Idem Steph. ait, in vet. I. gi post ἀναίμοις, -- ταρσοὺς δ' ἐπεστερέωσεν &c. Sic nimirum Serrani versio: Pedisque plantam *compacta ossium articulatione firmavit.* Quo tamen additamento opus non est, cum ὅπλαι iam praecedant.

p. 117. *l.* 5. οιεσθαί γε χρὴ -- ἐκ παίδων) Steph. legit ὅτι ἐκ παίδων.

p. 119. *l.* 12. ὡς δὲ καὶ ἡ πόλις) Rectius ὡς scribi, quum sit pro οὕτως, bene monet Steph.

p. 120. *l.* 2. πολλοὶ νίεῖς) Steph. in marg. *hoc* πολλοὶ *additum ex vet. lib.* qui est, ut fere semper Bas. 2. Expressum quoque a Serrano video.

p. 122. *l.* 4. ἡμῖν διδάξειε) Steph. τὸ ἡμῖν explicat *in gratiam nostram, rogatu nostro*: dubitat tamen, an non potius ante διδάσκαλος sit ponendum, praeeunte Ficin. & Serran.

p. 123. *l.* 1. ἂν φησι ἄξια) Steph. coni. ἂν φῇ ἄξια.

p. 124. *l.* 13. ὡς αὐτὰ δηλοῖ) Steph. in notis scribendum esse ὡς αὐτὸ δηλοῖ contendit, cum & alibi hoc genus scribendi in Platone sit obvium.

p. 125. *l.* 13. τὰ μόρια, μόρια ἐστι) Vox ista μόρια in hoc posteriori loco videbatur abundare Stephano.

p. 126. *l.* 2. οἱ μὲν, ἄλλο, οἱ δὲ, ἄλλο;) Steph. coniiciebat: οἱ μὲν, ἄλλου, οἱ δὲ, ἄλλου. sane, si praecedentia consideres, non male.

ead. l. 5. Ἔστι γὰρ καὶ ταῦτα) Stephh. margg. γραι. ἔστι γὰρ οὖν. nimirum sic exhibet Bas. 2.

ead. l. 14. ἢ δηλαδὴ) Steph. vult scribi δῆλα δὴ divisim, ut initio Dialogi δῆλον ὅτι pro vulgato δηλονότι.

p. 127. *l.* 1. Οὐκ ἔφη.) Alii οὔκ, ἔφη. Sed bene Steph. monuit, οὐκ ἔφη, *negavit* significare h. l.

p. 128. *l.* 4. ἆρ' οὐκ ὀρθῶς) Serr. Cod. *εἰ μὴ οὐκ ὀρθῶς·* vertit enim, *si quidem vos non recte percepi:* improbante Steph.

ead. l. 16. *δίκαιον ἄρα τόδε, ἀνόσιον.*) Ficinus interpretatur, *iniusta itaque illa, haec profana:* ut adeo legisse videatur, *ἄδικον ἄρα τὸ μὲν, τὸ δὲ ἀνόσιον.*

p. 129. *l.* 16. ἔστιν ὃ μὴ προσέοικε) Marg. Steph. *scribendo ἔστιν ὅ, τι προσέοικε, vel ἔστιν ᾧ προσέοικε (nam ἔστιν ὃ μὴ qui diceretur?) belle cohaerebit particula γὰρ cum praeced. hoc modo:* nam quidlibet cuilibet aliquatenus simile est. album enim nigro aliqua in re simile est &c.

p. 132. *l.* 10. ἆρά ἐστιν ἀφροσύνη) Steph. malit ἄρα ἐστὶν sine interrogatione.

p. 134. *l.* 8. εὖ βούλεσθαι) βουλεύεσθαι coniiciebat Steph.

p. 137. *l. penult.* τὰ μακρὰ ταῦτα ἀδύνατος) Steph. volebat legi *πρὸς τὰ μακρὰ*, inserta praepositione, alioqui subaudiendum esse aliquem infinitivum.

ead. l. ult. ἀλλά σε ἐχρῆν ἡμῖν συγχωρεῖν) Sic Ald. Bas. 1. 2. Ficin. quoque vertit: *verum tua intererat, nobis aliquantulum indulgere.* Sed Steph. notavit in margine hancce lectionis varietatem: ἀλλά σε ἐχρῆν τὸ δὴ κατά σε ἡμῖν συγχωρεῖν. quae quidem nititur Codd. Serrani, qui vertit: *Verum tua intererat, & ex tuae personae ratione consentaneum esse videbatur, te hac in re nobis aliquantum indulgere.*

p. 138. *l.* 7. ἀντελάβετο τρίβωνος) Steph. notat haec in marg. *In vulg. ἀντελάβετο τὸ τρίβωνος. sed scribendum ἀντελάβετό τε τρίβωνος, vel ἀντελάβετο τοῦ τρίβωνος.* Posterius aperte exhibet Bas. 2. Recte.

p. 140. *l.* 6. οὐχ ὅτι παίζει) Aut aliquot verba deesse, aut haec οὐχ ὅτι pro aliis posita esse suspicabatur Steph. Nam etiamsi scribatur ὅ, τι παίζει i. e. *quod ludit, quod iocatur,* non procedere orationis structuram.

p. 143. *l.* 3. ἐκτείναντα, οὐρίᾳ ἐφέντα) Steph. malebat ἐκτείναντα, καὶ οὐρίᾳ ἐφ. Ipse tamen, alibi etiam duo participia non interiecta copula inveniri, ait. Paulo post: ἀλλὰ μέσον τοι ἀμφοτέρους offendebant Steph. qui corrigebat: *τὶ ἀμφοτέρους*, ut intelligatur, quod sit medium inter utrumque. duo enim proposuisse Platonem, primum *μήτε σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν* &c. deinde *μήτ' αὖ Πρωταγόραν, πάντα κάλων ἐκτείναντα* &c. Vulgatum tuetur Ficinus.

ead. l. 13. ἐκ περιττοῦ αἱρεθήσεται) Ald. Baſ. 1. 2. εἰρήσεται. Quomodo Ficinus invenerit in ſuis libris, non ſatis liquet. Nimis enim conciſe vertit: *Quapropter ſupervacuus erit.* Steph. lect. αἱρεθήσεται e Serrani libris arceſſiſſe videtur, qui vertit: *Itaque ille nequidquam & ſupervacanea opera* creabitur.

p. 145. *l.* 3 *ſq.* καὶ νῦν ἔσται τῷ ἐρώτημα) Steph. coni. ἔσται τὸ ἐρώτημα.

p. 151. *l.* 11. ὅπως ἔχω ὃ σὺ λέγεις) Steph. coni. περὶ ὃ σὺ λέγεις. Neque tamen vel ſic h. l. mendo carere videbatur eidem Steph.

p. 152. *l.* 2. περίεισιν· οὓς ὥσπερ Πρωτ.) Steph. in marg. notat hanc lectionis varietatem: περίεισι· καὶ δὴ καὶ τούτους παρίεισιν, ὥσπερ οὓς Πρωταγ. &c. quam quidem ſcripturam, petitam unice e Serrani verſione: *ſuperare, illosque poſt ſe magnis intervallis relinquere &c.* ipſe vulgatae, quam omnes editt. vett. mordicus tenent, poſthabendam in notis cenſebat. Idem artic. τοὺς poſt ἔλεγε expungendum eſſe arbitrabatur.

p. 153. *l.* 3. εἰ γὰρ ἐθέλει τὶς) Steph. coni. ἐθέλοι. ſine cauſa.

p. 155. *l.* 8. τοῦτό γε φαίην ἂν, καὶ) Steph. auctor eſt, legi quoque: φανείη ἄν, καὶ &c. nimirum Serranus vertit: *inſulſum hoc* videretur.

ead. l. 12. ἀποκρινόμενον· εἰπόντα) Steph. volebat inſeri τὸν μὲν εἰπόντα, ut reſponderet τῷ τὸν δέ· praeeunte Serrani verſione.

p. 156. *l.* 7. ὥσανεὶ λέγοι) Steph. malebat diviſim ὡς ἂν εἰ, uti paulo poſt δῆλον ὅτι, pro δηλονότι.

p. 157. l. 7. οὐκ ἐγχωρεῖ γενέσθαι) Steph. ſcribendum cenſebat: οὐκ ἐγχ. γεν. κακῷ· aut dicendum ſubaudiri, hoc ſenſu: *fieri enim poteſt, ut bonus fiat malus: at non fieri poteſt ut malus fiat* ſc. *malus.*

p. 159. *l.* 3. εὐρυέδους — χθονός) Steph. putabat rectius forſan ſcribi εὐρυεδοῦς, cui non adſentior.

ead. l. 6. ἐπαινοῖμι) Steph. in marg. *fort.* ἐπαίνημι, *quum ſequatur* φιλέω, *ut dicitur* αἴνημι.

p. 160. *l.* 11. διαδικηθέντες) Syllabam δι ex praeced. πατρίδι h. v. adhaeſiſſe acute vidit Steph.

p. 162. *l.* 12 *ſq.* ἐρωτᾷν τὸν ἕτερον) Margg. Stephh. γραι. ἐρωτᾷν τὸν Σωκράτη· quam lectionem cum Ficino Serranus in ſuis libris invenit.

p. 165. *l.* 2. καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν, ὡς ἀποκρινούμενος) Steph. ait legi quoque ἐκέλευεν ἐμὲ ἐρωτᾶν, ὡς αὐτὸς ἀποκρινούμενος, quod e Serrani verſione, exhibente, *& iuſſit me interrogare, ut ipſe reſpondendi partes praeſtaret*, hauſiſſe Stephanum ne dubites.

p. 166. *l.* 6. οὐκ ἔσθ' ὅπως οὐ καὶ ν. δή. ἐγὼ) Poſt δὴ interpunctionem tollendam cenſebat Steph. ut οὐκ ἔσθ' ὅπως οὐ jungatur ſeqq. hoc modo: οὐκ ἔσθ' ὅπως οὐ καὶ νῦν δὴ ἐπιθυμῶ ἀκουσαι, h. ſenſu: *fieri certe nullo modo poteſt, quin cupiam* &c.

p. 167. *l.* 4. ὑπὸ λόγον τίθεμαι) Steph. in marg. haec notat: *Malo* ὑπόλογον, *ut ſit pro* ἐν οὐδενὶ ὑπολόγῳ τίθεμαι, *ut loquitur Demoſth. Niſi autem & pro* οὐδὲν *ſcribendum ſit* οὐδένα, *dicendum erit,* ὑπόλογον *pro adiectivo aut ſubſtantivo neutro eſſe poſitum.* quam emendationem pluribus aſſertum in notis ivit.

p. 171. *l.* 3. Ἔγωγε. Οἷον λέγεις; καθ' ὅ) Steph. auctor eſt, legi quoque ἐγὼ γὰρ λέγω καθ' ὅ. nimirum in Ficini & Serrani libris.

p. 174. *l.* 10. τοῦτο τὸ πάθημα, ἥδονῆς ἥττ.) Steph. malebat τουτο πάθημα, τὸ ἥδονῆς ἥττ. nulla invitante neceſſitate.

p. 175. *l.* 14. χαίρειν δ' ὅμως ποιεῖ) Notantur in Stephh. margg. haecce: *Lectio haec eſt ex vet. exempl.* (Baſ. 2.) *altera autem, quae exſtat in praeced. editt.* (Baſ. 1. Ald.) *eſt iſta:* χαίρειν δὲ μόνον ποιῇ, ὅμως δ' ἂν κακὰ ᾖ, ὅτι μαθόντα χαίρειν ποιεῖ, καὶ ὅπη οὖν.

p. 177. *l.* 4. ἀλλ' ἥδονὰς) Steph. malebat ἀλλ' ἢ ἥδονὰς, inſerto ἢ. non male; neque tamen neceſſario. Paulo poſt pro λέγεται eidem in mentem veniebat, an non praeſtaret legere λέγετε.

p. 180. *l.* 4. ἢ πλείω, τὰ δὲ, ἐλάττω;) Steph. coni. ἢ τὰ μὲν πλείω, τὰ δὲ ἐλ. orationis ſane ſerie non inconvenienter.

p. 182. *l.* 10. τὴν μετρητικὴν ὁμολόγει.) Poſt μετρητικὴν videbatur interpungendum Steph. ita ut ex anteced. repetantur verba: ὁμολογήσειν ἀνθρώπους τὴν μετρ. σώζειν, κ. λ. In vulgata tamen interpunct. acquieſcendum exiſtimo.

p. 183. *l.* 4. καὶ πορρωτέρω καὶ ἐγγυτέρω) Steph. coni. καὶ τοῦ πορρ. καὶ τοῦ ἐγγυτέρω.

p. 184. *l.* 12 *ſq.* οὔτε αὐτοὶ) Steph. videbatur verbum προσέρχεσθε poſt haec verba deeſſe; vel ſubaudiri debere ex ſeq. πέμπετε.

p. 186. *l.* 2. τοῦ πολλοῦ ἀξίων) Margg. Stephh. γραι. τῶν πολλοῦ ἀξίων. nimirum in Baſ. 2.

p. 187. *l.* 6. ἰδίαν δὲ αὐτοῦ ἕκαστον) αὐτῶν ἕκαστον coniiciebat Steph.

p. 192. *l.* 1. ἢ ἐπιστήμη ἢ ἀρετὴ) Steph. legit ἢ ἐπιστήμη ἢ ἀρετή. Optime.

IN HIPPIAM.

p. 197. Ἱππίας ἢ περὶ τοῦ ψεύδους, ἀνατρεπτικός. Laudat ſic hunc dialogum Laërt. III, 60. unde in libros Platonis tranſcriptum eſt a Grammaticis.

p. 198. *l.* 1. Σὺ δὲ δὴ τί σιγᾷς) Baſ. 2. Σὺ δὲ τί σιγᾷς. ſed Ald. Baſ. 1. recte ſervant τὸ δή.

p. 199. *l.* 13. πιστευτικῶς) Marg. Steph. γραι. πυκτευτικῶς. nimirum ſic exhibet Baſ. 2. Serranus quoque in ſuis libris hanc lectionem inveniſſe videtur, cum vertat: *corpore* pugilice *obfirmato.*

p. 200. *l.* 4. ἐπελείφθην σοῦ) Steph. emendandum cenſet ἀπελείφθην, h. ſenſu: *aſſequi non potui quae a te dicebantur.* Iam Ficin. & Serran. *quaedam me verba ſubterfugerunt.*

ead. l. 7. καὶ Εὔδικος ὅδε) Ald. καὶ ἄδικος· male. Quam tamen lectionem ita defendi poſſe putabat Steph. ut Ἄδικος pro Εὔδικος dictum ſit, immutato per iocoſam paronomaſiam nomine.

p. 201. *l.* 11. ἀλλ' ἁπλούστατος.) Steph. auctor eſt, in quodam vet. poſt ἁπλούστατος legi καὶ ἀληθέστατος· ſic etiam paulo poſt copulari ἀληθὴς & ἁπλοῦς, iuxta illud dictum Euripidis: ἁπλοῦς ὁ μύθος τῆς ἀληθείας ἔφυ. Sic etiam his duobus paulo poſt opponuntur, πολύτροπος & ψευδής. Neque tamen inde ſequitur & hoc loco Platonem coniunxiſſe, immo ἀληθέστατος priori loco quam maxime gloſſema redolere videtur.

p. 203. *l.* 11. οὐκ ἐπίστανται ὅ, τι ποιοῦσιν; ἢ ἐπίστανται;) Sic Ald. Baſ. 1. Ficinus quoque: *ignorantne quod faciunt, an ſciunt?* cum in Baſ. 2. verba ὅ, τι ποιοῦσιν; ἢ ἐπίστανται; omnino deſint: quae tamen per ſeriem diſputationis requiruntur.

ead. l. 12. Καὶ μάλα καὶ σφόδρα) Baſ. 2. καὶ μάλα σφόδρα, omiſſo καί. male.

p. 204. *l.* 14. ἆρ' οὐχ ὃς ἂν οὕτως ἔχοι) Sic Ald. Baſ. 1. ſed in Baſ. 2. ἄρα male omittitur. Pro ἔχοι Stephano videbatur ſcribi potius debere ἔχῃ· uti paulo poſt καὶ μάλιστα ἂν εἴπῃς in εἴποις, quia ἔροιτο & βούλοιο praecedant, mutat.

p. 206. *l.* 2. οὐδὲ ἀριθμῶν) Baſ. 1. 2. ἀριθμόν. Ficinus quoque: *neque de numero mentietur.* quam lectionem cur Steph. in ἀριθμῶν immutaverit, cauſam nullam idoneam video.

ead. l. 11. Καὶ ἐλεχθη γέ τοι καὶ τουτο) Ald. Baſ. 1. 2. ἐλέγχθη γέ τοι καὶ τουτο. recte vero mutatum a Steph. praeeunte Ficin. *ita dictum fuit & iſtud.*

p. 208. *l.* 14. ἔπειτα, ὑποδήματα) Marg. Steph. γραι. ἔτι τὰ ὑποδήματα. Ficin. *quinetiam.* Serran. *praeterea.* Sed ἔπειτα recte habet, cum praecedat πρῶτον μέν.

p. 209. *l.* 5. ἐπιστημων Baſ. 2. ἐπιστημῶν, quod ſcripturae vitium notavit Steph. in marg.

p. 211. *l.* 9. ἐπανερωτῶ) Baſ. 2. ἐπανηρωτῶ. vitioſe.

ead. l. 14. τὸν Ἀχιλλέα -- λέγειν,) Poſt Ἀχιλλέα rectius interpungi, quam poſt λέγειν, cenſebat idem Steph.

p. 214. *l.* 8. ὡς αἰσθανόμενος) ὡς μὴ αἰσθανόμενος Steph. in marg. Sic enim Ficinus: *utpote qui mendacium non animadvertit.* ita quoque Serranus.

ead. l. 10. ὅτι λέγων, ὕστερον) Alii poſt ὕστερον interpungunt, ſed, utrocunque modo incidatur, omiſſa quaedam eſſe verba hariolabatur Steph.

p. 218. *l.* 13. ταῦτα ποιῶν) Marg. Steph. ταῦτα ἐγὼ ποιῶ· neſciebamus ubi.

p. 220. *l.* 6. Ὁ ἐκών. ἔοικε) Sic Ald. ſed Steph. ſcribi malebat, ὁ ἐκὼν, ὡς ἔοικε. aut ὁ ἐκὼν ἔοικε (ſic Baſ. 1. 2.) ut ſubaudiatur ἀμείνων εἶναι.

p. 222. *l.* 9. ἀμείνων, ἢ ἄκων) Marg. Steph. *forte* ἀμείνων ἢ ἢ ἄκων. Iam Ficinus: *an qua* invitus.

ead. l. penult. ἀμείνονος ἐστὶν, ἥτις) Steph. malebat: ἀμείνων ἐστὶν, ἥτις, ita ut ante ἀμείνων diſtinguatur.

IN CRATYLUM.

p. 229. Κρατύλος ἢ περὶ ὀνομάτων ὀρθότητος. Immigrarunt haec verba in Codd. Plat. e Diog. Laert. III, 58. cum alii,

Athen. II, 1. Plutarch. T. II. p. 391. ſimpliciter hunc dialogum Κρατύλου nomine inſigniant.

p. 230. *l.* 9. αὐτῷ γε τοῦτο ὄνομα εἶναι) Ald. Baſ. 1. αὐτῷ γε. At in Baſ. 1. & Ficin. verſ. haec verba non comparent, quae Fiſchero quoque gloſſema redolere videbantur.

ead. l. 10. καὶ τοῖς ἄλλοις πᾶσιν) Baſ. 2. τοῖς ἄλλοις ἀνθρώποις πᾶσιν, quod e margine irrepſit haud dubie.

p. 232. *l.* 11 *ſq.* οὐδὲν ἧττον τοῦτ' εἶναι ὀρθὸν τὸ μετατεθὲν τοῦ πρότερον κειμένου·) Baſ. 2. οὐδὲν ἧττον τὸ ὕστερον ὀρθῶς ἔχειν τοῦ προτέρου, ὥσπερ τοῖς οἰκέταις ἡμεῖς μετατιθέμεθα, οὐδὲν ἧττον τοῦτο εἶναι ὀρθὸν τὸ μετατεθὲν τοῦ προτέρου κειμένου. Sed uti vulgata τοῦ πρότερον κειμένου praeſtat, ita verba οὐδὲν ἧττον τὸ ὕστερον ὀρθῶς ἔχειν τοῦ προτέρου ex interpretamento alterius lectionis enata ſunt.

p. 233. *l.* 10. Οὔκουν εἴη ἂν λόγος ἀληθὴς) Steph. leg. ſuſpicatur λόγος, ὁ μὲν ἀληθής. Iam Ficinus: *nonne* illa quidem *vera erit oratio?* Vulgata per ἀνακολουθίαν defendi poteſt.

ead. l. 13. τοῦτο λόγῳ) Steph. coni. τούτῳ τῷ λόγῳ.

p. 235. *l.* 2 *ſq.* οἷα δ' ἂν σοι, τοιάδε·) Baſ. 2. τοιαῦτα δέ σοι. Ficinus quoque: *& tibi talia.*

p. 237. *l.* 5. τιμητέον ἕκαστον) Baſ. 2. τιμητέον, τῶν ὄντων ἕκαστον. quae verba perſpicuitatis cauſa addita puta.

p. 238. *l.* 4. ὀνομάζοντες) Ald. Baſ. 1. ὀνομάσοντες. Baſ. 2. καὶ διονομάζοντες, quod natum ex οἱ ὀνομάζοντες.

p. 239. *l.* 12. Ἆρ' οὖν διδάσκομεν) Steph. coni. ἆρ' οὐ διδάσκομεν· fine cauſa; quum ἆρ' οὖν aeque in ſciſcitando adhibeatur ac ἆρ' οὐ.

p. 240. *l.* 1. ὀνόματι καλῶς· καλῶς) Abeſt prius καλῶς ab Ald. Baſ. 1. 2. recte vero inſertum ab Stephano ex Ficini libris.

p. 241. *l.* 12. ἢ λίνῳ, ἢ ἐρίῳ) Ficin. vertit: *lincae, ſive lanae*, unde Stephano legiſſe videbatur: λινῷ, ἢ ἐρίνῳ. At quia Pollux VII, 28. e Platone ἐν ἐρεῷ ἱματίῳ, ipſum hunc locum reſpiciens laudat, ἐρεῷ reponi debere h. l. placebat poſt Iungerm. & Lederlin. ad Poll. l. l. Fiſchero.

p. 242. *l.* 15. ὁμοίως ὀρθῶς ἔχει) Ald. Baſ. 1. 2. ὅμως, quod mutari non debuiſſe a Steph. iudicabat Fiſch. cum ἐάν τε hanc partic. requirat, quam & Ficinus expreſſiſſe videtur.

p. 243. *l.* 9. εἰργασμένῳ) Baſ. 2. ἀπεργασμένῳ. Ald. Baſ. 1.

ἐργαζομένῳ, quam lectionem, cum res ipsa & Ficin. *qui fabricantem instruere potest*, confirmet, praefert Fisch.

p. 245. *l.* 7. ποτ' αν ἐστιν) Steph. malebat ποτ' ἂν εἴη sine causa.

ead. l. 9. Ὀρθοτάτη μὲν τῆς σκέψεως) Steph. opinabatur legi debere τις σκέψις, aut τῶν σκέψεων. Vulgatam tamen Fisch. e Graeca loquendi ratione defendit.

p. 248. *l.* 7. ἢ αὐτὸς ἡμῖν) Serran. legit ἤ, & vertit *etenim.* sine causa.

p. 249. *l.* 1. ἀμφότερα εἶναι τὰ ὀνόματα) Steph. offendit infin. εἶναι, ideoque corrigit ἀμφ. ὄντα τὰ ὀνόμ. sed aut ἀττικῶς abundat, aut suppl. ὥστε.

p. 253. *l.* 10 *sq.* σημεῖον δ' αὐτῷ τῆς καρτερίας, ἣ ἐν Τροίᾳ μονὴ μετὰ τόσου πλήθους) Ita Stephanus correxit, secutus Ficini libros: *argumentum vero tolerantiae suae apud Troiam tanto cum exercitu perduratio praebuit:* cum in Ald. Bas. 1. 2. exstet, σημεῖον δὲ αὐτοῦ ἡ ἐν Τροίᾳ μόνη τοῦ πλήθους τε καὶ καρτερίας· ὅτι.

p. 254. *l.* 13. εἰ ἀληθῆ τὰ περὶ αὐτοῦ) Ald. Bas. 1. 2. αὐτῶν, quod recte mutavit Steph. in αὐτοῦ, cum ad solum Tantalum referatur.

p. 255. *l.* 10. ᾧ δὴ προσήκειν φαμὲν ὀνόματι οἵῳτε εἶναι ἀπεργάζεσθαι) Serranus auctoritate, ut ait, veteris codicis legit: ᾧ δὴ προσήκειν φαμὲν ὄνομα οἷόν τε εἶναι τὸ εἶναι ἀπεργάζεσθαι, vertitque: *cui quidem affirmamus huiusmodi nomen maxime convenire, quod demonstrare possit, ipsum esse, qui ipsam existendi vim rationemque efficiat.* At hic sensus ex hac lectione, per Graeci sermonis indolem vix emergit. Vulgata bonum fundit sensum: quod maxime debet nomen efficere posse, h. e. declarare naturam vimque rerum.

ead. l. 12. αἴτιος μᾶλλον τοῦ ζῆν) Steph. marg. γραι. αἴτιος ἄλλος τοῦ ζῆν.

ead. l. 13. συμβαίνει οὖν ὀρθῶς ὀνομάζεσθαι οὕτως, τῷ θεὸς εἶναι) Ald. Bas. 1. συμβ. οὖν ὀρθ. ὀνομάζεσθαι, οὕτος ὁ θεὸς εἶναι. Nec aliter Ficin. *quapropter decens nomen est* hic deus *fortitus.*

p. 256. *l.* 1. κόρος γὰρ σημαίνει) Steph. marg. γραι. Κρόνος δὲ τὸ χρόνου κόρος σημαίνει. ubi, non constat: expressit tamen & Serranus in versione.

ead. l. 9. ἕως ἀπεπειράθην) Steph. coni. ἕως ἂν ἀπεπειρά-

θην, aut repetito ἀν e ſuperr. Fiſchero contra vulgata non ſollicitanda videbatur.

p. 258. *l. ult.* Δαίμονας; καὶ ὡς ἀληθῶς, ὦ Ἑρμ.) Varietas lectionis in exemplari Stephaniano notatur haec: Διελοίμεθα οὕτως, ὦ Ἑρμ. hauſta haud dubie e Serrani verſione: *de his ſane ita diſtincte agamus*, *Hermog.*

p. 260. *l.* 13. ἢ θεὸς ὄντης, ἢ ὄντοι θεᾶς) Emendat V. D. in Miſcc. Obſſ. Vol. II. p. 273. ἢ θεοῦ ὄντης, ἢ ὄντοῦ θεᾶς. Sed & nominativi ſic abſolute pro genitivis ponuntur.

p. 261. *l.* 2. ἐρωτᾶν ἱκανοὶ ὄντες) Steph. poſt ἐρωτᾶν putat inſeri debere καὶ ἀποκρίνεσθαι, quia ſupra Plato dixerit διαλεκτικὸν eſſe τὸν ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον. Induxiſſe Steph. in hanc opinionem videtur Ficin. vertendo: *ad interrogandum diſſerendumque promtiſſimi*, qui tamen ἐρωτᾶν exprimere adlaboravit, cum mox quoque ἐρωτηματικοὺς vocet *diſputatores*.

ead. l. 4. καὶ ἐρωτηματικοί) Abeſt ab Ald. Baſ. 1. 2. Additum a Steph. e veteri libro haud ſpernendae auctoritatis, qui eſt Ficini: nam vertit, *rhetores quidam, & diſputatores, & amatorii videntur.*

p. 262. *l.* 3. ἄλλων δὲ τοὐναντ.) Fiſch. omiſſam praepoſ. ἐπὶ cenſet, legendumque adeo ἐπ' ἄλλων δέ. ſine cauſa.

ead. l. 4. τὰ δὲ ὀξέως) Adverbium hoc, quod neque in Ald. Baſ. 1. 2. neque in Ficin. verſione comparet, primus addidiſſe Stephanus videbatur Fiſchero. at ex Serrani Codd. petitum eſſe patet ex ipſius verſione: *& quae* acute *pronuntiabamus*, *graviter pronuntiamus.*

ead. l. 5. Τοῦτο τοίνυν) Ita legit Ficinus, vertens *hoc & in ἀνθρωπος contingit:* cum Ald. Baſ. 1. τοῦτον, & Baſ. 2. τούτων exhibeant, cuius libri lectionem recte praefert Fiſch. lectioni a Steph. e Ficin. adoptatae.

ead. l. 14. τί οὖν τὸ μετὰ τοῦτο ἔρωμαί σε) Recte Steph. interpungit τί οὖν; τὸ μετὰ τοῦτο κ. λ. hoc ſenſu, *Quid igitur? an te de eo interrogem, quod conſequitur illa* &c. ita bene idem interpretatur τὸ μετὰ τοῦτο, cum Serran. & Ficin. peſſime vertant *deincens*, *poſt haec.*

p. 263. *l.* 1. ὥσπερ τὰ ἔμπροσθεν;) Ita Aldina diſtinguit. Sed Baſ. 1. 2. poſt ἔμπροσθεν puncti notam ponunt. quod, cum & Ficini addicant libri, probabat poſt Steph. Fiſch.

ead. l. 10. πιθανώτερον τούτου τοῖς ἀμφὶ Εὐθυφρ.) Steph. putabat τούτου deleri posse, si pro' τοῖς ἀμφὶ Εὐθ. reponeretur τῶν ἀμφὶ Εὐθ. Sed, etiamsi per Graeci sermonis indolem τὰ ἀμφὶ Εὐθύφρονος dici possint *placita* Euthyphronis, sequentia tamen καταφρονήσαιεν & ἡγήσαιντο hanc rationem omnino respuunt. nec pron. τούτου tolli verba antec. τούτου μὲν γὰρ patiuntur.

ead. l. ult. τὴν διακοσμοῦσαν) Bas. 2. διοικοῦσαν, quod Fisch. glossema videbatur. Vulgatam expressit quoque Ficin. quae stabiliri potest e Plutarch. T. II. p. 881. de placit. Philos. I, 7. Ἀναξαγόρας φησὶν ὡς εἰστήκει κατ' ἀρχὰς τὰ σώματα, νοῦς δὲ αὐτὰ διεκόσμησε θεοῦ. & sic saepe ipsi Platoni hoc verbum usurpatur. vid. Fisch.

p. 268. *l.* 1 *sqq.* Τί οὖν δοκεῖ σοι ἀλλ. Ἡρ. νοεῖν, ὅτι θέμενος -- καὶ Κρόνον) Stephan. verba haec ita distinguenda censebat atque corrigenda: Τί οὖν; δοκεῖ σοι -- ὁ τιθέμενος -- καὶ Κρόνον; At iam Bas. 1. 2. exhibent ὁ τιθέμενος, pro ὅτι θέμενος, quod est in Ald. & post Κρόνον interrogandi signum ibidem iam videre licet. Deinde putabat Steph. post ὁ τιθέμενος inseri, aut certe intelligi debere ὀνόματα. At huius verbi loco nomina Κρόνου καὶ Ῥέας posita sunt. Paulo post idem Steph. pro ὥσπερ οὖν scribi iubebat ὡσπεροῦν, ut vacet οὖν. recte.

ead. l. 13. τὸ γὰρ διαττόμενον) Ruhnken. ad Timae. Gl. Pl. p. 59. emendat auctore Proclo in Tim. V. p. 294. διαττώμενον, quod iure recepit Fisch.

p. 269. *l.* 11. πρόσκειται δὲ καὶ τὸ π καὶ τὸ ο καὶ τὸ δ) Steph. Serranum secutus inseruit καὶ τὸ ο, contra Ald. Bas. 1. 2. Ficin. & vero etiam contra mentem Socratis, qui ait, nomen Ποσειδῶν ortum esse ex ὁ σείων, additis π & δ literis.

p. 276. *l.* 4. Ἄρτεμις δὲ, τὸ ἀρτεμὲς) Steph. emendat διὰ τὸ ἀρτεμὲς, ut intelligatur κεκλῆσθαι. sine causa.

p. 278. *l.* 13. τὸ εἶναι Ἥφαιστον) Addidit haec verba Steph. e Ficin. *unde* Ἥφαιστος &c. quae ab Ald. Bas. 1. 2. absunt, & recte abesse possunt.

ead. l. 14. ἐὰν μή πη σοὶ ἔτι ἄλλη δόξῃ) Ald. Bas. 1. 2. ἐὰν μή πη σοὶ, ὡς ἔοικεν, ἔτι ἄλλη δόξῃ. Recte omisit Steph. verba ὡς ἔοικεν, ab hoc loco aliena, quae nec Ficin. expressit.

p. 279. *l.* 11. Ἀλλὰ μὴν τοῦτό γε) Ante haec verba in Ald. Bas. 1. 2. legitur nomen Socratis, quod typothetae incuria deest in Steph. exemplo. Idem Steph. coni. ταὐτό γε ἔοικε.

p. 280. *l.* 1 *fq.* τὸν τὸ λέγειν τε καὶ τὸ εἴρειν μησάμενον, τὸ δὲ λέγειν δή ἐστιν εἰρειν, τοῦτον) Steph. in notis affert e vet. Cod. aliam lectionem: τὸν τὸ λέγειν τε καὶ τὸν λόγον μησάμενον, τούτον &c. quam ipse tamen alteri postponendam iudicabat. Ceterum Ald. Bas. 1. 2. exhibet μησάμενος.

p. 284. *l.* 2. ἐπεὶ μὴ ἔχοι γ' ἂν τις) Ald. Bas. 1. 2. ἐπεὶ ἔχοι γ' ἂν τις. Sed Ficin. *quandoquidem de ipsis* nihil *dicere quisquam potest*, quem secutus est Steph.

p. 285. *l.* 1 *fq.* καὶ τοὺς καιροὺς πρὸς τοὺς καρποὺς ἐκ τῆς γῆς) Ald. Bas. 1. καὶ τοὺς καρποὺς ἐκ τῆς γῆς. Bas. 2. καὶ τοὺς καρποὺς τοὺς ἐκ τῆς γῆς. Ita & Ficin. *& fructus ex terra nascentes*. Et hanc lectionem recte vindicari & explicari posse iudicabat Fisch. Stephani lectio nititur Codd. Serrani, qui illam in sua versione reddidit.

ead. l. 11 *fq.* Πόρρω ἤδη, οἶμαι, φαίνομαι) Marg. Steph. γραι. πόρρω δὲ φαίνομαι. Sic vero Ficini libri: *longius equidem in philosophia videor evagari*. Bas. 2. quoque πόρρω δὲ οἶμαι σοφίας ἐλαύνειν.

p. 286. *l.* 12. ἀλλὰ αὐτὰ πράγματα) Ald. Bas. 1. 2. ἀλλὰ αὐτὰ τὰ πράγματα, quod iure recepit Fisch.

ead. l. 14. πάσης φορᾶς) Marg. Steph. γραι. πάσης φθορᾶς.

p. 288. *l.* 1. διὸ δεῖ ἐμβάλλοντας δὴ τὸ ε, ἐπιστημένην) Marg. Steph. γραι. διὸ δεῖ ἐκβάλλοντας δὴ τὸ ε, πιστήμην. quam lectionem, e vet. Cod. petitam, non reiiciendam putabat Steph. propter ea quae de hoc vocabulo dicerentur infra. Fischero contra ex inferiori illo loco margini huius loci primo adiecta, a librariis deinde in contextum illata videbatur.

p. 295. *l.* 7. ψυχῆς εἶναι ἀεὶ) Marg. Steph. *Pro* ἀεὶ *legitur etiam* δεῖ· *sed ita legendo videtur ponenda* τελεία στιγμὴ *post* σημαῖνον, *& tollenda quae est post ein interpunctio*. Ita nimirum Bas. 2. & Ficinus iam ita distinxerat. Vertit enim: *contrarium* ἀρετὴ, *id est, virtus, significabit. in primis quidem facilem agilemque progressum -- esse oportet.*

ead. l. 12. ἐγὼ δέ φημι, εἴτερ ὃ ἔμπροσθεν εἶπον) Ald. Bas. 1. ἐγὼ δέ φ. ὃ ἔμπροσθεν εἰπον omisso εἴτερ, quod Steph. addidit e Bas. 2. & Ficin. Idem ait, legi quoque ἐγὼ δέ φημι, ὃ ἔμπροσθεν εἶπον, εἰ ὀρθῶς ἔχει.

p. 296. *l.* 3. ἀλλ' εἰ δοκεῖ) Ante haec verba Bas. 1. 2. inserunt nomen Socratis, omissum deinde ante τὸ μὲν τοίνυν αἰσχρόν. Male, & adversante orationis serie.

ead. l. 11. ἁρμονία μόνον) Stephanus locum hunc mutilum suspicatur, aitque, se additum post μόνον reperisse διαφέρειν, sed e coniectura tantum.

p. 297. *l.* 9. καλὰ φάσκοντες εἶναι) Marg. Steph. καλὰ φασκοντες καὶ καλοὶ εἶναι, ἀσπ. Unde hanc hauserit lectionem Steph. ignorabat Fisch. quae vero, cum in Serrani compareat versione, haud dubie illius Codd. debetur.

p. 298. *l.* 16 *sq.* ξενικὸν τοὔνομα. καὶ Ὅμηρος -- ὀφέλλειν) Marg. Steph. γρ. ξενικὸν τοὔνομα, ᾧ καὶ Ὅμ. — ὀφελεῖν. Haec est nimirum lectio Ald. Bas. 1. 2. Ficin. quam tamen disputationis Socraticae series omnino respuit iudice Fisch.

p. 305. *l.* 10. τέλος γὰρ ἤδη θεῷ) In Ald. ante τέλος legitur nomen Socratis, quod deinde ante verba τὸ μὲν οὖν ἑκούσιον omittitur. Et sic quidem Stephano legi posse videbatur θεῶν, h. e. nominum deorum. Hanc tamen ipse in notis reiecit coniecturam, putabatque aptius cohaerere omnia, si legeretur, εἰς τέλος γὰρ ἤδη θέω. An vero sic recte dicatur θέω εἰς τέλος, *ad finem propero*, & an verborum ordo istam emendationem ferat, vehementer dubitabat Fisch. Alius apud Steph. malebat: τέλος γὰρ ἤδη θεῶ, quod, pro θεῶμαι positum, Graecis est inauditum. Fisch. θεῷ cum Ficino accipit pro favente deo: sic quoque Serranus. Abresch. Auctar. Thucyd. p. 306. θεῶ imperat. modo sumit, hoc sensu, *finem iam quaeso respice*, aut *impone*.

p. 306. *l.* 1. τὸ περὶ τὴν ἁμαρτίαν) Steph. scribendum censebat τῷ περὶ τ. ἁμ. ita ut intelligeretur δεδηλωμένον, reclamante Fisch.

ead. l. 2. τῇ κατὰ τὰ ἄγκη πορ.) Ald. Bas. 1. Ficin. τῇ κατὰ ἀνάγκην πορ. Sed Bas. 2. τῇ κατὰ τὰ ἄγκη, quam secutus est Steph. recte.

ead. l. 13 *sq.* τοῦτο εἶναι, ὀνόμασμα ἐστίν. ἡ δ' ἀλήθεια, καὶ τοῦτο τοῖς ἄλλοις ἔοικε συγκ.) Steph. legendum censebat: τοῦτο εἶναι ὀνόμασμα. ἡ δ' ἀλήθεια καὶ ἐκ τοῦ τῆς ἄλης ἔοικε συγκεκροτῆσθαι, ut intelligeretur ὀνόματος. Cum Steph. facit Fisch. hactenus, ut τὸ ἐστὶν, cum nihil sit, ad quod referatur, delendum, aut ἀνακολούθως positum putet: verba vero τοῖς ἄλλοις ita defendat, ut praepos. σὺν intelligendam; nec ideo, quia ἀλήθεια e duobus vocabulis conflatum sit, id quod e v. συγκεκροτῆσθαι, & vero etiam ex seqq. apparet, reiicienda censeat.

p. 307. *l.* 9. τίνα ἂν αὐτῷ ἀποκριναίμεθα λέγεις) Stephano hic locus videbatur mutilus, putabatque inter ἀποκριναίμ. & λέγεις deesse aliquid. Fischerus contra sana omnia censebat, modo verba sic distinguantur: τίνα ἂν αὐτῷ ἀποκριναίμεθα; λέγεις· aut λέγεις ἢ γάρ; ΣΩ. (sic enim Bas. 1. 2. sublato ante verba Ἔν μέντοι nomine) Πάνυ μὲν οὖν. Ἔν μέντοι· & intelligantur post λέγεις e superioribus verba: ἔχειν ὀρθοτήτα ταῦτα ὀνόματα.

p. 310. *l.* 11. καὶ ἵππον θέοντα) Steph. legit: καὶ εἰ ἵππον θ. quod tamen εἰ ex anteced. recte intelligitur.

ead. l. 14. δηλώματα τοῦ σώματος) Marg. Steph. γραι. δηλωμὰ τούτῳ τῷ σώματι· quae est Bas. 2. lectio.

p. 311. *l.* 15. λέγω δέ τι τοῦτο) Steph. coni. λέγω δὲ τί τοῦτο; Iam in Ald. λ. δὲ τί τ. Fisch. tamen vulgatam praefert, quam & Ficin. habet: *dico enim sic.*

p. 312. *l.* 5. καὶ τοῖς ἄλλοις, ὅσα) καὶ τοῖς ἄλλοις πᾶσιν Bas. 2. etiam Ficin. *& aliis omnibus, quaecunque &c.*

p. 313. *l.* 11. καὶ τὰ οὐ φωνήεντα μὲν &c.) Ald. Bas. 1. 2. καὶ τὰ αὖ φωνήεντα μέν. Ficin. quoque: *ac rursus vocales quidem.* Qua servata lectione Steph. putabat legi posse: καὶ τὰ αὖ φωνήεντα μὲν οὖ, οὐ μέντοιγε ἀφθογγα.

ead. l. 17 *sq.* ἐπιφέρειν ἕκαστον κατὰ τὴν ὁμοιοτ.) Marg. Steph. γραι. ἐπιφέρειν καθ' ἕκαστον τὴν ὁμοιότητα· quae est lectio Bas. 2. ita tamen, ut habeat κατὰ τὴν ὁμοιότητα.

p. 315. *l.* 5. EPM. Ἐγὼ μὲν γὰρ οὔ.) Bas. 1. 2. totum hunc locum sic exhibet: ἐγὼ μὲν γὰρ οὔ. EPM. Πολλοῦ ἄρα δέω ἔγωγε. ΣΩ. Ἐάσωμεν οὖν· omisso EPM. ante ἐγὼ μὲν οὔ. quod, cum etiam Ficinus in suis invenerit libris, alteri lectioni praefert Fisch. addicente orationis serie & filo sermonis.

p. 317. *l.* 14. κιείνησιν καλεῖσθαι) Ald. κίνησιν. male: ut Bas. 1. 2. Ceterum notat Steph. in marg. pro κίνησιν (quod est in Ald.) afferri non solum illam lect. κιείνησιν, sed & κίεισιν· item ἰεσιν, pro εἶσιν.

p. 319. *l.* 16. ὁ νομοθέτης) Bas. 1. 2. ὀνομαθέτης. Ficin. quoque: *nominum auctor.*

p. 325. *l. ult.* ἢ ἑτέρα; ΚΡ. Ἡ ἑτέρα. ΣΩ. Ἢ ἂν) Sic recte Bas. 2. Ald. Bas. 1. ἢ ἑτέρα ἂν ἑκάστῳ οἶμαι &c. Ficin. *vel potius altera, quae cuique proprium simileque attribuit;* unde Fischero legisse videtur: ἢ ἡ ἑτέρα, ἣ ἂν ἑκάστῳ &c. Hanc va-

rietatem ortam e repetitione ἑτέρα, quae librarios offendit, bene animadvertit idem vir doctus.

p. 326. *l.* 4 *fq.* ἐπ' ἀμφοτ. μ. τοῖς μιμ. τοῖς τε ζώοις καὶ τοῖς ὀνόμασιν ὀρθὴν) Ald. Baſ. 1. τοῖς τε ζώοις καὶ τοῖς ὀνόμασιν πρὸς τῷ ὀρθὴν, ut incuria librariorum, quorum oculi poſteriori ὀνόμασιν inhaeſerant, quaedam omiſſa ſint.. Baſ. 2. τοῖς τε ζώοις ὀνόμασιν ὀρθὴν, ἐπὶ τε τοῖς ὀνόμασι πρὸς τῷ ὀρθήν. Ficinus legit: ἐπ' ἀμφ. μὲν τ. μ. τοῖς τε ὀνόμασι καὶ τοῖς ζωγραφήμασιν ὀρθὴν, cum vertat, *talem ego, o amice, diſtributionem in imitationibus utrisque, tam nominibus quam picturis, rectam voco.*

p. 339. *l.* 13. ἄλλό τι ἢ ἐστὶν ἢ) Steph. corr. ἄλλό τι ἔστιν ἢ· unde cum Fiſch. ſenſum vix commodum elicere poſſet, eidem legendum potius videbatur ἀλλό τι ἐστὶν ἤ, quod dictum ſit pro ἆρα. Ita quoque Ficin. *itane ſignificare cenſes.*

ead. l. 16 *ſq.* καὶ μᾶλλον ἔοικε σημαῖνόν τι) Legendum eſſe σημαίνοντι uno verbo iam vidit Steph. praeeunte Ficino: *magisque ſignificare videtur.* Eleganter vero dicitur ἔοικε σημαίνοντι pro σημαίνει.

Erratum.

pag. 95. *lin.* 10. κιδυνεύει, leg. κινδυνεύει.

ROTANOX
2014